Bibliothèque numérique

medic@

**Oribase / Porphyre / Procope de Césarée / Mai, Angelo (éd.).**
**Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens scripta aliquot Oribasii, Procopii, Isaei, Themistii, Porphyrii, Philonis, Aristidis, et alia quaedam -- curante Angelo Maio,...**

*Romae : Typis Vaticanis, 1831.*
*Cote : 33040*

P A R I S
biu Santé

**(c) Bibliothèque interuniversitaire de santé (Paris)**
Adresse permanente : http://www.biusante.parisdescartes
.fr/histmed/medica/cote?33040

©BIU Santé

# CLASSICORUM AUCTORUM

E VATICANIS CODICIBUS EDITORUM

TOMUS IV.

©BIU Santé

FACULTE DE MEDECINE DE PARIS

©BIU Santé

# CLASSICORUM AUCTORUM

## E VATICANIS CODICIBUS EDITORUM

## TOMUS IV.

COMPLECTENS SCRIPTA ALIQUOT ORIBASII, PROCOPII, ISAEI, THEMISTII, PORPHYRII, PHILONIS, ARISTIDIS, ET ALIA QUAEDAM.

CURANTE

**ANGELO MAIO**

VATICANAE BIBLIOTHECAE PRAEFECTO.

FACULTE DE MEDECINE DE PARIS

ROMAE

TYPIS VATICANIS

M·DCCC·XXXI.

©BIU Santé

©BIU Santé



# EDITORIS PRAEFATIO.

Oribasii magna collectio.

I. Medicorum veterum partim graece partim latine loquentium complura opera, si vita comes fuerit, editurus, quae in vaticanis codicibus publico lumine non indigna detinentur, Oribasium ceteris praetuli, cuius magnam collectionem libros LXX. vel LXXII. (nam numeri traditio variat) complectentem, prae aliis medicorum voluminibus commendavit salutaris artis studiosis Photius cod. CCXVII. his verbis usus: ἐν ο̄ λόγοις διέξεισιν Ὀριβάσιος ἃ ἀπαγγέλλεται· καὶ δευτέρα μέν ἐστι τῷ χρόνῳ, προτερεύει δὲ τῇ χρείᾳ, ἅτε μὴ μόνα ὅσα Γαληνὸς ὀρθῶς ἔγραψε περιέχουσα, ἀλλὰ καὶ ὅσα αὐτῷ παρεῖται, ἄλλοις δὲ εἰς διδασκαλίαν προτέθειται· καί γέ μοι δοκῶ χρησιμεύειν τὴν σπουδὴν ταύτην, ἵνα μὴ λέγω πασῶν τῶν ἄλλων, ὅσαι εἰς ἰατρικὴν χρείαν τε καὶ θεωρίαν κατεβλήθησαν πραγματεῖαι· ἀλλὰ πάντως γε τῶν πλειόνων τῷ τε σαφὲς ἀπηγγέλθαι τὰ πλείω τῶν συντεταγμένων ῥηθῆναι· ἐξ ὧν καὶ εἴ τι ἀσαφὲς ἐν τούτοις συνέβη τινὶ ῥηθῆναι, διὰ τῆς ἄλλων ἀναπτύξεως σαφηνίζεται· καὶ τῷ γε ἰατρικὴν μετιόντι, κατὰ ταύτην ἔγωγε παραινέσαιμι ἂν πραγματείαν τὴν διατριβὴν ὅτι μάλιστα ποιεῖσθαι. Hanc collectionem iubente Iu-

©BIU Santé



liano Caesare, cuius amicus, medicus, comes, atque a consiliis fuit, confecit Oribasius, ut ipsemet in praefatione testatur: cuius magni deinde corporis quum partes dissiluissent, priores quidem libros quindecim latine edidit saeculo Christi sexto decimo Ioh. Bapt. Rasarius medicus novariensis: ante quem Romae libri quinti partem graece latineque ediderat Augustinus Riccus, hortante Marcello Cervino cardinali: tum fere interiectis tribus saeculis vir germanus Fridericus Matthaeius, publicus in urbe regia Moscua professor, graecum praedictorum XV. librorum exemplar nactus, graece tandem edidit: quamquam nobis in vaticana bibliotheca splendidus eiusdem partis codex (n. 288.) aderat, quo publicando iustam apud Italos laudem quaerere licuisset. Alii duo insuper libri, XXIV. et XXV, eodem Rasario interprete latine prodierunt: hique item nobis aderant graece in palatino vat. codice 375, qui deinde Heidelbergam relatus fuit: sed tamen iidem libri in ottoboniano vat. codice 235. mihi nuper occurrebant; etsi eos praetermittere debui, quia quum Galeni Soranique partibus toti constarent, nihil ibi ineditum praeter brevissimum Lyci fragmentum haberi cognovi. Vidus quoque florentinus fragmentum libri oribasiani de laqueis, et librum de machinamentis in latinum transtulit, quam interpretationem in tigurina chirurgorum sylloge legere licet. Denique abhinc an-

©BIU Santé



nis ferme octoginta Antonius Cocchius, doctus et inclytus in Etruria medicus, collectionis oribasianae duos alios graece et latine vulgavit libros in Nicetae sylloge chirurgorum inventos, nempe XLVI. *de fracturis*, et XLVII. *de articulis excidentibus*. Atque haec oribasianae collectionis, eiusque quantum hactenus innotuerat editionum, fata fuerunt.

II. Age vero vaticana Pontificis maximi bibliotheca, cum alia Oribasii opera, tum etiam huius maximae collectionis non solum partes omnes quas dixi editas continet, verum etiam quinque alios graece ineditos, partim vero ne latine quidem vulgatos libros, nempe XLIV. *de abscessibus*, XLV. *de variis tumoribus*, XLVIII. *de laqueis*, XLIX. *de machinamentis*, L. *de pudendorum morbis*: quorum librorum tres medii integri sunt, extimi autem duo propter codicis vitium laciniosi ac mutilati. His interiacent editi duo a Cocchio ex codice florentino, nempe XLVI. et XLVII., quos ego idcirco missos feci. Denique ex laceris vagisque foliis particulas aliquot edidi, quae incertis oribasianae collectionis libris deputandae sunt. Singulis in codice libris praeponitur syllabus capitum, qui a me praetermissus est, non solum quia idem singillatim in titulis cuiusque capitis redit, sed quia cunctis Hippocratis et Galeni partibus (quae solae in codice haud erant ineditae) ex editione mea exclusis, syllabi quoque nu- Codex vat. Oribasii.

©BIU Santé



merales notae iam non constabant. Atque has ego Hippocratis Galenique omissiones spectans, in volumine meo nequaquam βιϐλίον μδ, ϐιϐλίον με, et sic deinceps, ut est in codice, scripsi, sed ἐκ τοῦ ϐιβλίου dicere malui. Porro mihi exscribenti codicem, qui est bombycinus saeculo XIV. exaratus, illud valde incommodum accidit, quod folia ab idiota bibliopego sus deque perversa comperi; ita ut ego ordinandi initium a folio codicis 167. capere debuerim; cui subieci fol. 105—110. deinde 168. ponendum fuit; postea fol. 2—6. Deinde fol. 1; postea fol. 7, et sic deinceps usque ad fol. 167. Mox folium 31. collocavi; postremo fol. 51, et fol. 43—50. Porro autem de translaticio alio Oribasii folio, quod vaticani bibliopegi ad confusam struem procul codice ablegaverant, ego autem felici casu reperi, locutus alibi sum (p. 276.)

Editionis ratio.

III. Satis de codice; nunc editionis meae ratio exponenda est. Annus iam decimus fluxit, ex quo hanc a me observatam oribasianae collectionis partem Romae in ephemeridibus publicis nunciavi. Constitueram porro libros hos non graece solum, sed latine etiam cum idoneis commentariis et cum auctorum notitia divulgare. Et ad interpretationem meam latinam quod adtinet, duo iam folia prelo parata erant: verumtamen rei medicae, cuius ignarum me fateor, obscuritate et salebris retardatus, despondi animum, seu certe

©BIU Santé



id genus laboris in aliud tempus seposui: quamquam huic rei auxiliarem operam suam pollicebatur clarissimus et doctissimus medicus amicus meus Iosephus de Matthaeiis frusinas, in romano archigymnasio magister; cui sane debitas gratias ago, verumtamen ne eius munera tam gravi occupatione turbarem, graecum tantummodo textum sine interpretatione aut commentariis divulgare decrevi. Nec vero de ipso Oribasio disserendum mihi in hac praefatione iudico, cuius ne verbum quidem in his libris proprium legitur: cuncta enim medicorum Oribasio antiquiorum scripta sunt, quae nobis ipse delecta ac decenti ordine posita repraesentavit. Utique de ipsis auctoribus libentius verba fecissem; sed quia plerosque aegre indagandos videbam, et quia simul veterum medicorum historia paulo altius, quod vix mei otii est, repetenda erat, silendum interim de his censui; ita tamen, ut singulorum auctorum nomina quotiescumque in his libris scribuntur, indiculo p. 200—201. complexus sim. Denique et Rufi quoddam fragmentum, ad oribasianam collectionem minime pertinens, ex alio codice vaticano edidi.

IV. Procopii gazaei, quem rhetorem optimum cod. CLX. appellat Photius, luculenta autem oratione a Fabricio edita discipulus ipsius Choricius dilaudavit, sexaginta olim graecas epistulas Aldus in lucem extulit, neque plures in consequentibus editio- Procopii epistulae.

©BIU Santé



nibus apparuerunt. Reapse et vaticanus svecae Reginae codex n. 139. praenotatus, sexaginta illas adamussim continet, insuper nullam. Sed ecce alius vaticanus codex 306, regio antiquior, bombycinus, maiorem adeo gazaei Procopii epistularum numerum exhibet, ut plus centum ineditas esse cognoverim. Ego igitur non tam ipsarum argumento delectatus, quod in levioribus plerumque rebus, ut abundantes otio Graeci solent, versatur, quam eximia stili venustate captus, et auctoris etiam fama et antiquitate commotus, quotquot erant incognitae vulgandas suscepi: graece, inquam, non latine; quoniam laus earum stili potius, ut dixi, merito quam gravitate materiae nititur.

Trium oratorum orationes totidem.

V. Isaei primam orationem de Cleonymi hereditate imperfectam dederat Aldus, nullusque editor postea compleverat, etsi ea perfecta tum in codice mediolanensi ambrosiano supererat, tum etiam in mediceo, ut ipsemet Florentiae comperi. Ego sexdecim abhic annis mediolanensi utens codice orationem integram edidi: quam nunc iterum lectoribus trado, quoniam editionis meae principis exemplaria iam desunt. — Aristidis umbratilem et prolixam adversus Demosthenem orationem nemini antea visam, sed ab ipso Aristide in exordio platonicae tertiae ad Capitonem commemoratam, e vaticano codice ante sexennium edidi. Nunc quia illud volumen meum, cuius

©BIU Santé



satis pauca exemplaria fuerunt, quaerentibus vix invenitur, redit in publicum Aristides, non sine aliquot emendationibus, quas praesertim repetita graece apud Germanos a cl. Dindorfio editio mihi nuper suppeditavit. — Themistii orationes XXXVI. habuit olim Photius cod. LXXIV; nos vero XXXIII. legebamus. Ego e tribus desideratis unam edidi Mediolani, splendidam sane atque historiae Theodosii magni perutilem: cuius exemplaribus iamdiu distractis, secundas in ea curas libentissime collocavi, usus etiam cl. Friderici Iacobsii ad me missis animadversionibus; quam rem grato cum animo commemoro et praedico. — Porro ut iucundum mihi accidit, ita probatum iri lectoribus spero, quod trium aetatum, quot fere apud Graecos ars oratoria numerat, tres primarios oratores novis scriptis locupletatos profero. Ex prima enim decem illorum τῶν πάνυ aetate Isaeum sisto Demosthenis praeceptorem. Ex secunda, quae fuit asiaticorum atticismi studiosorum, principem communi consensu Aristidem do. Tertiae denique oratorum aetatis, quae iuniorum dicitur, nemo Themistium coryphaeum esse negat.

VI. Tractatum ethicum Porphyrii philosophi ad Marcellam coniugem, divo Cyrillo alexandrino et Eunapio biographo lectum, sed postea deperditum, ambrosianus codex tribus abhinc lustris mihi obtulit, ego autem mediolanensibus typis

Porphyrii et Philonis opuscula.

©BIU Santé



mea cura exornatum tradidi; nunc iterum paulo expolitiorem recudendum censui. Duo praeterea Philonis iudaei incognita opuscula de cophini festo et de honorandis parentibus, quae florentini codicis beneficio anno M·DCCC·XVIII· edidi, non immerito repetenda putavi. Et quidem Philoni novum accedit nunc incrementum ex vaticano codice, septem scilicet de Cherubim quaestiones, ex eius amplo in exodum opere, quod nos graece desideramus, Armenii olim in suam linguam transtulerunt, et hisce annis latine cum armeniaco textu Venetiis edidit vir de litteris praeclare meritus P. Ioh. Bapt. Aucherus mechitarista. Graeca fragmenta a me Romae nuper inventa cum armeniaco textu conspirant, immo eum saepenumero illuminant; sed et vicissim ab eo lucem interdum accipiunt. De ceteris voluminis mei brevioribus scriptis nihil dicam, quoniam ea suis singula locis declarantur.

---

VII. Medicos aliquot, praeter Oribasium, meis curis editum iri, initio prohoemii sperare me dixi: prisca autem nomina intelligo, non recentiora quale est monachi Mercurii illius, cuius breve scriptum *de pulsibus*, ut credebatur, Neapoli anno M·DCCC·XII· hortante cl. I. Andresio, editore cl. S. Cyrillo, prodiit. Sane illa editio iustam Cyrillo laudem conciliat, quia docte eleganterque curata fuit. Sed tamen ipsum opusculum haud

©BIU Santé



Mercurii monachi est, sed hominis saracenico nomine Ali, graeco Abitiani; a Mercurio autem in calce suae de eadem re ineditae lucubrationis ad litteram adtextum fuit. Rem ego olim Mediolani cognovi in ambrosiano graeco codice R. 20; deinde in vaticanis duobus, nempe 299. seriei graecae, et 7152. seriei latinae: eandemque rem intelligere licet ex parisiacis etiam codicibus aliquot, quos Labbaeus B. MSS. p. 122. memorat; et ex Cangio, quem ipse Cyrillus laudat; denique evidenter ex ms. lugdun. batav. catalog. p. 392. Opusculum igitur Neapoli editum, non Mercurii est sed Abitiani: ipsius autem Mercurii aeque *de pulsibus* opusculum a me prope ingratiis heic recitabitur, ut Abitianus videlicet suum recuperet, Mercurius proprio contentus sit.

Τοῦ σοφωτάτου καὶ λογιωτάτου ἐντιμοτάτου ἐν μοναχοῖς
κύρου Μερκουρίου περὶ σφυγμῶν.

Τὸ σῶμα τοῦ ἀνθρώπου συνέστηκεν ἐκ δ̄ στοιχείων κατὰ τοὺς σοφούς, ἐξ αἵματος δηλονότι, χολῆς ξανθῆς καὶ μελαίνης, καὶ φλέγματος· ὅταν οὖν μένωσιν πρὸς ἑαυτὰ τὰ στοιχεῖα καὶ ἠρεμῶσιν, ἔστι καὶ ὁ ἄνθρωπος ὑγιής· ὅταν δὲ πρὸς ἄλληλα διεγείρωνται τῷ τε πλεονασμῷ καὶ τῇ ὑφαιρέσει, τότε καὶ ὁ ἐλεεινὸς ἄνθρωπος νοσηλεύεται κατὰ τὸν πλεονάζοντα χυμὸν ἢ τὸν ὑστερούμενον, τοῦ μὲν κατάρξαντος τοῦδε τοῦ χυμοῦ, τοῦ δὲ ἐκείνου· ἔστι μὲν οὖν ὅτε καὶ δύο στοιχεῖα μίγνυται, ὡς ἐπὶ τοῦ συνόχου πυρετοῦ, τῆς ξανθῆς χολῆς δηλονότι μιγνυμένης τῷ αἵματι· καὶ γίνεται ταραχὴ μεγάλη τῷ ζώῳ, καὶ νόσος ἀφόρητος· ὅθεν καὶ ὁ σφυγμὸς εἰς αὐτὰ τὰ δ̄ στοιχεῖα μεμέρισται καὶ τὴν ἀρχὴν ἐκεῖθεν κέκτηται· διὰ τοῦτο καὶ τῶν ἀνθρώπων οἱ μὲν σφοδρὰς καὶ ταχείας τὰς κινήσεις τῶν σφυγμῶν ἔχοντες τῇ ἐπικρατείᾳ τῶν χυμῶν τῆς τε ξανθῆς χολῆς καὶ τοῦ αἵματος· οἱ δὲ ἑτέ-

ρως μαλθακῶς πως καὶ ἠρέμα διὰ τὴν τοῦ φλέγματος καὶ τὴν τῆς
μελαίνης χολῆς αὔξησιν· δεῖ οὖν τὸν ἐθέλοντα περὶ τῆς ἐπελθούσης
τῷ ἀνθρώπῳ νόσου ἀκριβῶς στοχάσασθαι, μετὰ τοῦ ἐλθεῖν αὐτόν,
τουτέστι τὸν ἰατρόν, πρὸς τὸν κάμνοντα καθίσαι μικρὸν καὶ διανα-
παύσασθαι χρώμενον καὶ ὁμιλίᾳ τινί· εἶτα λαβεῖν τὴν χεῖρα τοῦ νο-
σοῦντος τὴν δεξιὰν διὰ τῆς ἑαυτοῦ δεξιᾶς· ὁμοίως καὶ τὴν ἀριστερὰν
διὰ τῆς ἀριστερᾶς, καὶ τιθέναι τὸν νοῦν εἰς τὰς τοῦ σφυγμοῦ κινή-
σεις ἀκριβῶς· καὶ εἰ μὲν ἔστιν ὁ σφυγμὸς γεμάτος καὶ σύντομος,
ἔστιν ὁμολογουμένως ἐξ αἵματος· ἡ γὰρ σφοδρὰ κίνησις θέρμην δη-
λοῖ, καὶ ἡ ταχεῖα ὑγρότητα· ἐπεὶ οὖν τὸ αἷμα θερμόν ἐστι καὶ ὑ-
γρόν, ἔστιν ἄρα καὶ ἡ νόσος ἐξ αἵματος· εἰ δὲ σύντομος μὲν ἡ κί-
νησις, λεπτὴ δὲ τῶν σφαιρίων καὶ μόνων ἁπτομένη τῶν δακτύλων,
ἐκ τῆς ξανθῆς χολῆς ἡ νόσος, καὶ τὰς ἀφορμὰς ἐκεῖθεν κέκτηται·
πᾶσα γὰρ λεπτὴ κίνησις ξηρά ἐστιν, καὶ ἡ ταχεῖα θερμή, καθὰ
δὴ καὶ προείρηται· ἐπεὶ οὖν ἡ ξανθὴ χολὴ ξηρά ἐστι καὶ θερμή, ἔσ-
τιν ἄρα καὶ ἡ νόσος ἐκ τῆς ξανθῆς ὁμολογουμένως χολῆς· εἰ δ' αὖ
πάλιν ἡ κίνησις τοῦ σφυγμοῦ, παχεῖα μὲν καὶ γεμάτη, ἀργὴ δὲ ἡ
νόσος ἐκ τοῦ φλέγματος· ἡ γὰρ ἀργὴ κίνησις τὴν ψύξιν δηλοῖ, ἡ
δὲ παχεῖα τὴν ὑγρότητα, καθὰ καὶ δεδήλωται· ἐπεὶ οὖν τὸ φλέγμα
ψυχρόν ἐστι καὶ ὑγρόν, καὶ ἡ νόσος ἐκεῖθεν τὴν γέννησιν κέκτηται·
εἰ δὲ τὴν κίνησιν ὁ σφυγμὸς ἀργεῖαν καὶ λεπτοτάτην, τῆς μελαίνης
χολῆς φανερὸν τοῦτο τεκμήριον· ἐπεὶ οὖν ἡ μέλαινα χολὴ ξηρὰ καὶ
ψυχρά, ἔστι δὲ τῆς ἀργείας καὶ μαλθακότητος τὸ ψυχρόν, τῆς δὲ
λεπτότητος τὸ ξηρόν, καὶ ἡ νόσος τῆς μελαίνης χολῆς δηλονότι· καὶ
ταῦτα μὲν δὲ περὶ τῆς τοῦ σφυγμοῦ κινήσεως εἴρηται, τῆς ἀπὸ
τῶν δ μυχῶν γινομένης· ἔστι δὲ καὶ κίνησις ἑτέρα τοῦ σφυγμοῦ πα-
ρὰ ταύτας, ἡ σφύζει μὲν συστελλομένου τοῦ ἐμφύτου θερμοῦ, κατ'
ὀλίγον δὲ χαυνοῦται καὶ παύεται· ἡ ἀπὸ περιπτωμάτων πολλῶν τῶν
ἐν τῷ στομάχῳ κειμένων, ἡ ἀπὸ ὑστερήσεως, ἐξ ἧς καὶ θάνατοι
πολλάκις τοῖς νοσοῦσιν ἐπάγονται, εἰ μὴ διεγείροιεν οἱ παρόντες τὸν
κάμνοντα· ὅταν οὖν ἴδῃς τὸν σφυγμὸν μυρμηκίζοντα καὶ ἀστάτως φε-
ρόμενον, καὶ οἱονεὶ τρέμοντα τοῦτον, ἔστι σαφῶς τοῦ θανάτου τεκ-
μήριον· ὡς μοι γε διὰ τούτου πολλοὶ θάνατοι τῶν νοσούντων δεδήλων-
ται· καὶ ταῦτα μὲν ὅσον κατὰ τὴν ἡμετέραν δύναμιν ἐξεθέμεθα. Ὁ
δέ γε σοφώτατος σύρος ὁ Ἀβιτζιανὸς λέξει περὶ τούτου σαφέστατα·
ἔστι δὲ τὸ σύγγραμμα τοῦτο κατὰ λέξιν τοιόνδε. — Τοῦ σοφωτάτου
παρὰ μὲν ἰνδοῖς Ἀλῆ, παρὰ δὲ ἕλλησιν Ἀβιτζιανοῦ περὶ σφυγμῶν.
Πίασον τὸν σφυγμὸν etc. ut in cl. Cyrilli editione neapolitana.

©BIU Santé



# PRIVILEGIUM

## PIUS PP. VIII.

Ad futuram rei memoriam. Graves in re litteraria labores dilecti filii magistri Angeli Maii primi e bibliothecae nostrae vaticanae custodibus, ubi fel. record. Pius VII. praedecessor noster rescivit, ac certior factus, cum in multiplicis argumenti scriptis a diuturna oblivione vindicandis plures iam annos insudare, vel iam repertis operibus, aut eorum fragmentis, suas adscribere animadversiones, ut explicatiora atque ornatiora evaderent, haud potuit eius ingenii praestantiam, atque in litterarum commoda intentam industriam non plurimi facere, suaque gratia munire. Quum enim propositum esset erudito viro quascumque in vaticana nostra bibliotheca, vel ubivis locorum reperisset antiquitatis doctae reliquias, sua impensa in lucem edere, sibi vero verendum videretur, ne paullo post susceptam ab eo huiuscemodi lucubrationum veterum editionem, alii rursus excudendas susciperent, ipse Pontifex opportune providendum ac praecavendum censuit, ne laborum emolumento fraudaretur, vel potius detrimentum acciperet. Vetuit igitur atque interdixit per suas apostolicas litteras annulo piscatoris obsignatas, ac datas die XII. iulii MDCCCXXII. typographis quibusvis pontificiae nostrae ditionis, ne per decennium a prima illa impressione veteris monumenta doctrinae, servatis censurae iuribus, ab eo primum edita, sive integra, sive non, et sive graeco, sive latino, sive etiam etrusco sermone exarata, eorum operum partem aliquam prelo subiicerent, aut imprimendam curarent, bibliopolis vero, ne alias eorumdem operum editiones venales haberent, aut aliis vendendas traderent, nisi idem ipse dilectus filius magister Angelus Maius facultatem tribuerit. Voluit praeterea, ut qui adversus privilegium hoc fecerit, librorum typorumque amissione multaretur, et nummis scutatis aureis quingentis monetae aerario nostro probatae; quae quidem multa Angelo Maio omnino tribuenda addicendàque foret. Denique iussit, omnes, qui in eadem nostra ditione ius dicunt, et penes quos ea est procuratio, in violatores huius privilegii, si

©BIU Santé



qui fuerint, severitatem expromere, statutas poenas sontibus infligere, ipsi Angelo Maio ope omni praesto esse, ut iure, quo qui optimo, eiusmodi concessione perfrueretur. Quum autem privilegium a praedecessore nostro concessum post decennium cuiuslibet a prima editione operis finem haberet, ipsi Angelo Maio gratum acceptumque fore nobis significatum est, si ad simile temporis spatium, post elapsum singularum editionum decennium, privilegium illud benigne protendere velimus. Nos igitur qui liberalibus favemus disciplinis, ac beneficiis libenter afficimus, quos in illis excolendis catholicae religioni non parum prodesse conspicimus, alacri libentique animo indulgentiae nostrae testimonium tam claro doctoque viro expromere statuimus. Quapropter suprema potestate nostra hisce litteris edicimus, atque mandamus, ut privilegium, de quo agitur, a Pio VII. praedecessore nostro, diplomate suo, magistro Angelo Maio concessum omni omnino ex parte ad aliud decennium prorogetur, ita ut commemorata eius opera typis vel iam vulgata vel vulganda, nisi post vicesimum annum a prima editione nemini in pontificia nostra ditione degenti, imprimere, aut vendere liceat, nisi auctore assentiente; secus poenis ut supra latis luendus, plectendus. Haec volumus atque decernimus, non obstantibus legibus, privilegiis, ac pontificiis sanctionibus quibuscumque. Datum Romae apud S. M. M. sub annulo piscatoris die I. mensis octobris MDCCCXXX, pontificatus nostri anno secundo.

IOSEPHUS CARD. ALBANUS.

Accedunt privilegia augustissimi Imperatoris Austriae et omnium serenissimorum Italiae Principum ad quinquennium, serenissimi Regis utriusque Siciliae ad septennium, post quorumlibet praedicti generis operum primam editionem.

©BIU Santé



# ΟΡΙΒΑΣΙΟΥ

## ΙΑΤΡΙΚΩΝ ΣΥΝΑΓΩΓΩΝ

## ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ΜΔ.

### I. Ἐκ τῶν Ἀντύλλου καὶ Ἡλιοδώρου, χειρουργία ἀποστημάτων (1).

Codicis pag. 15.

1. Ει μὲν κατὰ τὴν κεφαλὴν γένοιτο ἐπιπολλῆς ἀπόστημα, ἁπλοτομήσομεν τάττοντες τὴν διαίρεσιν, οὐ κατὰ τὴν εὐθύτητα τῶν τριχῶν, ἀλλ' ἐπικάρσιον καὶ ὑποβεβλημένην τῇ τριχώσει· ὅπως ἡ οὐλὴ μετὰ ταῦτα κρύπτοιτο ὑπὸ τῆς τῶν τριχῶν ἐπιπτώσεως· εἰ δὲ βύθιον κατὰ τὸν περικράνιον ὑμένα τὸ ὑγρὸν ὑποπίπτοι, ὥστ' ἢ διαφθαρῆναι μέρος τι αὐτοῦ, ἢ διαγανακτῆσαι καὶ συμπαθῆσαι, τῆς μὲν εὐμορφίας ἧττονα ποιησόμεθα λόγον, τοῦ δὲ ἀσφαλοῦς προνοούμενοι, δύο διαιρέσεις ἐμβαλοῦμεν συμμέτρους, ὡς πρὸς τὸ ἀπόστημα, τὴν μὲν εὐθυτενῆ, τὴν δὲ ἐπικαρσίαν, τεμνούσας κατὰ μεσότητα ἀλλήλας· ὡς τὸ σχῆμα αὐτῶν παραπλήσιον εἶναι τῷ χι γράμματι· οὕτω γὰρ ὁ περικράνιος οὐ διαγανακτήσει πανταχόσε διαιρούμενος· εἰ δὲ κατὰ μέτωπον ἀπόστημα γένοιτο, ἐπικαρσίως διαιροῦμεν μιμούμενοι τὰς φυσικὰς ἐν τῷ μετώπῳ γραμμάς· εἰ δὲ κατὰ ῥῖνα, τὴν τομὴν εὐθυτενῆ τάξομεν, κατὰ τὸ μῆκος τῆς ῥινός· εἰ δὲ κατὰ μῆλα, εἰ μὲν ὑπ' αὐτοῖς τοῖς ὀφθαλμοῖς, μηνοειδεῖ διαιρέσει χρησόμεθα, τὸ κύρτωμα τῆς διαιρέσεως κάτω στρέφοντες, ἵνα ταῖς φυσι-

---

(1) Ἀπὸ τοῦ α̅ τῶν Ἀντύλλου χειρουργουμένων κεφάλαιον τοῦ ὁμοίου.



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 17 sur 544

©BIU Santé



καῖς τοῦ ἐποποιῶν περιφερείαις σχηματισθῇ· εἰ δὲ κατωτέρω, κατὰ τὰ λεπτὰ καλούμενα τῆς γνάθου εὐθυτενῆ τομὴν διελοῦμεν· ἐπεὶ καὶ ἡ ῥυσότης ἡ κατὰ φύσιν τῶν παρειῶν κατ' εὐθύτητά ἐστιν· ὄπισθεν δὲ τοῦ ὠτὸς ὑγροῦ γενομένου, μηνοειδῶς περιγράψομεν, μιμούμενοι τὴν βάσιν τοῦ ὠτός· τραχήλου δ' ἐπὶ ἀποστήματος τεμνομένου, ἐπὶ μὲν τῶν ὄπισθεν εὐθυτενὴς διαίρεσις ἁρμόδιος, ἐπὶ δὲ τῶν ἔμπροσθεν, ἐπεὶ λιπαρὸν τὸ δέρμα διὰ τὰς ἐπικύψεις καὶ πολλὴν ἐπίδοσιν ἔχῃ, περιελοῦμεν· ἐκ γὰρ τῆς εὐθυτομίας οὐ πάνυ τί προσπίπτει τὰ σώματα, οἷα δὴ τοῦ δέρματος ἐγχαλωμένου καὶ ἀφισταμένου τῶν συνεχῶν σωμάτων.

P. 16. 2. Ταῦτα δὲ ποιοῦμεν | καὶ ἐπὶ μασχάλης καὶ βουβῶνος καὶ δακτυλίου, διὰ τὴν ὁμοειδείαν τοῦ δέρματος πρὸς τὸ τοῦ τραχήλου δέρμα· ἐπὶ δὲ μαστῶν (1), παχέων μὲν ὄντων τῶν ἐπικειμένων τῷ πύῳ σωμάτων, ἁπλοτομία γιγνέσθω· λεπτῶν δὲ καὶ ἀνεπιτηδείων πρὸς κόλλησιν, ἐκτεμνέσθω· τὰ μὲν οὖν ἄλλα μέρη τοῦ τιτθοῦ ἀδεῶς περιαιρείσθω· ὁ δὲ πλησίον τῆς θηλῆς τόπος, πεφροντισμένως μηνοειδεῖ περιαιρέσει συντηρουμένης τῆς θηλῆς· ἐν δὲ τοῖς βραχίοσι καὶ τοῖς ἀγκῶσιν, ἔν τε ταῖς χερσὶ καὶ δακτύλοις καὶ τοῖς ἀπὸ τῶν βουβώνων κατωτέρω πᾶσιν, εὐθείας κατὰ μῆκος διαιρέσεις ἐγχαράσσομεν· εἰ δὲ κατ' ὠμοπλάτην ὑπὸ κλεῖς ἀπόστημα συμβαίη, λοξὸν τὸ εἶδος τῶν τομῶν παραληπτέον κατὰ μίμησιν τῆς ἐξοχῆς τῶν ὀστέων τούτων· εἰ δὲ κατὰ ῥάχιν, εὐθυτενῶς διαιροῦμεν, ὥσπερ οἱ μύες ἐπιπεφύκασιν· ἐπὶ δὲ πυγῶν, κατὰ μὲν τὰ περιφερῆ καὶ ὀπίσω μέρη, διαιροῦμεν εὐθείαις τομαῖς· κατὰ δὲ τὰ ὑπεσταλμένα καὶ συνεγγίζοντα τοῖς μηροῖς, περιελοῦμεν· συριγγοῦται γὰρ ῥᾳδίως, εἰ μὴ περιαιροῖτο ἐκ

(1) Ἀπὸ τοῦ γ̄ τῶν Ἡλιοδώρου χειρουργουμένων· κεφάλαιον περὶ φλεγμονῆς καὶ τοπικῶν ἀποστημάτων.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 18 sur 544

πλάτους· ὁμοίως δὲ εἰ καὶ περὶ τὸν σφιγκτῆρα ὑγρὸν γένοιτο
τὸ εἶδος τῆς διαιρέσεως ἐπικάρσιον ἐπιτηδευέσθω· ταύτῃ γὰρ
αἱ στολίδες πεφύκασι.

3. Δεῖ δὲ (1) ἐν τῷ καιρῷ τῆς κατουλώσεως κασσιτέρινον
σωλῆνα κυκλοτερῆ ἐντιθέναι, ἔξωθεν μὲν, ἀχανῆ· εἰς δὲ
τὸ βάθος, περιφερῆ, τρῆμα μέσον ἔχοντα πρὸς τὰς τῶν πνευ-
μάτων ἀποδόσεις· μέχρι τέλους δὲ τῆς θεραπείας ἐγκείσθω ὁ
σωλὴν πρὸς τὴν ἐν διαστολῇ κατούλωσιν. ἐπὶ δὲ πλευρῶν καὶ
στέρνων τὸ εἶδος τῆς διαιρέσεως ἐπικάρσιον ἐπιτηδευές· ταύτῃ
γὰρ καὶ αἱ πλευραὶ πεφύκασιν· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἐπιγαστρίου,
διὰ το τὰς φυσικὰς στολίδας αὐτοῦ πάσας ἐπικαρσίους εἶναι·
ἐπὶ δὲ ὀσχέου καὶ καυλοῦ, τομαῖς εὐθυτενέσι χρηστέον· καὶ τὸ
σύνολον, εἰδέναι χρὴ ὅτι τὰ σχήματα τῶν διαιρέσεων διδασκό-
μεθα ἐκ τῆς ἐπιβλέ||ψεως τῆς πρόσθεν πρὸς τὸ ἀσφαλὲς καὶ τὸ P. 17.
εὔμορφον· γραμμὰς μὲν γὰρ φυσικὰς ἀπομιμούμενοι διὰ τῆς
τομῆς, ἐπὶ τὸ εὔμορφον ποιούμεθα τὴν ἀναφοράν· εὐθυτενῶς
δὲ τέμνοντες, οἷον ἐπὶ τῶν κώλων καὶ τῶν τενόντων, τῆς ἀσφα-
λείας προνοούμεθα, ἵνα μὴ τῶν νεύρων καὶ τῶν ἀγγείων ἐκ τῆς
ἐπικαρσίου διαιρέσεως ἀναγκασθῶμεν διελεῖν τί· χρὴ μέντοι
γινώσκειν ὡς οὐκ ἐπίσης ὀφειλόντων ἀποβλέπειν ἡμῶν πρός
τε τὸ ἀσφαλὲς καὶ τὸ εὐπρεπές· πανταχοῦ γὰρ προσεχέστε-
ρον τὸ τῆς ἀσφαλείας τίθημι.

4. Πάλιν ἐπὶ μὲν τῶν μικρῶν ἀποστημάτων, μιᾷ διαιρέσει
χρησόμεθα, καθὸ λεπτότατα αὐτὰ ἑαυτῶν εὑρίσκεται τὰ
σώματα· ἐπὶ δὲ τῶν μειζόνων, πλείοσι διαιρέσεσι χρώμεθα·
τέμνοντες γὰρ τὸ λεπτότατον τὸ δέρμα, καὶ τὸ ὑγρὸν ἐκκρίνον-
τες, καθίεμεν τὸν λιχανὸν δάκτυλον τῆς ἀριστερᾶς χειρὸς διὰ
τῆς διαιρέσεως εἰς τὸν κόλπον· ἔπειτα πανταχῇ περιάγοντες

(1) Ἀπὸ τοῦ $\overline{δ}$ τῶν Ἡλιοδώρου χειρουργουμένων· κεφάλαιον περὶ
τῶν ἐν τῇ ἕδρᾳ ῥαγάδων καὶ κονδυλωμάτων.

αὐτὸν, τὸ μέγεθος τοῦ κόλπου κατανοοῦμεν· εἰ μὲν οὖν ἔφ' ἕν τι μέρος ὁδηγεῖτο ὁ δάκτυλος, τῶν πέριξ ἀπαθῶν ὄντων, καθ' ὁπότερα ὑγιὲς ᾖ τοῦ κόλπου, κατὰ ταῦτα κυρτώσαντες αὐτὸν καὶ περιτείναντες τὴν σάρκα, δευτέραν ἐμβαλοῦμεν διαίρεσιν, τὸ αὐτὸ σχῆμα ἔχουσαν τῇ προτέρᾳ· εἰ δὲ ὁ κόλπος ὁ περιέχων τὸ ὑγρὸν εὐθυτενὴς μὲν εἴη, τύχῃ δὲ πολὺ ἐπιμηκέστερος τοῦ δακτύλου, μετὰ τὴν δευτέραν διαίρεσιν κομισάμενοι τὸν δάκτυλον, πάλιν διὰ τῆς δευτέρας αὐτὸν καθήσομεν· καὶ τρίτην ἄλλην ἐμβαλοῦμεν ἐπὶ τῇ δευτέρᾳ παραπλησίως· εἰ δὲ πλατὺς εἴη καὶ περιφερὴς, στομώσομεν ᾗ λεπτότατος ὑποπίπτει· καθέντες δὲ τὸν δάκτυλον, τὴν μὲν τινὰ διαίρεσιν κατωτέρω τῆς πρώτης ἐμβαλοῦμεν, τὴν δὲ ἀνωτέρω, εἰ τύχῃ κἀνταῦθα τὶς διασημαίνειν ὑποφορά· ἄλλας δὲ ἐκ πλαγίων τῆς πρώτης καὶ τῆς μετὰ τὴν πρώτην, πάσας μὲν τοιαύτας ἐπὶ τὸ αὐτὸ ἐκτεινο|μένας μέρος.

P. 18. 5. Στοχασμὸς δὲ γινέσθω μάλιστα τοῦ τὰς ὑστάτας διαιρέσεις τὰς πρὸς τοῖς πέρασι τοῦ κόλπου παρ' αὐτὴν τὴν ὑγιαίνουσαν καὶ μὴ ἀφεστηκυῖαν σάρκα ἐμβάλλεσθαι· εἰ μὴ γὰρ τοῦτο γένοιτο, ἀλλ' ὑπολείποιτό τις χώρα κεκολπωμένη, δυναμένη φυλάττειν ὑγροῦ τὶ μέρος ἐν ἑαυτῇ, μείζων ὁ κόλπος γενήσεται· τῶν ὑγρῶν διασηπόντων ἐκεῖνα τὰ μέρη, καθ' ἃ ἂν ὑφίστασθαι τύχοι· εἰ μὲν οὖν ὑπόπλατυ τὸ ἀπόστημα τύχοι καὶ μὴ πάνυ ἐξογκώμενον, εὐθυτομήσομεν· εἰ δὲ κυρτὸν ἰσχυρῶς εἴη καὶ περίογκον εἰς ὀξεῖαν τὲ ἀνατεῖνον κορυφὴν, περιαιρέσει χρησόμεθα· μεγάλῃ μὲν, εἰ καὶ αὐτὸς ὁ τόπος προκαλοῖτο τὴν περιαίρεσιν, ὡς μασχάλη καὶ βουβῶν καὶ τὰ περὶ τὸν δάκτυλον· εἰ δὲ ὁ μὲν τόπος, ὅσον ἐφ' ἑαυτῷ, παραιτοῖτο τὴν περιαίρεσιν, τὸ δὲ ἀπόστημα, διὰ τὸ ἰσχυρῶς κεκορυφῶσθαι, τὴν τῆς περιαιρέσεως ἀνάγκην ἀνάγοι, μικρᾷ χρησόμεθα.

6. Χρὴ δὲ περιδιαιρεῖν τὸν τρόπον τοῦτον· μετὰ τὸ σημειώσασθαι τὸν περιαιρεθησόμενον τόπον, διαγράψομεν τὸ βά-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 20 sur 544

©BIU Santé



θος μυρσινοειδῶς· εἶτ' ἄγκιστρον καταπείραντες εἰς μέσον τὴν περιγεγραμμένην σάρκα, καὶ ἀνατείναντες ἰσχυρῶς διὰ τῆς ἀριστερᾶς χειρὸς, πᾶν τὸ περιχαραχθὲν ἐκτεμοῦμεν· ταῦτα δὲ ποιήσομεν, κἂν τὰ ἐπεστορεσμένα σώματα τῷ ἀποστήματι λεπτὰ ἢ νενεκρωμένα εἶναι τύχοι· εὐδόκιμος γὰρ ἐπ' ἀμφοῖν τούτοιν ἡ περιαίρεσίς ἐστι· μέτρον δὲ τῆς περιαιρέσεως, αὐτὸ τὸ λελεπτυσμένον ἢ νενεκρωμένον ἔστω σῶμα· τοσαῦτα περὶ τῆς χειρουργίας τῶν ὑποπιπτόντων ἀποστημάτων· ἑξῆς δὲ περὶ τῆς θεραπείας λεκτέον·

## II. Ἐκ τῶν Ἡλιοδώρου περὶ τῶν ἐν κατακαλύψει ἀποστημάτων. (1)

1. Ἐὰν μὲν οὖν ὁ πεπονθὼς τόπος ὑποπίπτῃ χειρουργίᾳ, συνεργεῖν δεῖ τῇ πρὸς τὴν ἐπιφάνειαν ῥοπῇ τοῦ ἀποστήματος διὰ πυριῶν θερμῶν καὶ ἐπιστατικῶν καταπλασμάτων τε καὶ ἐμπλάστρων· τοῦ δὲ ἀποστήματος * * || Desiderantur paginae duae.

* * καὶ κατ' αὐτοῦ ὅλου τοῦ πλευροῦ σπλήνιον κεκαρωμένον ἐπιτιθέσθω· τοῦ δὲ βάθους ῥευματιζομένου, κατάπλασμα στιπτικὴν ἔχον δύναμιν ἔξωθεν ἐπιτιθέσθω τοῦ σπληνίου· ταῦτα γινέσθω ταῖς ἑξῆς ἡμέραις ἕως οὗ καθαρθῇ καὶ σαρκωθῇ τὸ βάρος· ἐν δὲ τῷ μέσῳ τῆς θεραπείας χρόνῳ οἱ ἀγκιστῆρες διακοπτόμενοι κομιζέσθωσαν· οὗτος ἐστὶν ἄριστος τρόπος τῆς θεραπείας ἐν αὐτῷ τῷ ὑμένι συλλεγέντος τοῦ ὑγροῦ· μεταξὺ δὲ τῶν πλευρῶν καὶ τοῦ ὑμένος συλλεγέντος μετὰ τὴν ἀσφαλῆ τοῦ ὑγροῦ ἔκκρισιν, ὁρμῆσαι δεῖ ἐπὶ τὴν τῶν πλευρῶν ἐκκοπήν· ἐκθήσομαι δ' αὐτὴν ἑπομένως. P. 19.

(1) Ἀπὸ τοῦ γ̄ τῶν χειρουργουμένων· κεφάλαιον, τίνες τῶν ἀφισταμένων τόπων ὑποπίπτουσιν χειρουργίᾳ, καὶ τίνες διαίτῃ καὶ φαρμακείᾳ.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 21 sur 544

©BIU Santé



## III. Περὶ ἐκκοπῆς πλευρῶν.

1. Ἐκτεμνέσθω τὰ σκέποντα τὴν πλευρὰν, ἢ τὰς πλευρὰς σώματα, ὑπό τε τετραγώνου τῆς ἐκτομῆς ὑπὸ μήκους σχηματιζομένης· πρὸς δὲ τὴν περιχάραξιν, διδόσθω μία πρώτη πλαγία διαίρεσις κατὰ μεσοπλευρίου ὑπὸ τὴν δεομένην ἐκκοπῆς πλευρὰν λελοξωμένη πρὸς τὸ τοῦ μεσοπλευρίου σχῆμα, εἰς ὃ καταπειρέσθω ἄγκιστρον, καὶ ἀνατασθὲν ἐκτεμνέσθω· καὶ οὕτως αἱ πλευραὶ ψιλούσθωσαν· καὶ τῇ δεομένῃ πλευρᾷ ἀναιρέσεως πλατυμήλης ἢ μηνιγγοφύλακος ἔλασμα ὑπερειδέσθω ἕδρας χάριν· καὶ ἡ ἀκμὴ τοῦ τρυπάνου στηριζέσθω κατὰ τὸ ἐψιλωμένον μέρος τῆς πλευρᾶς πρὸς τοῖς κατὰ φύσιν σώμασι· καὶ γινέσθω ἡ ἐνέργεια· κἂν ὑποπέσῃ τῷ ἐνεργοῦντι κενεμβατῆσαι, τὸ ἔλασμα τῆς μήλης παραγαγέτω ὑπὸ τὸ τετρημένον μέρος· ὅλον δὲ δι' ὅλου τὸ τῆς πλευρᾶς πάχος τετράσθω· καὶ ἤτοι δύο τὰ πάντα διδόσθω τρήματα, ἓν καὶ ἓν στενῆς οὔσης τῆς πλευρᾶς· ἢ δύο καὶ δύο, πλατυτέρας οὔσης.

2. Τὸν δὲ τρόπον τῆς τῶν τρημάτων δόσεως ἐκτίθεμεν ἐν τῷ περὶ τοῦ τοῦ κρανίου λόγῳ· καθάπερ * καὶ τὸν τρόπον τῆς ἐκκοπῆς· διακοπτέσθω δὲ τῆς πλευρᾶς καθ' ἓν μέρος τὸ πλεῖον πάχος, καὶ λεπτὴ συνέχεια καταλιπέσθω· εἶτα | τότε τὸ ἕτερον διὰ τῶν ἐκκοπέων διαιρείσθω ὅλον· τούτου γενομένου, δακτύλοις ἢ ὀστάγρᾳ συνεχέσθω ἡ πλευρὰ, ἵνα ἡ καταλελειμμένη λεπτὴ συνέχεια μιᾷ ἐπιβολῇ τῇ τοῦ σμιλίου τοῦ ἐκκοπέως ἀκμῇ διακοπῇ· κἂν μὲν ᾖ ὁμαλὰ τὰ τῆς πλευρᾶς ἄκρα, ἀρκεῖ ὡς δεῖ· ἀνώμαλα δὲ ὄντα, ῥίνῃ ὁμαλίζειν· ταῦτα ποιοῦμεν ἐπὶ τῶν ὀστωδῶν πλευρῶν.

Ἀπὸ τοῦ αὐτοῦ.
P. 20.

3. Ἐπὶ δὲ τῶν χονδρωδῶν, ἐκτέμνειν χρὴ καὶ ἀναιρεῖν διὰ σμιλίου βαρυτάτου ἢ κατὰ ἐνέργειαν ἀκμῇ σμιλίου τοῦ ἐκκοπέως· οὔτε γὰρ ἀντέρεισις ἐπὶ χονδρώδους πλευρᾶς παραλαμ-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 22 sur 544

ζάνεται, οὔτ' ἐκκοπὴ διὰ τὴν ἁπαλότητα τῆς οὐσίας· ἐκτεμνέσθω δὲ μὴ μόνον τὸ λελιπασμένον μέρος τοῦ χόνδρου, ἀλλὰ καί τινα τῶν κατὰ φύσιν τῆς πλευρᾶς· μετὰ δὲ τὴν τῶν πλευρῶν ἀναίρεσιν, λημνίσκοις ἀναπληρούσθω τὸ τῆς ἐκτομῆς κοίλωμα· καὶ τὰ πρόχειρα μέρη τιλτοῖς μότοις ἀναπληρούσθω· καὶ κατὰ τοῦ μοτοφύλακος ὅλου τοῦ θώρακος ἔριον οἰνελαίῳ βεβρεγμένον ἐπιτιθέσθω· εἶτ' ἐπιδρύσθω· μετὰ δὲ τὴν κάθαρσιν πρὸς τὴν σάρκωσιν ἐγκρίνειν δεῖ ἐμπλάστρους κεφαλικὰς ἀνιεμένας ῥοδίνῳ· τὰ γὰρ λιπαίνοντα φάρμακα ἀνοίκεια σύνεστιν, ὅτι πλευρῶν ἄκρα γεγύμνωται· καὶ λιπαινόμενα πρὸς τοῖς ἐσχάτοις τῆς θεραπείας συριγγοῖ τοὺς τόπους μετὰ τὴν σάρκωσιν· ὑπτία οὖσα ἰσόπεδος ἡ ἕλκωσις κατουλούσθω.

### IV. Περὶ περιτοναίου, καὶ τοῦ μεταξὺ ἐπιγαστρίου καὶ περιτοναίου ἀποστήματος.

Ἐπὶ τοῦ περιτοναίου τόπου τε τοῦ μεταξὺ ἐπιγαστρίου καὶ περιτοναίου, ἡ αὐτὴ χειρουργία γιγνέσθω· διαιρεῖται γὰρ ἕως τοῦ πύου τὰ σκέποντα σώματα, τοῦ πάσχοντος ὑπτίου σχηματισμένου· καὶ τἄλλα γίνεται, ὡς ἐπὶ θώρακος· ἄμεινον δ' ἐστὶ μετὰ τὴν παντελῆ τοῦ ὑγροῦ ἔκκρισιν τὸν δάκτυλον εἰς βάθος καθιέναι, καὶ διαίρεσιν εἰς ὑπόρρυσιν διδόναι· ὀλίγου δ' ὄντος τοῦ συλλεχθέντος || ὑγροῦ, κατὰ μίαν ἐπιβολὴν ἡ ἔκκρισις τοῦ παρακειμένου γινέσθω, ὡς ἐπὶ τῶν ἐν ἐπιφανείᾳ ἀποστημάτων. P. 21.

### V. Περὶ ἥπατος καὶ σπληνὸς ἀποστήματος.

Ἐπὶ τῶν ἐν ἥπατι καὶ σπληνὶ ἀποστημάτων δοκεῖ μοι δεῖν τέμνειν ἢ καίειν, διαιρεῖσθω δὲ τὰ ἐπικείμενα τῷ σπλάγχνῳ

©BIU Santé

σώματα ἐπιγάστριον καὶ περιτόναιον· καὶ πλείστης οὔσης συλλογῆς διεκβαλλέσθωσαν ἀγκτῆρες διὰ τῶν τοῦ ἐπιγαστρίου χειλῶν· τότε τὸ ἀπόστημα διαιρείσθω, πάλιν πρὸς δύναμιν ἐκκρινομένου τοῦ ὑγροῦ· πρὸς δ' ἐποχὴν τοῦ καταλελειμμένου, ὡς δ' ἤδη ἐῤῥέθη, σπογγίου μαλακοῦ ἐντιθεμένου· γιγνέσθω δὲ καὶ τὰ ἑξῆς οἷα ἐπὶ τοῦ θώρακος εἴρηται· ὀλίγον δὲ ὂν τὸ ὑγρὸν, σύμπαν κατὰ μίαν ἐπιβολὴν ἐκκρινέσθω· εἴωθε μὲν οὖν σεσαρκωμένης τῆς ἐν τῷ βάθει ἑλκώσεως, συνσαρκοῦσθαι καὶ τὰ χείλη τοῦ ἐπιγαστρίου καὶ τοῦ περιτοναίου, ὥστε μὴ συνούλωσιν τῆς τομῆς γίνεσθαι· ἐὰν δὲ φθάσῃ ἐπουλωθῆναι ἡ τοῦ σπλάγχνου ἕλκωσις, ἀναιμασσέσθω τὰ τῆς τομῆς χείλη, καὶ ῥαπτέσθω πρὸς κόλλησιν· ἐὰν δέ ποτε τὸ ἐν ἥπατι καὶ σπληνὶ ἀπόστημα ἀναστομωθῇ, ὡς τὸ ὑγρὸν προχεόμενον ὑποδραμεῖν τὸ περιτόναιον καὶ περιχυθῆναι τοῖς σπλάγχνοις, ἐὰν μὲν ᾖ πλῆθος τὸ προκεχυμένον, ὡς ἀναλογεῖν πλήθει τῷ ἐπὶ ὕδρωπος, παρακεντήσει χρώμεθα· ὀλίγου δ' ὄντος τοῦ ὑγροῦ τοῦ κεχυμένου, τοπικὴ γινέσθω διαίρεσις τοῦ ἐπιγαστρίου καὶ τοῦ περιτοναίου· εἶτα ὅταν φθανῇ τοῦ σπλάγχνου στόμωσις, ἐπιδιαιρείσθω πρὸς τὴν τοῦ ἀποστήματος ἀνασκευήν· καὶ τότε τὰ ἀκόλουθα γιγνέσθω, ὅσα μικρῷ πρόσθεν εἴρηται.

## VI. Περὶ ἀπευθυσμένου ἐντέρου ἀποστήματος καὶ τῶν ἐν ἄλλοις μορίοις.

Τοῦ ἀπευθυσμένου ἐντέρου ἀποστάντος, ποτὲ μὲν χειρουρ-
γεῖν δεῖ, ποτὲ δὲ συνεργεῖν τῇ κατὰ βάθος συῤῥήξει· χει-
ρουργεῖν μὲν, ἐν τοῖς προχείροις τόποις τοῦ ἀποστήματος ὄν-
P. 22. τος, πλησιάζοντος | τῷ σφιγκτῆρι ἀφῇ ὑποπίπτοντος· συνερ-
γεῖν δὲ συῤῥήξει, ἐν βάθει γινομένου· πρὸς δὲ τὴν χειρουρ-
γίαν ὕπτιος σχηματιζέσθω ὁ πάσχων ἐπὶ παρέδρου δίφρου

©BIU Santé



πρὸς αὐγῇ λαμπρᾷ, συνημμένα ἔχων τὰ σκέλη πρὸς τὸ ἐπιγάστριον, καὶ τοὺς μηροὺς διεστῶτας ἀπ' ἀλλήλων· ἔστωσαν δὲ καὶ οἱ πήχεις ταῖς ἰγνύαις ὑποβεβλημένοι, καὶ πρὸς τὸν τένοντα διὰ τῶν ἀνισοτόνων βρόχων ἀνειλημμένοι· μετὰ τὸν δεδηλωμένον σχηματισμὸν, τοῖς δακτύλοις ἐκτρεπέσθωσαν αἱ πρόχειροι τοῦ δακτυλίου στολίδες· εἶτα ἄγκιστρον τῷ λιχανῷ δακτύλῳ συγκαθιέσθω εἰς τὸ τῆς ἕδρας βάθος, καὶ καταπειρέσθω εἰς τὸν ὄγκον, δι' οὗ ἀποτεινόμενον τὸ ἀπόστημα ἐκτρεπέσθω, καὶ ἐπιδιαιρείσθω παχέων ὄντων τῶν ἐπικειμένων τῷ πύῳ σωμάτων.

2. Ταῦτα τὰ ἔργα δύναται γενέσθαι ἐπὶ παιδικῶν καὶ γυναικείων σωμάτων τῶν ἁπαλοσυγκρίτων· ἐπὶ δὲ νέων περὶ σκλήρων ἀκμαζόντων ἀνθρώπων, ἐὰν μὴ δύνηται ἐκτρέπεσθαι ἡ ἕδρα, συγκαθιέσθω εἰς τὸ βάθος τῷ λιχανῷ δακτύλῳ ἡ τῆς ἡμισπαθίου ἀκμὴ, ἢ στενῆς κατιάδος (1) ἔλασμα· καὶ διὰ τῆς ἀκμῆς ἔσωθεν ἔξω ἀγομένης διαιρείσθω ὅλον τὸ ἀπόστημα· μετὰ δὲ τὴν τοῦ πύου ἔκκρισιν λημνίσκῳ καθεθέντι, ἀναπληρούσθω ὁ τοῦ ἀποστήματος κόλπος, καὶ τὰ ἄλλα τὰ ἀκόλουθα γιγνέσθω· τῇ δὲ τρίτῃ καθεζέσθω εἰς λεκάνην πεπληρωμένην ὕδατος θερμοῦ, καὶ προσαντλείσθω μετὰ περιχύσεως ἐλαίου, καὶ θεραπευέσθω λημνίσκῳ πυοποιῷ φαρμάκῳ κεχρημένῳ, πάντων καὶ τῶν ἄλλων ἀκολούθως γιγνομένων· μετὰ δὲ τὴν πύωσιν ἡ ἕλκωσις καθαιρέσθω μέλιτι ἢ ἄλλῳ τινὶ φαρμάκῳ καὶ ἐπουλούσθω τῇ διὰ καδμείας· οἴωθε δὲ πριαπίσκον περιπλάσσειν τῷ φαρμάκῳ καὶ εἰς τὴν ἕδραν ἐντιθέν-

---

(1) Ὅτι κατιάδα φλεβότομον καλεῖ ἐν τῷ ια τῶν χειρουργουμένων κεφαλαίῳ περὶ φλεβοτομίας, καὶ τὴν ἀκμὴν τῆς κατιάδος κόρακα· εἶπε γὰρ ἐν ἐκείνοις ὅσα ὠφείλει γίνεσθαι πρὸς τὴν παρασκευὴν τοῦ φλεβοτομουμένου ἐπάγειν· μετὰ δὲ ταῦτα τῷ κόρακι τῆς κατιάδος διαιρείσθω, ἡ μᾶλλον διογκωμένη φλέψ· ὁ μέντοι Ῥοῦφος ἐν τῷ διατρίβαι κατ' ἰτρείοις μονοβίβλῳ ὀξυβελὲς καλεῖ τὸ φλεβότομον.

©BIU Santé



αι· σημεῖα δ' ἐστὶ τῆς ἐπιπλώσεως ἀνωδυνία, ϗ ὅταν μηκέτι πῦον ἐκκρίνηται. ||

P. 23. 3. Τοῦ δὲ ἀποστήματος ἐν τῷ βάθει γεγενημένου, ϗ τῇ ἁφῇ μὴ ὑποπίπτοντος, συνεργεῖν δεῖ τῇ ῥήξει, τοῖς δριμυτέροις κλυσμοῖς, δι' ἀφεψήματος ὑσσώπου ὀριγάνου μετὰ ἰσχάδων, ϗ τοῦ ὀσφύος ἅμα καταπλασσομένης μετὰ τὴν σύῤῥηξιν· κατ' ἀρχὰς μὲν ἐγκλύζειν κρατέστερον τὸ μελίκρατον· ὕστερον δὲ τὸ τοῦ φαρμάκου ἢ τῶν ῥόδων ἀφέψημα· εἰ δὲ (1) ἐν τῷ διαφράγματι τῶν μυξωτήρων ἀποστημάτιον γένοιτο, διαιρείσθω, ϗ τότ' ἐκτεμνέσθω· ἔπειτα ἂν μὲν κατὰ φύσιν ἔχῃ ὁ χόνδρος, ἐάσθω· λελιπασμένος δὲ περιτεμνέσθω· ϗ τότε οἱ ἐλλυχνιωτοὶ μότοι εἰς τοὺς μυξωτῆρας ἐντιθέσθωσαν· εἶτ' ἔξωθεν ὅλῃ τῇ ῥινὶ ἐλαιοβραχὲς ἔριον ἐντιθέσθω, συνανακεκομμένης λιβανωτοῦ μάννης· ταῖς δ' ἑξῆς ἡμέραις πυριάσθω, ϗ τὸ ἑλκύδριον θεραπευέσθω.

4. Ἐν δὲ (2) τοῖς παρισθμίοις ἀποστήματος συστάντος, διελεῖν χρὴ διαστείλαντα τὸ στόμα τῷ στοματοδιαστολεῖ, ἢ σφηνάριον πρίνινον τάξαντα μεταξὺ τῶν μύλων, ϗ τὴν γλῶσσαν καταστείλαντα σπαθομήλῃ ἢ τῷ γλωσσοκατόχῳ· εἰ δὲ ἐν τῷ ὀσχέῳ, ἐὰν μὲν ᾖ παχέα (3) τὰ περιέχοντα τὸ ὑγρὸν σώματα, τοῖς κατὰ ἁπλοτομίαν ἔργοις χρησόμεθα πρὸς τὸ τοῦ ἀποστήματος μέγεθος· ἢ μιᾷ διαιρέσει ἢ δυσὶν ἢ τρισὶν ἀρκούμενοι, λημνίσκου τε διεκβολῇ χρώμενοι ϗ τῇ λοιπῇ διαμοτώσει· λελεπτοποιημένων δὲ τῶν σωμάτων τὴν ἐκτομὴν αὐτῶν δοκιμάσωμεν.

(1) Ἀπὸ τοῦ γ̄ τῶν χειρουργουμένων· κεφάλαιον περὶ φλεγμονῆς διαφράγματος τῶν μυξωτήρων.

(2) Ἀπὸ τοῦ αὐτοῦ κεφαλαίου περὶ τῆς ἐν τοῖς παρισθμίοις φλεγμονῆς.

(3) Ἀπὸ τοῦ ε̄ τῶν χειρουργουμένων· κεφάλαιον περὶ τῆς του ὀσχέου φλεγμονῆς.

©BIU Santé



## VII. Ἐκ τῶν Ῥούφου περὶ βουβώνων.

Βουβὼν ὁ μὲν ἐπὶ ταῖς τυχούσαις αἰτίαις φανερῶς παρὰ τράχηλον ϗ μασχάλας ϗ μηροὺς ἀνιστάμενος ἄνευ τοῦ πυρετοῦ ϗ σὺν πυρετῷ· ἀνάγκη δὲ τὸν ἐπὶ βουβῶνι πυρετὸν φρικώδη εἶναι· ϗ εἰ μηδὲν ἄλλο συναίτιον ᾖ, λύεσθαι ῥᾳδίως ἄνευ κινδύνου· περὶ τούτου Δημόκριτος φησὶν ὅτι μολίβδου (1) μετὰ φοινικίου περιαφθέντος ἢ τὸ παράπαν ἀφλέγμαντος γίνεται· ἢ πολλῶν δὴ ῥιζοῖ· οἱ δὲ λοιμώδεις καλούμενοι βουβῶνες θανατωδέστατοι ϗ ὀξύτατοι· οἳ μάλιστα περὶ Λιβύην ϗ Αἴγυπτον ϗ Συρίαν ὁρῶνται γιγνόμενοι· ὧν μνημονεύκασιν οἱ περὶ τὸν Διονύσιον τὸν κυρτόν (2). Διοσκορίδης δὲ ϗ Ποσειδώνιος πλεῖστα διεληλύθασιν ἐν τῷ περὶ τοῦ κατ' αὐτοὺς γενομένῳ λοιμῷ ἐν Λιβύῃ· παρακολοῦθον δὲ ἔφασαν αὐτῷ πυρετὸν ὀξὺν, ϗ ὀδύνην, ϗ σύστασιν ὅλου τοῦ σώματος, ϗ παραφροσύνην, ϗ βουβώνων ἐπανάστασιν μεγάλων τὲ ϗ σκληρῶν ϗ ἀνεκπυήτων, οὐ μόνον ἐν τοῖς εἰθισμένοις τόποις ἀλλὰ κατα ἰγνύας ϗ ἀγκῶνας· καί τοι ἐνταῦθα μὴ πάνυ τι γιγνομένων τῶν τοιούτων φλεγμονῶν· τάχα δὲ ϗ τὸ παρὰ Ἱπποκράτους βουβωνῶδες πάθος τὴν εἰρημένην διάθεσιν δηλοῖ· γένοιτο δ' ἂν ποτε ϗ ἐν αἰδοίῳ ὁ τοιοῦτος βουβὼν, ὥσ- P. 30.

---

(1) Ἐν τῷ ξε βιβλίῳ, κεφαλαίῳ Ῥούφου περὶ λιθιάσεως εὑρήσεις κοκκίνῳ βάπτουσι τὰ φοινίκια.

(2) Ὁ Φίλων ἐν τῷ θ περὶ βιβλιοθήκης κτήσεως καὶ Ἕρμηπος (Ἕρμιππος) ἐν τῷ ε περὶ τῶν ἐνδόξων ἀνδρῶν ἰατρῶν, καὶ ὁ Σωρανὸς ἐν ταῖς τῶν ἰατρῶν διαδοχαῖς, φασὶ ὅτι καὶ ὀξυτόνως εἴρηται κυρτὸς, ὡς φοξὸς διὰ σωματικὴν ἀσθένειαν· βαρυτόνος δὲ ὡς ἵππος πύργος, ἐπὶ ἐκ μεσογαίου πόλεος τῆς Αἰγύπτου λεγομένης Κύρτου ὑπῆρχεν· ἢ ὡς φασί τινὲς διὰ τὸ ἁλίσκεσθαι τοὺς ἀντιλέγοντας αὐτοῦ, ὥσπερ τοὺς ἰχθῦς ὑπὸ τῶν ἁλιευτικῶν κυρτῶν.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 27 sur 544

©BIU Santé



περ ϗ τὸ ἕλκος τὸ λοιμῶδες, ϗ ὁ πυρετὸς ὃν λοιμώδη καλοῦσι· τὸ πλεῖστον ἐπιδήμια τὰ τοιαῦτα ἐστὶ, ὥστε κοινὰ εἶ-
P. 31. ναι ἡλικιῶν ϗ φύσεων || ἔν τισιν ὥραις ἐξαιρέτως ἀπαντῶντα· ἡ δ' ἱστορία παντὸς τοῦ τοιούτου χρησίμη, ἵνα τὸν μὲν συνήθη βουβῶνα θεραπεύωμεν, ὡς οὐδὲν δύσκολον ἔχοντα· τὸν δὲ λοιμώδη, μετὰ προαγορεύσεως ϗ προσοχῆς ἀκριβεστέρας.

## VIII. Περὶ τερμίνθου.

Εἶδος τί φύματος ϗ ἡ καλουμένη τέρμινθος ἐστίν· ἀλλὰ τοῖς νυνὶ ἰατροῖς οὐ πάνυ σύνηθες τὸ ὄνομα. Πραξαγόρας δὲ ϗ τὰ συμπίπτοντα αὐτῷ γράφει· ὡσαύτως δὲ ϗ ὁ μαθητῆς αὐτοῦ Ξενοφῶν· φασὶ δὲ ἀνωτάτω μὲν ἐπικεῖσθαι τῷ ἕλκει φλυκταίναν μέλαιναν ὡς τὸ πολὺ· ἧς ἐκραγείσης τὸ ὑποκάτω ὅμοιον ἀποσεσυρμένῳ εἶναι· τούτου δὲ διαιρεθέντος πύον εὑρίσκεται· τάχα δὲ τέρμινθος ἐκλήθη διὰ τὸ ποικίλον τῆς χροιᾶς, ὅτι ϗ ὁ καρπὸς (1) τῆς τερμίνθου ποικίλος· εἴ γε ἡ μὲν φλυκταίνα μέλαινα, τὸ δὲ τῷ ἀποσύρματι ἐοικὸς ἐνερευθὲς· ϗ τὸ πύον ἡσυχῇ λευκόν· μέμνηται δὲ ϗ Ἱπποκράτης ἐν ἐπιδημίαις τοῦ ἕλκους, ὡς τισὶν ἐν ποσὶ γεγενημένου· εἰ δὲ ποδῶν μόνων ἐστὶν, ἢ οἷόν τε ϗ ἄλλῃ γενέσει τοῦ σώματος, τοῦτο οὔτε ἐκεῖνος οὔτε ἄλλος τὶς διωρίσατο.

## IX. Ἐκ τοῦ Διοκλέους περὶ φλυκταινίδων.

Τῶν δὲ φλυκταινίδων τῶν ἀπὸ μηδὲ μιᾶς προφάσεως ἐξω-

(1) Οὕτω και ὁ Γαληνός βούλεται ἐν τῷ περὶ χυμῶν Ἱπποκράτους τμήματι.

©BIU Santé



θεν ἀξιολόγου γινομένων, τὸ μὲν καλεῖται τέρμινθος, τὸ δὲ σταφυλὸν, τὸ δὲ ἐπινυκτίς· ἐστὶ δὲ ἡ μὲν τέρμινθος, φλυκταινίδιον μικρὸν πελιδνὸν· ἡ δὲ σταφυλὴ, μέλαινα· ἡ δ' ἐπινυκτὶς, ὀρφνῶδες· (1) ταχὺ πυούμενα πάντα.

### X. Ἐκ τοῦ Ῥούφου περὶ ἐπινυκτίδος (2).

Αἱ δὲ ἐπινυκτίδες ἑλκύδρια εἰσὶν ἀπὸ ταυτομάτου ἐξανθοῦντα, φλυκταινοειδῆ, ὑπέρυθρα· ὧν ἐκρηγνυμένων, ἰχὼρ ὕφαιμος ἀποῤῥεῖ· ταῦτα μὲν ἡμέρας οὐ πάνυ ἐνοχλεῖ, νυκτὸς δὲ ἐπώδυνα ἐστί· διόπερ καὶ οὕτως ὠνομάσθη· καὶ ὀδύναι μείζους ἢ κατὰ τὸ μέγεθος τοῦ ἕλκους· ὀπὸν σιλφίου ὕδατι διεὶς ἐπιτίθει· ἀναξηραίνει καὶ οὐκ ἀναδάκνει· ἢ αἱματικὴν λίθον μεθ' ὕδατος τρίψας, ἐπίχριε· ἐὰν δὲ φλεγμάνῃ, τρίψον μετὰ οἴνου ἢ κώνειον λεάνας, ἐπιτίθει.

### XI. Περὶ φυγέθρου (3).

Καὶ τὸ φύγεθρον ἐν τοῖς εἴδεσι τῶν φυμάτων τίθενται οἱ περὶ | τὸν Πραξαγόραν· φασὶ δὲ συνεδρεύειν αὐτῷ ἔρευθος μετὰ P. 32.
οἰδήματος· ὥσπερ καὶ τῷ φύματι καὶ οὐκ ἔλασσον ἔμπυον τοῦ

---

(1) Ὀρφνῶδες, σκοτινὸν λέγεται ἡ σκοτία.

(2) Ἀπὸ τοῦ περὶ τῶν ἐκτὸς παθῶν.

(3) Ἀπὸ τοῦ περὶ τῶν ἐκτὸς παθῶν. Ὁ Ἡλιόδωρος ἐν τρίτῳ χειρουργουμένων κεφαλαίῳ περὶ τῶν κατὰ τοὺς βουβῶνας ἀποστημάτων φησὶν, ὡς οἱ μὲν φύγεθρα, οἱ δὲ φύματα προσηγόρευσαν· φύγεθρα μὲν ὡσανεὶ φύματα· ἐρυθρὰ φύματα δὲ δια τὴν τῶν ἀλγημάτων ἐπίτασιν, ὅμοιόν τι φρύξει πασχόντων τῶν ἀνθρώπων.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 29 sur 544

©BIU Santé



φύματος γίνεσθαι· ἐπὶ δὲ τοῦ δέρματος φλυκτανίαν ἀνίστασθαι ὁμοίαν τοῖς πυρικαύτοις· προστίθησι δὲ ὅτι ὁ μολύδικος ὅτι οὐδὲ πεπαίνεται ῥᾳδίως, ἀλλὰ μόγις, καὶ ὅτι χρονίζει, καὶ ὅτι κακόηθες ποτὲ γίνεται, καὶ μᾶλλον παιδίοις· τὸ δὲ περὶ βουβῶνας συνίστασθαι τὸ ἕλκος, πάντες ὁμοίως λέγουσιν.

## XII. Ἐκ τῶν Ἀντύλλου περὶ συρίγγων (1).

1. Αἱ σύριγγες γίνονται τὰ πολλὰ ἐξ ἀποστημάτων μὴ κατὰ τρόπον θεραπευθέντων· διαφοραὶ δ' αὐτῶν εἰσὶν αἵ γε μείζους καὶ ἐπιστροφῆς ἄξιαι παρὰ τὸ σχῆμα, παρὰ τὸν τόπον, παρὰ τὸ εἶδος τοῦ σώματος· παρὰ μὲν τὸ σχῆμα, ἐπεὶ αἱ μὲν αὐτῶν εἰσὶν εὐθυτενεῖς· αἱ δὲ σκολιαὶ καὶ τῶν εὐθυτενῶν· αἱ μὲν, κυκλοτερῆ περιειλήφασι πόρον· αἱ δὲ, ὑπόπλατυν· καὶ τῶν σκολιῶν, αἱ μὲν μίαν καμπὴν ἔχουσιν· αἱ δὲ, πλείους· παρὰ δὲ τὸν τόπον, ἐπεὶ αἱ μὲν ἐν κεφαλῇ, αἱ δ' ἐν τραχήλῳ, αἱ δ' ἐν μασχάλαις ἢ ἐν ἄλλῳ τινὶ μέρει τοῦ σώματος γίνονται· παρὰ δὲ τὸ εἶδος, ἐπεὶ αἱ μὲν εἰς ὀστέα τὴν ἀποτελευτὴν ποιοῦνται· αἱ δὲ καταλήγωσιν εἰς μῦν ἢ νεῦρον ἢ φλέβα ἢ ἀρτηρίαν, ἢ ἕτερόν τι τῶν ἁπλῶν ἢ τῶν συνθέτων.

2. Σημειωσόμεθα δὲ τὰς μὲν εἰς ὀστοῦν ἀποληγούσας, ἐκ τῆς ἀντιτυπίας καθιέντες πλατυμήλης, ἐπὶ τῶν εὐρυτέρων· ἐπὶ δὲ τῶν στενοχώρων, μηλωτίδα· ἀντιληψόμεθα γὰρ σκληροῦ σώματος ἀντιπίπτοντος καὶ ὀστώδους· πρὸς δὲ καὶ ἤχου τινὸς ὀπ-

(1) Ἐκ τῶν περὶ συρίγγων κεφαλαίων. Φησὶν ὁ Ἀντύλλος ὡς κατὰ μεταφορὰν ὠνομάσθαι ἀπὸ τῶν συρίγγων τῶν ἐκ τοῦ καλάμου πεποιημένων· εὐρυχωρία γάρ τις ἐστὶν παραπλησία ταῖς ἐν τοῖς καλάμοις κοιλότησι· ἔστι δὲ κόλπος τετυλωμένος, καὶ μὴ δυνάμενος χωρὶς χειρουργίας ἢ φαρμακίας πεσεῖν.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 30 sur 544

οἷος ἂν γένοιτο, συγκρούοντος ὀστοῦ πρὸς χαλκόν· ϗ οὐ μόνον γε διὰ τῆς μηλώσεως γνωσόμεθα τὸ εἰς ὀστοῦν περατοῦσθαι τὴν σύριγγα, ἀλλὰ ϗ τὸ ἀδιάφθορον εἶναι τὸ ὀστοῦν ἢ διεφθορέναι, καταληψόμεθα· παράγοντες μὲν γὰρ τὴν μηλωτίδα πανταχοῦ, ἂν μὲν αἰσθανώμεθα πάντοθεν ἀπολισθαίνουσαν αὐτὴν, ὥσπερ ἀπὸ τοῦ λείου τινὸς σώματος, ἐροῦμεν ἀδιάφθορον εἶναι τὸ ὀστοῦν· ἂν δὲ κατὰ τὴν παραγωγὴν ἡ μηλωτὶς ἐνίσχηται τισὶ μέρεσιν, ἀνωμαλίας καὶ τραχύτητας ὑποσημαίνουσα, διεφθορέναι τὸ ὀστοῦν ἀποφανούμεθα· ἐπὶ μέντοι τῶν εὐρυστόμων || συρίγγων πολλάκις ϗ τῇ ὄψει ὑποπίπτει τὸ ὀστοῦν, ὥστε μηδὲ μηλώσεως δεῖσθαι· εἰ δὲ σκολιὰ τυγχάνει, καμπὴν μίαν ἢ πλείους ἔχουσα ἡ σύριγξ, ὥστε μὴ δύνασθαι παροδεύειν, μηλωτίδα μολυβδίνην χρὴ ποιεῖν ἢ κασιτηρίνην· εὐκαμπὴς γὰρ οὖσα ἡ τοιαύτη, ῥᾳδίως συσχηματίζεται ταῖς σύριγξι· χρησόμεθα δὲ ϗ ὑείᾳ τριχί.

P. 33.

3. Εἰ δὲ μηδὲν τῶν τοιούτων κατασκευασμάτων διὰ τὴν σκολιότητα ἡ σύριγξ παραδέχοιτο, ἐξ αὐτοῦ τοῦ φερομένου ὑγροῦ τὴν εἰς ὀστοῦν ἀπόληξιν κατανοήσωμεν· ὡς ἐπίπαν γὰρ ἀπὸ τῶν τοιούτων λεπτὸν ϗ ἐλαιῶδες τὸ ἐκκρινόμενον ὑγρόν ἐστιν· εἰ δὲ εἰς νεῦρον τὸ τέρμα * τῆς σύριγγος περαίνοιτο, πρῶτον μὲν ἐκ τῆς ὀδύνης σημειωσόμεθα· ναρκώδης γὰρ ἔσται ϗ νυγματώδης, ἥ τε κίνησις ἡ ὑπὸ τοῦ νεύρου συντελουμένη χείρων ϗ δυσεργεστέρα· ἔν τε τῇ μηλώσει ψαυόμενον τὸ νεῦρον, αἴσθησιν δριμυτέραν ϗ ὀξυτέραν παρέχεται· τὸ δὲ ὑγρὸν τὸ φερόμενον λεπτὸν μὲν ἔσται παραπλησίως, ὡς ϗ ἀπὸ τῶν ὀστῶν, ἀλλ' οὐκ ἐλαιῶδες οὐδὲ λιπαρόν, ἀλλ' ἰχωρῶδές τε ϗ χολῶδες· τὰ δὲ αὐτὰ παρακολουθῶν καὶ ταῖς εἰς μῦν καθηκούσαις σύριγξι· ἐπὶ δὲ τῶν ἐν σαρκὶ τὴν ἀποπεράτωσιν ἐχόντων, τὸ ὑγρὸν παχύτερον ϗ ἀργότερον εὑρίσκεται· εἰς φλέβα δὲ τῆς σύριγγος κατιρριζωμένης, τὰ αὐτὰ σημεῖα παρακολουθῶν, ὅσα ϗ εἰς νεῦρον· πλὴν ἀμυδρὰ πάντα ϗ τὰ τῶν ἀναλγημά-

* Γρ. τὸ τέλος.

©BIU Santé



των· κίνησις τε οὐδὲ μία ἐμποδισθήσεται· τὰ αὐτὰ καὶ εἰς ἀρτηρίαν ἀπολήγοντα παρακολουθήσει· εἰ δὲ ἀνάβρωσις γένοιτο ὑπὸ τῆς σύριγγος, εἰ μὲν φλεβὸς, αἷμα πολὺ καὶ παχὺ ἐνεχθήσεται· εἰ δ᾽ ἀρτηρία ἀναβρωθείη, λεπτὸν καὶ ξανθὸν μετὰ πνεύματος πολλοῦ καὶ συριγμοῦ.

## XIII. Ἐκ τοῦ Ἀντύλλου καὶ Ἡλιοδώρου χειρούργων συρίγγων.

1. Εἰ μέν τοι πλάγιαι εἶεν ὥστε ὑπ᾽ αὐτὸ τὸ δέρμα τείνειν
κατὰ μῆκος εὐθυτενῶς ἢ κατεσκολιωμένως· εἰ μὲν εὐρύστο-
μοι τυγχάνοιεν, τὸν λιχανὸν καθέντες τῆς ἀριστερᾶς χει-
ρὸς, καὶ ἐπάραντες τὸ δέρμα τέμνομεν παρὰ τὸν δάκτυλον
ὥστε ἁπλοτομηθῆναι τὴν σύριγγα· κἂν μὲν ᾖ βραχεῖα, μία
κάθεσις τοῦ δακτύλου ἐξαρκέσει· ἐὰν δ᾽ ἐπιμήκης μετὰ τὸ τε-
P. 34. μεῖν τοσοῦτον διάστημα | ὁπόσον ὁ δάκτυλος ἐφικνεῖται, πά-
λιν ἐπικαθήσομεν αὐτὸν, καὶ πάλιν ἐπιτεμοῦμεν· τὸ δ᾽ αὐ-
τὸ ποιήσομεν ἐκ τρίτου, εἰ τοῦτο ἀπαιτοίη τὸ μῆκος τῆς σύ-
ριγγος· μετὰ δὲ τὸ ἁπλοτομῆσαι τοὺς τύλους τοὺς αἰτίους
τῆς συριγγώσεως, ἐὰν μὲν ὦσιν ἐπιπολῆς, τοῖς ὄνυξιν ἀνα-
ξύσαντες νεαροποιήσομεν τὸ ἕλκος· ἐὰν δὲ βαθύτερον, προσ-
αναξύσομεν ἀκμῇ σμιλίου· ἐὰν δὲ μεγάλοι τε καὶ διὰ βά-
θος ὑποπίπτουσι, περιελοῦμεν ὅλους· ἔπειτα τῇ ἑξῆς ἀποθε-
ραπείαν ὁμοίαν ποιησόμεθα, οἵαν καὶ ἐπὶ τῶν χειρουργηθέντων
ἐλέγομεν.

2. Εἰ δὲ μετὰ τὴν ἀνάπτυξιν, τῆς σύριγγος εὐρυτέρας καθεστώσης, ἀπαιωροῖτο τοῦ δέρματος, περιελοῦμεν τὰ ἀφεστῶτα τῆς συμφυοῦς σαρκός· ἐπὶ δὲ τῶν σφόδρα στενοστόμων, εἰ μὴ παραδέχοιντο τὸν δάκτυλον τὸ πλατὺ μήλης καθήσομεν ἢ τὸν πυρῆνα· τὰ δὲ ἄλλα ὁμοίως ποιήσομεν· πρόδηλον δὲ, καὶ ὁ ἐπὶ τῶν σκολιωμένων συρίγγων τρόπος τῆς χειρ-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 32 sur 544

©BIU Santé



εργίας· καθεκάστην γὰρ καμπὴν ἀρξάμενοι ἀπὸ τῆς πρώτης, καθήσομεν τὸν δάκτυλον, ἢ τὸ πλατὺ τῆς μήλης· κἄπειτα διελοῦμεν οὕτως· εἰ δὲ μὴ πλάγιον τὸ σχῆμα τῆς σύριγγος, ἀλλ' ἄντιον, τουτέστιν εἰς βάθος τείνοι, περιελοῦμεν κατὰ κύκλον τὴν σύριγγα, τοσοῦτον περιγράφοντες τῆς κύκλῳ σαρκὸς, ὥστε τοὺς τύλους ὅλους ἐκκοπῆναι· εἰ δὲ τοιοῦτον εἴη τὸ βάθος ὥστε εἰς ὀστέον καταλήγειν, ἐκτυλώσομεν ὁμοίως· καὶ ἐὰν μὲν αὐτὸ μόνον γεγυμνωμένον ᾖ τὸ ὀστοῦν, μετὰ τὴν περιαίρεσιν τῆς σαρκὸς ξύσομεν· ἐὰν δὲ λελιπασμένον ἢ τετερηδονισμένον ἢ ἄλλως πως διεφθαρμένον ὑποπίπτοι, μέχρι σύριγγος ἐκκόψομεν.

3. Τὴν δὲ ἐκκοπὴν ἐπὶ μὲν τῶν μικρῶν ὀστῶν διὰ μόνων τῶν τετραγώνων ἐκκοπέων καλουμένων ποιησόμεθα, παραξέοντες τὸ ὀστοῦν οὐκ ἐξεπιπολῆς τὸ ἐφθορὸς, ἀλλὰ μέχρι σύριγγος κατιόντες, ἵνα σαρκὸς ἀναβλάστησις ἐκ τῆς σύριγγος γένηται· εἰ δέ τι τῶν μειζόνων ὀστέων, οἷον βραχίον ἢ μηρὸς ἢ πῆχυς ἢ κνήμη πεπονθὸς ὑποπίπτοι, τρήσαντες τρυπάνῳ μέχρι σύριγγος, οὕτως τοῖς ἐκκοπεῦσιν ἀναλαβοῦμεν τὰ μέσα τῶν περιτρή||σεων· P. 35. εἰ δὲ μέχρι μυελοῦ συμβαίη πεπονθέναι τὸ ὀστοῦν, καὶ τὴν ἐκκοπὴν μέχρι μυελοῦ ποιησόμεθα· οὐκ αὐτὸ μόνον τὸ πεπονθὸς ἐκκοπέντες, προσπεριλαμβάνοντες δὲ καί τι τῶν ἀπαθοῦς, εἰς τὸ ῥᾳδίαν τὴν μετ' αὐτοῦ σάρκωσιν γενέσθαι· εἰ δὲ δι' ὅλου τὸ ὀστοῦν διηνεκῶς πάθοι, χρὴ τὴν μεσότητα πᾶσαν ἀναιρεῖν.

4. Ὁ δὲ τῆς ἐκκοπῆς τρόπος τοιός δέ τις ἐστίν· ἐκκοπέα χρὴ τῶν στενῶν καὶ πάχος ἱκανὸν ἐχόντων, οἷοι εἰσὶν οἱ καλούμενοι γομφωτῆρες, ἐρείσαντας κατὰ τὴν μεσότητα τοῦ διεφθορότος ὀστοῦ, ἰσχυρότερον ἐπικρούειν ἤπερ ἐν ταῖς ἄλλαις περιστάσεσιν, ἵνα καταβὰς εἰς τὸ βάθος, διαλύσῃ τὴν συνέχειαν τοῦ ὀστοῦ· καὶ ἐὰν μὲν εἷς ἐκκοπεὺς ἐξαρκέσῃ, τὰ ἑξῆς συντελεῖν· ἐὰν δὲ μὴ δύνηται ἀποκυλισθῆναι ὑπὸ ἑνὸς, καὶ δεύτερον παραληπτέον· κἂν δέῃ ποτὲ, καὶ τρίτον· διακοπέντος δὲ τοῦ ὀσ-



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 33 sur 544

του, τὸ ἕτερον τῶν μερῶν αὐτοῦ κατὰ τὸ πέρας τῶν ἀντεχόν-
των σωμάτων γυμνωτέον· καὶ μετὰ τὸ γυμνωθῆναι τοσοῦτον,
ὅσον παραλλάξαι προελούμεθα, δύο ληπτέον τελαμῶνας στε-
νοὺς * εὐτόνους· τοῦ μὲν οὖν ἑνὸς τὴν μεσότητα περιβλητέον
Γρ. λεπτούς. περὶ ἄκρον τὸ ὀστοῦν πρὸς τὸ ἐπισπάσασθαι τε καὶ ἐξάγειν
αὐτὸ τῆς σαρκὸς δύναμις· τοῦ δὲ ἑτέρου τὴν διπλόην τῇ σαρκὶ
τοῦ βραχίονος περιθετέον πρὸς τὸ ἐπὶ θάτερα τείνειν· ἔπειτα
μηνιγγοφύλακα ὑποβάλλοντες ἢ σπάθην τῶν ξυλίνων τούτων·
ἢ καί τι ἕτερον ὁμοιοειδὲς τούτοις σῶμα κατ' ἐπικόπου (1) τού-
των τινὸς πρίονι ἀποπρίσομεν πᾶν τὸ ἔφθορός τε καὶ ὑπερέ-
χον ἔξω τῆς σαρκὸς τοῦ ὀστοῦ· ἀκώλυτος γὰρ ὁμοῦ καὶ ἀβλα-
βὴς ἡ πρίσις ἔσται διὰ τὰς τῶν τελαμώνων περιβολάς, καὶ τὴν
τῆς σπάθης ἢ τὴν τοῦ μηνιγγοφύλακος ὑποβολήν· οὔτε τῆς
σαρκὸς ὑπὸ τοῦ πρίονος ἐνοχλουμένης, οἷα δὴ ὑπὸ τοῦ τελαμῶνος
ἀφελκομένης· οὔτε τοῦ ὀστοῦ ἐγκρυπτομένου τῇ σαρκί, ἅτε ἀνα-
τεινομένου διὰ τῆς ἑτέρας ταινίας.

5. Ἀποπρισθέντος δὲ τοῦ ἑτέρου μέρους, πάλιν ἐπὶ
τὸ ἕτερον διαβατέον· καὶ τὸν αὐτὸν τρόπον καὶ ἐκείνου τὸ
διεφθορὸς καὶ ἐψιλωμένον, ἀπολυτέον· τὰ δ' αὐτὰ |
P. 36. ποιητέον καὶ εἰ μὴ διεφθορέναι τὸ ὀστέον τύχοι· περιπλεῖσθαι
δὲ πάντοθεν ὑπὸ τῆς σύριγγος· οὐδενὶ γὰρ τρόπῳ τὰ κατὰ
κύκλον περιπλεόμενα σαρκωθῆναι δυνήσεται· διὸ καὶ ἐπὶ τού-
των διακοπτέον πρότερον, καὶ τὰ ὀστέα ἀποκυλιστέον (2)·
εἶτα οὕτως πᾶν τὸ περιπλεόμενον καὶ γεγυμνωμένον ἐκπρισ-
τέον· ἣν δὲ ἡ σύριγξ μὴ εἰς μέσον τὸ μῆκος τοῦ ὀστοῦ τύ-
χοι καθήκειν, ἀλλ' εἰς τὸ πέρας, ὥστε λῦσαι τὸ ἄρθρον,
πᾶν τὸ πρὸς τῷ ἄρθρῳ τοῦ ὀστοῦ μέρος ἐκκοπτέον· εἰ δὲ ὅλον

(1) Κατ' ἐπικόπου φασὶ ὅταν τι ὑποβληθῇ καὶ κατ' αὐτοῦ ἡ το-
μὴ γένηται.

(2) Γρ. ἀποκαυλιστέον.

©BIU Santé



τὸ τοῦ βραχίονος ὀστοῦν διαφθαρείη μελανθὲν ἢ λιπανθὲν ἢ τερηδονισθὲν, ἁπλοτομήσαντες μεγάλῃ διαιρέσει, πᾶν τὸ ὀστοῦν κομισόμεθα.

6. Εἰ δὲ εἰς μέσον ἄρθρον ἡ σύριγξ καθήκοι, ὥστε ἑκατέρου ὀστοῦ τὸ πέρας φθεῖραι καὶ λῦσαι τὴν σύνδεσιν, δυσεργεστέρα μὲν ἤδη καὶ οὐ πάνυ τι εὐκατόρθωτος (1) ἡ χειρουργία· χρὴ δὲ ὁμοίως ἐγχειροῦντας ἑκατέρου τοῦ ὀστοῦ τὸ πέρας τὸ ἐφθορὸς ἅπαν κομίσασθαι· ἐπὶ μέν τοι γε μηροῦ κατὰ κοτύλην λελυμένου καὶ συνδιεφθορείας, καὶ τῆς ἐν τῷ ἰσχίῳ κοτύλης, παραιτητέον τὴν χειρουργίαν, διὰ τὸ μέγεθος τῶν σωμάτων· παραιτητέον δὲ καὶ εἰ εἴς τινα τῶν τοῦ νωτιαίου σπονδύλων ἡ σύριγξ καθήκοι, φθείρασα τὸν σπόνδυλον· εἰ δὲ εἰς πλευρὰν, οὕτω ποιήσομεν ὡς ἐν τοῖς περὶ ἀποστημάτων εἰρήκαμεν (2).

7. Ὅταν δ' ἐν τῷ πήχει συστῇ, τὰ αὐτὰ γιγνέσθω τοῖς ἐπὶ βραχίονος· ἀλλ' ὁ μὲν βραχίων μονοειδὲς ὀστέον ἔχει· ὁ δὲ πῆχυς διζυγής ἐστι· μέσης οὖν τοῦ δυοῖν ὀστέων τῆς ὑποφθορᾶς οὔσης, ἀνάγκην ἔχει ὁ ἐνεργῶν τὸ ἕτερον ὀστέον ἐκκόψαι· ἐκκόπτεσθαι δὲ τὸ λεπτότερον, ἐὰν μὲν κάτω γένηται πρὸς καρπὸν ὑποφθορὰ τοῦ πήχεως· ἐὰν δὲ ἄνω, πρὸς ἀγκῶνι τὸ τῆς κερκίδος· ἀντιθέτως γὰρ ἔχει τὰ τοῦ πήχεως ὀστά· εἰ δὲ (3) εἰς μασχάλην καθήκοι, καὶ δέος εἴη μήπως ἐν τῇ περιαιρέσει ἣν ἠξιοῦμεν ἐπὶ τῶν ἀντίων συρίγγων παραλαμβάνειν, ἀρτηρίαι τῶν εὐρώστων ἢ φλέβες ἢ καὶ νεῦρα ὑποπέσωσι, τῆς μὲν περιαιρέσεως ἀποστησόμεθα· πλὴν εἰ μή τις ἐθέλοι τὴν ἐπιφάνειαν μόνην περικόπτειν, καθήσομεν ||

(1) Γρ. δυσεργεστέρα μένη τε καὶ οὐ πάντη δυσκατόρθωτος.

(2) Ἀπὸ τοῦ γ̄ τῶν Ἡλιοδώρου χειρουργουμένων, κεφάλαιον περὶ τῶν κατὰ τὸν πῆχυν παθῶν.

(3) Ἀπὸ τοῦ ᾱ Ἀντύλλου, κεφάλαιον περὶ συρίγγων.

P. 37. δέ τι τῶν ἐκτυλωτικῶν φαρμάκων, ἵν' ἡ χρεία τῆς περιαιρέσεως ὑπαντήσῃ.

8. Τὰ δὲ αὐτὰ ποιητέον καὶ ἢν κατὰ βουβῶνος ἢ τραχήλου ἡ σύριγξ ὑποπίπτῃ· καὶ μέν τοι κἂν εἰς ὀστοῦν ἐνερείδοι, δέοι δὲ ἐκκόπτειν τὸ ὀστοῦν, ἀγγεῖα δὲ ἢ νεῦρα ἐμπελάζοι τινὰ, οὐ πρότερον τὴν ἐκκοπὴν ποιητέον, πρὶν διαπυῆσαι περιαιρεθεῖσαν τὴν σύριγγα· μετὰ γὰρ τὴν διαπύησιν, καὶ ἀναίμακτος καὶ ἀκίνδυνος ἡ ἐκκοπὴ τῶν ὀστῶν γίνεται· εἰ δὲ μεταξὺ ὠμοπλάτης καὶ τῶν ὑπ' αὐτῇ σωμάτων ἡ σύριγξ πλαγεῖα γένοιτο, τῶν ἀρχαίων ἀπηγορευκότων τὴν θεραπείαν ἡμεῖς ἐγχειροῦμεν τόνδε τὸν τρόπον· καθίεμεν διὰ τοῦ στομίου τῆς σύριγγος πλατυμήλης, ἐφ' ὅσον οἷόν τε προβῆναι αὐτήν· ἔπειτα καθ' ἃ μέρη ὁ πυρὴν πλάγιος, πρὸς ἅπαντα στοχαζόμενοι καὶ ταῦτα χιεζοῦμεν τὰ ἐστοριτμένα σώματα τῆς ὠμοπλάτης· καὶ εἰ μὲν ἀναίμακτος ὁ χιεσμὸς γένοιτο, ἐκκόπτομεν τὸ κατ' αὐτὸ μέρος τῆς ὠμοπλάτης· ἐκκόψαντες γὰρ ἐντευξόμεθα τῷ πυρῆνι τῆς μήλης· καὶ οὕτως ἀνακολουθοῦντες ἐκτυλώσομεν τὴν σύριγγα· εἰ δὲ ὑπὸ αἱμορραγίας ἐπὶ τῷ χιεσμῷ γενομένης, ἐμποδισθείη παραυτίκα ἐκκοπῆναι ἡ ὠμοπλάτη, δεῖ τὴν διαπύησιν περιμείναντας, οὕτως ἐκκόπτειν.

9. Τὰς δὲ εἰς τὸ ἄρθρον τῆς γένυος ἀποτελευτώσας ἀπαγορεύειν ἄξιον· ἡ γὰρ γειτνίασις τῶν τε μασητήρων καὶ τῶν κροταφιτῶν μυῶν, οὐδαμῶς ἀκίνδυνον τὴν χειρουργίαν ὑπογράφει· τὰ δὲ κάτω μέρη τῆς γένυος ὑπὸ σύριγγος φθαρέντα εὐθεράπευτα· ὁ δὲ τρόπος τῆς ἐγχειρήσεως, ὁ αὐτὸς τῷ καὶ ἐπὶ τῶν ἄλλων ὀστῶν εἰρημένῳ· εἰ δὲ κατὰ τὴν ὑπερῴαν ἐκ τῶν ἔνδοθεν μερῶν συστᾶσα ἡ σύριγξ φθείρειε τὸ ὀστοῦν, εἰ μὲν διὰ πάχους ἐκ τῶν ἔξωθεν μερῶν καὶ τὰ μῆλα χιάσαντες οὕτως ἐκκόψομεν τὸ ὀστέον· εἰ δὲ μὴ πᾶν φθαρείη τὸ ὀστοῦν, μόνη δὲ ἡ ἔνδοθεν ἐπιφάνεια, τὸ μὲν ἐκκόπτειν ἀνεπιτήδειον· οὔτε γὰρ

©BIU Santé

ὅλον αἱρεῖν ἐκεῖνο οὗ μέρος ὀλίγον πέπονθε, εὔλογον· οὔτε αὐτὸ τὸ πεπονθὸς ἐκκόπτειν, δυνατόν· πῶς γὰρ ἄν τις διὰ τοῦ στόματος ποιοῖτο τὴν ἐκκοπήν;

10. Χρὴ τοίνυν ἐκ τῶν ἔνδοθεν μερῶν περιελόντας τὴν σάρκα καὶ γυμνώσαντας τὸ πεπονθὸς ὀστοῦν καίειν, ὅπως ἀποστῇ λεπίς· καίειν δὲ | τὸν τρόπον τοῦτον. χαλκοῦν αὐλίσκον κατεσκευάσθαι P. 38. χρὴ παραπλήσιον κατὰ τὴν κοιλότητα τοῖς καλαμίσκοις καλουμένοις· τετρήσθω διανταίῳ τρήματι, καὶ μὴ προσκείσθω πυθμήν· ἐχέτω δὲ καὶ καμπὴν ὁ αὐλίσκος μὴ γαμμοειδῆ· τὸ γὰρ τοιοῦτο σχῆμα πρὸς τὴν χρείαν ἄθετον· ἀλλὰ μηνοειδῶς πᾶς ἐπινενευέσθω πρὸς τὸ ἐντιθεμένου τῷ στόματι τὸ στόμιον αὐτοῦ ἐνερείδειν εἰς τὴν ὑπερῴαν ἄνω· μῆκος δὲ τοῦ αὐλίσκου τοσοῦτον ὥστε τοῦ ἑτέρου πέρατος ἐνερείδοντος εἰς τὸ πεπονθὸς μέρος τῆς ὑπερῴας, τὸ ἔξωθεν τῶν ὀδόντων ὑπερέχειν δακτύλοις τρισί· ἔπειτα καυτήριον κατασκευαστέον ὁμοιόσχημον τῷ αὐλίσκῳ, πρὸς τὸ διοδεύειν δύνασθαι δι' αὐτοῦ· κατὰ δὲ τὸ ἄκρον τὸ καυτήριον μὴ πυρῆνα ἐχέτω, ἀλλὰ βάσιν ἐπίπεδον ἐξ ἀποτομῆς· ἐπὶ τῆς χρείας οὖν ἐνθετέον τὸν αὐλίσκον εἰς τὸ στόμα· καὶ ἀνανεύσαντες αὐτοῦ τὴν καμπὴν εἰς τὴν ὑπερῴαν, ὥστε ἐφιδράσθαι τῷ πεπονθότι τοῦ ὀστέου, πυρακτώσαντες τὸ καυτήριον καθήσομεν διὰ τοῦ αὐλίσκου· καὶ προσαρμόσαντες τῷ ὀστέῳ καύσομεν. οὕτως γὰρ οὐδὲν τῶν πέριξ σωμάτων ὑπὸ τῆς πυρώσεως ἐνοχληθήσεται· οὐ μόνον δὲ ἐπὶ ὑπερῴας ἐστὶν οὗτος ὁ τρόπος ὁ τῆς ὀργανοποιίας εὔθετος, ἀλλὰ καὶ ἐπὶ πάντων ὀστῶν, ὅσα δεῖται μὲν καύσεως, γειτνιᾷ δὲ νεύροις ἢ ἄλλοις κυρίοις τισὶ σώμασιν.

11. Ὅσαι δὲ εἰς βρόχον καθήκουσι σύριγγος ἔξωθεν τὴν ἀρχὴν ἐκ τοῦ τραχήλου λαβοῦσαι, οἱ μὲν ἀρχαῖοι ἰατροὶ ἀπηγόρευον, ἡμῖν δὲ ἀρέσκει μυρσινοειδῶς περιελόντας αὐτὰς, καὶ τοῦ βρόγχου περιγλύψαντας τὸ ἐφθορὸς, ἀπάγειν τὸ δέρμα καὶ ζυγοῦν· ἐνίοτε γὰρ εὐστοχεῖται τα περὶ τῆς κολλήσεως· τὰς δ' εἰς τὴν

©BIU Santé



εὐρυχωρίαν τοῦ θώρακος κατιούσας, καὶ ταύτας ἀπηγόρευσαν οἱ παλαιοί· ἡμεῖς δὲ εἰ μὲν ὁ πνεύμων ἰσχυρῶς ὑπὸ τῆς σύριγγος ἐνοχληθῆναι τύχοι, ἢ καὶ τοῦ ὑπεζωκότος ὑμένος πολύ τι μέρος, καὶ αὐτοὶ παραιτησόμεθα· εἰ δ᾽ ὀλίγον ὁ ὑπεζωκὼς πάθοι, ὥστε αὐτῷ μόνῳ σύντρησιν γενέσθαι, παρα-
P. 39. πλησίως ἐγχορήσομεν· ὥσπερ καὶ ἐπὶ || τῶν εἰς βρόχον κατατεινουσῶν.

12. Ἐπὶ δὲ τῶν εἰς ἔντερα, εἰ μὲν καὶ αὐτῶν τι τῶν ἐντέρων ἀναστομωθείη, δηλονότι ἀπαγορεύσομεν· εἰ δὲ μόνον τὸ περιτόναιον, περιελόντες, εἰ μὲν ἐνδέχοιτο, μυρσινοειδῶς, ἐναίμως ἄξομεν, χρησάμενοι τῷ τῆς γαστροῤῥαφίας τρόπῳ, ἧς τὸ εἶδος ἐν οἰκείῳ τόπῳ παραδείξομεν· εἰ δὲ μὴ ἐπιδέχοιτο τὸ σχῆμα τῆς σύριγγος μυρσινοειδῆ περιαίρεσιν κυκλοτερῆ, περιγράψαντες τὸν κατὰ συνσάρκωσιν τῆς θεραπείας ἐπάξομεν τρόπον· περὶ δὲ τῶν εἰς φλέβαν ἢ ἀρτηρίαν, εἰ μὲν εἴη μεγάλη, παρεδείξαμεν ἤδη ὅτι διὰ φαρμακείας ἐκτυλοῦν καὶ ἀποθεραπεύειν χρὴ τὰς τοιαύτας· ἐπὶ δὲ τῶν μικροτέρων, ἔξεστι μὲν καὶ περιαιρέσει· βέλτιον δὲ καὶ καύσει χρῆσθαι· οἵ τε γὰρ τύλοι ὑπὸ τῆς καύσεως ἐκδαπανῶνται· καὶ ἐν τῷ παραυτίκα μεταβάλλουσιν εἰς ἐσχάραν, ἀναίμακτός τε ἡ ἀποθεραπεία γίνεται.

13. Τὰς δὲ εἰς νεῦρον (1) περαιουμένας πάσας διὰ φαρμακείας θεραπευτέον· τὰ δ᾽ ἐν τοῖς οὔλοις συρίγγια ἐπιδιαιρεῖσθαι χρή· ἐξαπλωθέντα Γὰρ θεραπεύεται ὡς ἕλκη· ἐὰν δὲ δυσανασχετῇ ὁ πάσχων, ἐξαιρείσθω ὀδούς· ἅμα γὰρ τῇ τοῦ ὀδόντος ἐξαιρέσει τὸ συρίγγιον ἀνασταλήσεται καὶ τὸ οὖλον συμπεσεῖται· ἐπὶ δὲ τῆς ἕδρας (2) φανερᾶς μενούσης τῆς σύριγγος ἔξω τοῦ στομίου πα-

(1) Ἀπὸ τοῦ η̄ τῶν Ἡλιοδώρου χειρουργουμένων, κεφάλαιον περὶ τῶν ἐν οὔλῳ συρίγγων.

(2) Ἀπὸ τοῦ δ̄ τῶν Ἡλιοδώρου χειρουργουμένων, κεφάλαιον περὶ τῶν ἐν ἕδρᾳ συρίγγων.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 38 sur 544

ρὰ τῷ δακτυλίῳ, ἔνδοθεν δὲ τοῦ δακτυλίου συντετρημένου, ὁ τῆς μηλωτρίδος πυρὴν εἰς τὸ στόμιον ἐντιθέσθω· καὶ διωθείσθω τὸ ἔλασμα, ἕως κενεμβατήσῃ εἰς τὸν τῆς ἕδρας πόρον· εἶτ᾽ ἐπικαθιέσθω εἰς τὴν ἕδραν ὁ λιχανὸς δάκτυλος τῆς ἀριστερᾶς χειρὸς, καὶ δι᾽ αὐτοῦ ἐκλαμβανέσθω ὁ τῆς μηλωτρίδος πυρὴν, καὶ ἀποτεινέσθω, καὶ τότε ἐκτεμνέσθω πάντα τὰ σεσυριγγωμένα, ὅλα τὰ ἐξηλειμμένα· κἂν φανῇ τύλος ὑποκείμενος, ἀπὸ τῶν ὑγειῶν ἐντεμνέσθω.

14. Ἐὰν δὲ ᾖ βαθυτέρα ἡ σύριγξ, συντετρημένου τοῦ σφιγκτῆρος, ἢ τοῦ πέρατος τοῦ ἀπευθυσμοῦ· ἐὰν μὲν ᾖ δυνατὸν, τῇ μηλωτρίδι ἐκλαμβανέσθω ἡ ὑποφορά· καὶ τότε ὁ μὲν σφιγκτὴρ ἀποτεινέσθω· ὁ δὲ δακτύλιος περιαιρείσθω· σφιγκτὴρ γὰρ ὅλος διὰ βάθους περιαιρεθεὶς, οὐ συμφύεται, ἀλλὰ | τῆς τοῦ σκυβάλου ῥοιάδος αἴτιος γίνεται· P. 40. ἐὰν δὲ ἐκτρέπεσθαι μὴ δύνηται ὁ σφιγκτὴρ σὺν τῷ δακτυλίῳ διὰ πάχος καὶ τὴν ἀπήνειαν τῶν σωμάτων, καθιέσθω ἡ μηλωτρὶς εἰς τὸ βάθος ἕως οὗ κενεμβατήσῃ, καὶ τῷ δακτυλίῳ καθεσθέντι γυμνὸν προσπέσῃ τὸ τῆς μηλωτρίδος ἔλασμα· ἐπικόπου δ᾽ ὄντος τοῦ ἐλάσματος, τὸ τῆς ὑποφορᾶς βάθος ὑποδιαιρείσθω, τοῦ ἀπευθυσμένου λέγω καὶ σφιγκτῆρος.

15. Πρὸς δὲ τὴν ἐπιδιαίρεσιν, τῷ λιχανῷ δακτύλῳ συγκαθιέσθω ἡ τοῦ ἡμισπάθου ἀκμὴ τοῦ ὑπό τινων κατεσκευαζομένου συριγγοτόμου· καὶ ἔσωθεν ἔξω ἀγομένη ἡ ἀκμὴ, διαιρείτω τὸ τῆς ὑποφορᾶς βάθος· ἐπιδιαιρεθέντος δὲ τοῦ σφιγκτῆρος, κομιζέσθω μὲν ἡ ἀκμή· τῷ δὲ λιχανῷ δακτύλῳ ἐκλαμβανέσθω ἔσωθεν ἔξω τὸ τῆς μηλωτρίδος ἔλασμα· ἵν᾽ ὁ σεσυριγγωμένος δακτύλιος κατὰ τὴν μεσότητα γένηται τοῦ τῆς μηλωτρίδος ἐλάσματος, καὶ πάλιν γένηται ἡ ἐκτομὴ κατὰ τὸν ἱστορημένον τρόπον· ἀσυντρήτου δ᾽ οὔσης τῆς ὑποφορᾶς, τὸ τῆς μηλωτρίδος ἔλασμα καθιέσθω· καθιέσθω δὲ καὶ εἰς τὴν ἕδραν ὁ λιχανὸς, ἵν᾽ ἐκ διαδόσεως τῆς ἁφῆς γινώσκῃ ὁ σημειούμενος τὸ πάχος τοῦ

σωμάτων· κἂν μὲν ᾖ λεπτά, συντιτράσθω κατὰ τὸ πέρας ἡ ὑποφορά· συντιτράσθω δὲ ἢ τῇ μηλωτρίδι, ἢ τῇ ὀξείᾳ· καὶ μετὰ τὴν σύντρησιν, ἐκλαμβανέσθω τὰ εἰρημένα.

16. Ἐὰν δὲ ᾖ παχέα τὰ μεταξὺ τῆς ἕδρας καὶ τῆς ὑποφορᾶς σώματα, τοπικὴ γινέσθω τῆς σύριγγος ἀναστολή· παχύτατα γὰρ σώματα ἐκτεμνόμενα αἱμοῤῥαγίαν δυσκράτητον ἐμποιεῖ· ἅμα δὲ καὶ διὰ τὸ βάθος τῆς ἐκτομῆς, δυσχερὲς συσσάρκωσιν γενέσθαι· ὅταν δὲ ᾖ κεχωρισμένη ἡ σύριγξ τῆς ἕδρας πλησιάζουσα τῷ ἰσχίῳ, πρότερον αὐτὴν ἱπποτηρίῳ ἀνευ-
* Cod. δέ. ρύνειν δεῖ *, καὶ τότε ὅλον ἀπὸ τῆς ἐπιφανείας ἕως τοῦ βάθους ἀναστέλλειν, ἐκτέμνειν τε τὰ χείλη· ὑφ' ὅσον γὰρ ὑγιάζεται ἡ ἀναστολὴ μεμυουρισμένη κατὰ τὸ βάθος, ἐπὶ τοσοῦτον συντομωτέρα γίνεται ἡ συσσάρκωσις· ταῦτα φρονοῦμεν ἐπὶ τῶν εὐθειῶν συρίγγων.

17. Ἄνω δὲ τῆς σύριγγος ἐσχηματισμένης κατὰ τὸ σχῆμα
P. 41. καὶ τὸ βάθος τῆς ὑποφορᾶς || ἡ ἀναστολὴ γινέσθω· ἐὰν δὲ πλησιάζῃ ἡ ὑποφορὰ τῷ τῆς κύστεως τραχήλῳ, ἐγκειμένης τῆς μηλωτρίδος τὴν σύριγγα, καθιέσθω διὰ τῆς οὐρήθρας πρὸς τὴν ἡλικίαν καθετὴρ, ἵν' ἐν τῇ χειρουργίᾳ διὰ τῆς ἀφῆς ἐκ διαδόσεως τοῦ καθετηρίου, ἀντιλαμβανόμενοι τοῦ τῶν σωμάτων πάχους, ἀσύντρητον φυλάξωμεν τὸν τῆς κύστεως τράχηλον· κάτω δὲ τῆς σύριγγος ἐσχηματισμένης, καὶ τοῦ ἱεροῦ ὀστέου λελιπασμένου ἢ τετερηδονισμένου, οὐ δεῖ αὐτὸ δεδοικέναι διὰ τὸ ὄνομα· οὐ γάρ ἐστι κύριον, ἀλλ' ἐὰν ἐπιζητῇ ἐκκοπὴν ἐνεργεῖν, καθὼς ἐδηλώθη ἐπὶ τῶν ἄλλων τετερηδονισμένων ὀστέων· κρυπτῆς δὲ σύριγγος γενομένης ἐν δακτυλίῳ τοῦ μὲν στομίου ἔνδον ὄντος· τῆς δ' ὑποφορᾶς πλάτος τοῦ βάθους προσαναμετρηθέντος ἔσωθεν ἀπὸ τοῦ στομίου, ἀγκίστροις ἀποτεῖναι δεῖ τὴν σύριγγα καὶ ὅλην ἐκτέμνειν.

18. Ταῦτα μὲν οὖν δύναται γίνεσθαι ὅταν ᾖ ἔξωθεν τοῦ δακτυλίου ἡ κρυπτὴ σύριγξ· ὅταν δὲ βαθεῖα τυγ-


©BIU Santé

χάνη, τὸν σφιγκτῆρα σεσυριγγωκυῖα, ἤτοι ἀπὸ τοῦ δακ-
τύλου ἀρξαμένη, καὶ ἐπὶ πολὺ κεχωρηκυῖα, ἢ ἐν τῷ
σφιγκτῆρι κατεσκευασμένη, μετὰ τὴν δεδηλωμένην σημείω-
σιν τῷ ἑδροδιαστολεῖ (1) διοπτρίῳ λέγω, διαστεῖλαι δεῖ
τὴν ἕδραν, ὡς γυναικεῖον κόλπον· εἶθ' ὅταν φανερὸν γέ-
νηται τὸ τῆς σύριγγος στόμιον, δι' αὐτὸ καθιέσθω ὁ τῆς μη-
λωτρίδος πυρὴν, καὶ διωθείσθω εἰς τὸ βάθος· ἐπικόπου τε ὄντος
τοῦ ἐλάσματος, ὅλη διαιρείσθω ἡ σύριγξ τῷ ἡμισπαθίῳ· ταῦ-
τα γινέσθω ἐπὶ τῶν μονοστόμων καὶ μονοσχιδῶν συρίγγων· τῆς δὲ
σύριγγος πολυστόμου καὶ μονοσχιδοῦς οὔσης, πρότερον ἐκτεμ-
νέσθω πάντα τὰ φαινόμενα στόμια· γυμνωθεῖσα γὰρ ἡ τοῦ
κόλπου ἀρχὴ, μονοστόμιον καὶ μονοσχιδῆ σύριγγα ἐνδείξεται·
ὥστε πάλιν ἡμᾶς κατὰ δευτέραν ἐπιβολὴν τοῖς αὐτοῖς ἔρ-
γοις χρήσασθαι τοῖς μικρῷ πρόσθεν εἰρημένοις· ἐπὶ δὲ τῆς μο-
νοστόμου καὶ πολυσχιδοῦς σύριγγος, ἢ μονοστόμου καὶ πολυκόλπου
τῇ δυνάμει ταῦτα ἐστὶν ἔργα· ἐκτμηθέντος γὰρ τοῦ στομίου,
γυμνωθεῖσαι αἱ τῶν κόλπων ἀρχαὶ, πολύστομον καὶ πολυσχι-
δῆ σύριγγα ἐνδείξεται.

19. Κοινότερον δὲ ἐπὶ τούτων ἐξετάσαι δεῖ, πότερον
τα μεταξὺ τῶν | ὑποφορῶν σώματα λεπτά ἐστιν ἢ πα- P. 42.
χέα· ἵνα ἐὰν ᾖ λεπτὰ, συντμηθῇ πάντα καὶ γένηται
μία ἕλκωσις· ἐὰν δὲ παχέα, ἑκάστη ὑποφορὰ καθ' ἑαυ-
τὴν ἀνασταλῇ· ἐὰν δ' ἡ μέν τις ὑποφορὰ ἄνω ᾖ ἐσχηματισ-
μένη, ἡ δὲ κάτω· ἄλλη δὲ πλαγία κεχωρισμένη, κατὰ πολὺ
τῶν συρίγγων παχέων ὄντων τῶν μεταξὺ σωμάτων, ἑκάστη ὑπο-
φορὰ καθ' ἑαυτὴν ἀναστέλλεσθαι ὀφείλει· αἱ χειρουργίαι εἰσὶν
αὗται· μεθ' ἃς θεραπεῖαι ἐγκρινέσθωσαν ἀναξηραίνουσαι μὲν
ὀστέον γεγυμνωμένον, λιπαίνουσαι δὲ ὅταν ᾖ ἐσκεπασμένα τὰ
ὀστᾶ· τῶν δὲ δακτυλίου κατὰ πλείονα μέρη καθ' ὅλον τὸν κύ-

(1) Ἐν τούτῳ τὸν ἑδροδιαστολέα μικρὸν διόπτριον καλεῖ.

©BIU Santé



κλον περιηρημένου, ἵνα μὴ φιμὸς γένηται· ἐν μὲν ταῖς πρώ-
ταις ἡμέραις πριαπίσκος ἐντιθέσθω· ἐν δὲ ταῖς ἐσχάταις
πρὸς τὴν κατούλωσιν σωλὴν μολύβδου ἢ κασσιτήρινος γινέσθω,
καὶ ἐντιθέσθω μέχρι κατουλώσεως· καὶ μετὰ τὴν κατούλωσιν
δὲ συμφέρει βραδύναι τὴν τοῦ σωλῆνος ἔνθεσιν πρὸς ἀσφαλῆ
καὶ βεβαίαν θεραπείαν (1)· καὶ ἐν δακτύλοις ἀποστηματικὰ
συρίγγια γίνεται, ὡς ἐπίπαν ἐν ταῖς συναρθρώσεσιν· ἐφ᾽ ὧν
δεῖ, ἤτοι τὸ ἀποστημάτιον, ἤτοι τοῦ συριγγίου τὸ στόμιον κα-
τὰ τετράγωνον σχῆμα τέμνειν· κἂν μὲν ᾖ ἀλιπῆ τὰ ὀστά-
ρια, μηδὲν περιεργάζεσθαι· λιπασμοῦ δὲ ὄντος, ἐκκόπτειν τὰς
τῶν σκυταλίδων κεφαλίδας σμιλωτοῖς ἐκκοπεῦσι· εἶτ᾽ ἐντιθέναι
μοτάρια τιλτά· καὶ τότε μοτοφυλάκιον οἰνελαίῳ βεβρεγμένον
καὶ ἐπιδεῖν δεσμιδίῳ στενῷ· συνεπιδεῖν δὲ τὸν πλησίον δάκτυ-
λον, ἵνα στηρίζηται ὁ κεχειρουργημένος· τῷ δὲ μεγάλῳ τῷ ἀν-
τίχειρι ναρθήκιον ἢ φιλύριον σανίδιον συνεπιδέδεσθαι στηριγ-
μοῦ χάριν.

20. Τῶν (2) δὲ ἐν τῷ ὀσχέῳ συρίγγων, ἡ μὲν κατὰ τὰ ἐμ-
πρόσθια μέρη βαρυνθεῖσα (3) συντετρήσει τὸν ἐλυτροειδῆ χι-
τῶνα· ἡ δὲ κατὰ τὰ ὀπίσθια, τὰ κατὰ τὴν πρόσφυσιν· τοῦ
μὲν οὖν ἐλυτροειδοῦς χιτῶνος συντετρημένου, ἅμα τῇ καθέσει
διὰ τῆς συντρήσεως κενεμβατεῖ ἡ μηλωτρίς· ὅταν δὲ ἐπερει-
σθῇ τῷ διδύμῳ, νύξασα τοῦτον, σφοδροτάτην ποιεῖ ὀδύνην·
ἐπὶ δὲ τῆς κατὰ ὄπισθεν μέρη ὁμοίως νυσσομένου τοῦ διδύμου,
γίνεται ἀλγηδών· σχηματιζέσθω δὲ ὕπτιος ὁ πάσχων ἐν τῇ
P. 43. χειρουργίᾳ· ἔπειτα διωθείσθω || τὸ ἔλασμα· ἐπικόπτω τε χρώ-
μενος αὐτῷ, ὅλην τὴν σύριγγα ἐξάπλου καὶ ἐκτύλου· τῆς δὲ

(1) Περὶ τῶν γιγνομένων κατὰ τοὺς δακτύλους· αὐτοῦ ἐκ τῶν Λεωνίδου κεφαλαίων.

(2) Ἐκ τοῦ αὐτοῦ.

(3) Γρ. βαθυνθεῖσα.

©BIU Santé



σύριγγος κατὰ τὰ ὀπίσθια μέρη γεγενημένης, καὶ τοῦ διδύμου κεκομμένου, ἀνάγκην ἔξομεν τῇ τῶν σκεπόντων σωμάτων ἀναστολῇ· καὶ τὸν κεκακωμένον δίδυμον ἀφελεῖν, διακρίσεως τῆς αὐτῆς γινομένης, καὶ τῆς τῶν ἀγγείων ἀποσφίγξεως, ὡς πρόσθεν ἐδηλώθη.

## XIV. Ἐκ τῶν Μέγητος (1) περὶ συρίγγων.

1. Θεραπεία δὲ τῶν συρίγγων ἡ μὲν διὰ φαρμάκων, ἡ δὲ διὰ χειρουργίας, τρίτη δὲ ἡ διὰ τῶν βρόχων· χρῆσις δὲ φαρμάκων ξηρῶν ἢ κολλυρίων ἢ ἐγχύτων ἢ ἐμπλαστῶν ἀποτήκειν δυναμένων, ἢ καυστικῶν· χειρουργία δὲ δύναται τεμεῖν, καῦσαι, περιελεῖν, ξύσαι, ὀστοῦν ἀνελέσθαι, τὸν χόνδρον ἐκλύψαι· τούτων δὲ τὸ μὴ καθ' αὑτὴν αὐτάρκης καὶ περιαίρεσις καὶ καῦσις· τὰ δὲ ἄλλα ἐπὶ τούτοις ποιητέα, ἢ φαρμάκοις γυμνῶσαι τὸ πεπονθὸς ὀστοῦν δυναμένοις, ἢ τὸν χόνδρον· οἱ δὲ βρόχοι τὰς ἐνέδρας ἁπλᾶς οὔσας ἰῶνται, καί τινας τῶν πολυσχιδῶν· ὁπόσαι μὲν οὖν τῶν συρίγγων ἁπλαῖ τε εἰσὶ, καὶ ἐν σαρκὶ μὴ ἐνερυσσωμένῃ μηδὲ κοίλῃ καὶ ἀκινήτῳ, ἢ ἐπ' ὀλίγον συγκινουμένῃ, καλῶς ἂν θεραπεύοιντο φαρμάκῳ· κἂν μὲν τύχωσιν ἐξ ὀλίγου τοῦ χρόνου ἐγγινόμεναι, ἐμπλαστοῖς· ὅσαι τραυματικαὶ εἰσὶ, δι' ἁλόης ἢ στυπτηρίας ἢ ἰοῦ καὶ λεπίδος, καὶ τῶν μεταλλικῶν λεγομένων· τῶν γὰρ ἐμπλαστοῦ φαρμάκου σκωλήκιον ἀναπλάττοντα ἐντιθέναι, ὅσον μὲν (2) διασφηνῶσαι, μέχρι αἷμα καθαρὸν ἀπείη· εἶτα τὸ αὐτὸ φάρμακον σπλήνιον ποιήσαντα ἐπιτιθέναι καὶ σπόγγον ὑπὲρ αὐτὸ ὄξει διάβροχον· λύειν δὲ

(1) Ὁ Γαληνὸς ἐν τῷ ϛ̄ τῆς θεραπευτικῆς σιδώνιον τὸν Μέγητα εἶναι φησί· ἄλλοι δὲ μαθητὴν αὐτὸν εἶναι Θεμίσωνος ἀναγράφουσι.

(2) Γρ. μή.

διὰ πέμπτης, καὶ διαιτᾷν κρέας ὀπτὸν καὶ ἄρτον πεπονημένον,
οἶνον δὲ πίνειν σάρκα αὐξῆσαι δυνάμενον, καὶ κατακείμενον
προαλείφεσθαι· ἁρμόσει δὲ ἂν πόῤῥω τοῦ θώρακος ἡ σύριγξ
γένηται, δι' ἡμερῶν νῆστις ἔμετος, καὶ διὰ ῥαφανίδων ἐπιτη-
δευόμενος.

2. Ἄριστον δὲ φάρμακον σύριγξι τὸ ἐμὸν κολλύριον·
ἔστι δὲ ἰοῦ ξυστοῦ δραχμαὶ δύο, καὶ θυμιάματος ἀμμω-
νιακοῦ ὀβολοὶ δύο· ὁ μὲν ἰὸς ξηραίνεται· τὸ δὲ ἀμμωνιακὸν
ὄξει διεθὲν, ὡς κόμμι ἐπιχυθὲν τῷ ἰῷ, καὶ μιγὲν ἀναπλάτ-
τεται· καθιέναι δὲ χρὴ μέχρις αἷμα σταθηρὸν ἀποκριθῆναι·
P. 44. ἀπαντᾷ δὲ ὁ τύλος περὶ τῷ κολλυρίῳ· | χρὴ δὲ τὸ κολλύ-
ριον ἐνιέντα καταπλάσσειν τοῖς ἀνωτέρω γεγραμμένοις, ὅσα ψύ-
χειν δύναται ἢ στύφειν ἠρέμα· τὰ γὰρ πλησίον τῆς σύριγ-
γος, φλεγμαίνειν ποιεῖ· ποιεῖ δὲ καὶ τὸ καυστικὸν φάρμακον,
ὅταν βρέξας τὶς ἔτι αὐτὸ πάπυρον ἢ σπόγγον ἐσκελετευμένον
καθῇ· παρελθὸν γὰρ ἔκαυσε τὴν σύριγγα· ἐπ' ἀμφοῖν δὲ,
κολλυρίου τὲ καὶ τοῦ καυστικοῦ, ἐγκλύζειν χρὴ τοῖς ἀνακαθαρ-
τικοῖς περὶ ὧν εἴρηται.

3. Ἀποτήκει δὲ καὶ σκίλλα τιλτὸν ἐνεψεθεῖσα κονίᾳ, ᾗ
χρῶνται οἱ τοὺς πηλοὺς ἐργαζόμενοι· τήκει γὰρ ἐῤῥωμένως
καὶ αἱμάττει (1)· καὶ φάρμακα ὑγρὰ ἐκχεόμενα, τὰ μὲν
ὡς ἔχει, τὰ δ' οἴνῳ, ἔστι δ' ὅτε ὄξει, χρονίων καὶ διατύ-
λων οὐσῶν τῶν συρίγγων· καὶ ξηρὰ δὲ φάρμακα ὅταν προα-
νοίξῃ τὶς ἱπποτηρίῳ τὴν σύριγγα, ἐμφυσσώμενα διὰ κα-
λάμου, τὰ μὲν τήκει, ἃ δὲ ἐκάθαρεν· ἔστι δὲ ἃ στεγνωτι-
κὰ ὄντα τὸ ῥεῦμα ἐπέσχε· ξηρανθὲν δὲ τὸ ἕλκος κατούλω-
σεν· οἶδα δὲ καὶ τοῖς σηπτοῖς φαρμάκοις, ὥσπερ καὶ τοῖς
καυστικοῖς, τύλους ἀφανισθέντας· ἔχριον δὲ τὸ σηπτὸν περὶ
τρύχας ὑείας συνδῶν αὐτας, ἢ ἀλίσχοινον χρίων, παρῆγον

(1) Γρ. καὶ αἱματεῖ.

εἰς τὴν σύριγγα· τέλος γὰρ, τὸ μὴ ὑγιὲς τῆς σαρκὸς μηδὲ
οἰκεῖον, ἐξαγαγεῖν· τὴν δὲ συγγενῆ ἀνακαθήραντες ἐᾶσαι συν-
ελθεῖν· τὸ δὲ λινὸν ἐπιτήδειον ταῖς ἐνέδραις σύριγξιν ἀμ-
φιστόμοις ἢ ἓν στόμα ἐχούσαις.

4. Χρὴ δὲ αὐτὸν διατρῆσαι· ἔστω δέ σοι μηλωτρὶς ἐπ' ἄκρον
τρῆμα ἔχουσα, οἷον αἱ βελόναι, τὸ κύαρ (1)· ἢ οἷον ἕλικα πρὸς
τῷ πέρατι, καὶ εἰς σχῆμα κοχλίου ῥινοθήτω· εἰ γὰρ διὰ τοῦ
στόματος διεῖραι χρὴ τὸ λινὸν, καὶ ἐῤῥωμένως ἐστραμμένον,
ὅσον δίστροφον ἢ τρίστροφον· κἂν μὲν ἀμφίστομος ᾖ, καθ-
ιέναι διὰ τοῦ ὁρωμένου στόματος τὴν μηλωτρίδα σὺν τῷ λινῷ,
καὶ διὰ θατέρου, καὶ ἐντὸς εἰς ὃ περατοῦται ἡ σύριγξ, στό-
ματος ἐκλαβόντα τὸ ἄκρον τῆς μηλωτρίδος σὺν τῷ λινῷ, καὶ
διὰ θατέρου, καὶ ἐντὸς, εἰς ὃ περατοῦται ἡ σύριγξ, τὴν μὲν
ἀρχὴν αὐτὴν τῆς ἀριστερᾶς χειρὸς τοῖς δυσὶ δακτύλοις, λιχα-
νῷ τε καὶ μεγάλῳ, κατασχεῖν μηδὲν ἐφελκώμενον, μὴ ὅλον σοι
τὸ λινὸν διεκπέσῃ διὰ τοῦ || ἐντὸς τρήματος· τὸ δὴ μετὰ τοῦ- P. 45.
το καθ' ἑκάστην μηλωτρίδα ἀνακομίζον· ἔσται γάρ σοι τοῦ
λινοῦ τὸ μὲν ἔξω ἀπαιωρούμενον ἄκρον· τὸ δὲ, διὰ τοῦ ἐν-
τὸς καὶ τῆς ἕδρας ἐξηλειμμένον· σύνδει οὖν αὐτὰ πρὸς ἄλληλα
ἀγκύλῃ· τὴν σάρκα μὲν σφίγγων χαλαρώτατα χρῆναι τῷ λι-
νῷ· περιπατείτω δὲ, καὶ λουέσθω διὰ ἡμερῶν· μὴ πολλὰ δὲ
ἐσθιέτω, μηδὲ ὥσπερεὶ μηδὲν κακὸν εἶχε διαιτάσθω.

5. Χρὴ δὲ τὸ λινὸν ἅπαξ ἢ δὶς τῆς ἡμέρας διέλκειν, μὴ
λυομένου τοῦ βρόχου· προσέχειν δὲ τὸν νοῦν ὡς μὴ λάθῃ
σαπὲν τὸ λινὸν, ἀλλὰ διὰ τρίτης αὐτὸ ἀλλάττειν· λύσαν-
τα γὰρ χρὴ τὴν ἀγκύλην, λινὸν νεαρὸν τῇ ἔξω ἀρχῇ τοῦ
παλαιοτέρου προσδεῖν, καὶ τὸ ἐντὸς ἕλκειν, μέχρι παρελθὸν τὸ

---

(1) Κύαρ ἢ τὸ τῆς βελόνης τρύπημα, ὡς Ἑλλάδιος, ὁ τὴν πολ-
λὴν χρῆσιν συναγαγεῖν δείκνυσιν ἐν τῷ κ στοιχείῳ· κέχρηται δὲ Ἱππο-
κράτης τῇ λέξει.

©BIU Santé

νεαρὸν διὰ τῆς σύριγγος ὅλης τὴν ἑτέραν ἀρχὴν διὰ τῆς ἕδρας περιβάλῃ· εἶτα συνδεῖν ὁμοίως καὶ ταῦτα ποιεῖν· δύναται δὲ τὸ λινὸν καὶ ὁ περίπατος τὴν πρὸ τῆς σύριγγος ἐπιφάνειαν ἅμα τε διαιρεῖν, καὶ τὸ διαιρεθὲν ἑπόμενον κατκλοῦται· οὗτος ὁ τρόπος μακρὸς μέν ἐστιν ἐν θεραπείᾳ, ἄλλως δὲ ἀνώδυνος. τοῖς δὲ βουλομένοις θᾶττον τῷ λινῷ θεραπεύεσθαι προσήκει πρίζειν τὴν σάρκα· ἐμπρίζεται γάρ. ἀλλὰ μετ' ὀδύνης· καθιέναι δὲ εἰς τὴν νύκτα σπόγγια ἐσκελετευμένα, ὑφ' ὧν τεινόμενον τὸ δέρμα λεπτὸν ἔσται· τὸ δὲ λινὸν εὐπετῶς δι' αὐτοῦ καὶ τῆς σαρκὸς αἰσθήσεται· ἐὰν δὲ ἐπιταχύνειν βουληθείης, χρίε τοῦ γεγραμμένων τινὶ φαρμάκων τὸν σπόγγον· ἅμα δὲ τῷ πάχει καὶ τῇ ὀδύνῃ προσθήσεις.

## XV. Ἐκ τοῦ Ἀρχιγένους περὶ γαγγραινῶν (1).

P. 48. 1. Τὸ μὲν γαγγραινούμενον αὐτὸ μέν ἐστι πελιδνόν· ἔχει δὲ κύκλῳ μηλίζοντα, καὶ πελιούμενα, τρεπόμενά τε εἰς τὸ χλωρόν· τὸ δὲ περὶ τῷ χλωρῷ λευκόν τε καὶ ῥυσσόν, καὶ τὸ περὶ τούτοις μετέωρον καὶ ἀτρέμα ὑπερυθρόν· μετέπειτα δὲ τὸ μὲν χλωρὸν πελιοῦται, τὸ δὲ λευκὸν χλωρὸν γίνεται, τὸ δ' ἐρυθρὸν ἀπολευκαίνεται, τὸ δὲ πελιὸν κατὰ τὴν ἁφὴν ἀναίσθητον καὶ ξηρὸν γίνεται· ἔπειτα μελαίνεται καὶ σήπεται· ἐπὶ δὲ μεγέθει φλεγμονῆς καὶ τραύματος σομφότης τε καὶ ψόφος οἱονεὶ πνεύματος ὑπιόντος γίνεται· ἀτὰρ καὶ φλυκτίδες ἐπαίρονται· καὶ ἡ μὲν ἐπινέμεται κατὰ τὸ συνεχές, ἡ δὲ διεσπαρμένη· εἰ μὲν οὖν ἐκ βάθους προηγησαμένη περιωδυνία γίνηται, πολλὴν δ' ἔχει σομφότητα καὶ οἷς ἄνωθεν εἰς βάθος

---

(1) Ἀπὸ τοῦ $\overline{\alpha}$ βιβλίου τῆς συνόψεως τῶν χειρουργουμένων, μετὰ τὸ $\overline{\beta}$ βιβλίον, κεφάλαια τοῦ ὁμοίου.

©BIU Santé

©BIU Santé



κάτεισιν· οἷς δ' ἐν ἐπιφανείᾳ μένει, ψόφος μὲν οὐδὲ εἷς· φλυκ-
τίδες δ' ἐπαίρονται· πᾶσα δ' ἔστι χαλεπὴ ϗ δυσκράτητος.
2. Ὡς ἐν τοιαύτῃ οὖν διαθέσει τὴν ἔμφασιν ἀπολειπούσαν
πόσης σωτηρίας ἐκληπτέον ὅσον || τὴν ἐπιφάνειαν ἐν νεωτέρῳ σώ- P. 49.
ματι ϗ μὴ γηραλαίῳ· ϗ τὴν ἐν σαρκώδεσιν ἢ βουβῶσιν ἢ
μασχάλαις ἢ ἐν κυρίοις σύνεγγυς τόποις δύσκολος, ϗ ἡ ἐπὶ
πλέον πελιουμένη· βραδὺ δὲ μεταβάλλουσα εἰς μέλαν· χαλε-
πὸν δὲ ϗ τὸ μηδὲν ἐν ταῖς κατασχέσεσιν αἷμα ῥεῖν, ἀλλ'
οἷον ἐξυδατωμένον, σομφότης τὲ ἐν ταῖς πιέσεσι γινομένη· οὕ-
τως δὲ τὸ πάθος ὀξὺ ϗ χαλεπόν ἐστιν, ὥς τε μήτε ἀρχὰς
μήτε μεσότητας εὑρίσκεσθαι θεραπείας· πλὴν κοινῶς πάντας
φλεβοτομητέον· ἐστεγνωμένης δὲ κοιλίας, κενωτέον ϗ κατα-
σχαστέον, τό τε νενεκρωμένον περιχαρακτέον, οὗ τὸ βάθος ἡ
τοῦ αἵματος μηνύει ῥύσις· τὸ δὲ κατασχασθὲν ἁλὶ λεπτῷ ϗ
ἐλαίῳ ἀνατριπτέον σφοδρῶς ϗ ἐφ' ἱκανόν· ἔπειτα κατα-
πλάσσειν φλοιῷ ῥαφάνου σὺν αἰρίνῳ ἀλεύρῳ ἢ θερμίνῳ ἀλεύ-
ρῳ, μετὰ νίτρου ἀφροῦ· ϗ τοῦ μὲν ἀλεύρου δύο μοῖραι, μία δὲ
τοῦ νίτρου· μετὰ δὲ ὄξους δριμυτάτου καταπλαστέον ϗ πύ-
ρινον δὲ ἄλευρον σὺν δαφνίσι καθαραῖς· περίχρηστοι δὲ ἥ τε
σφραγὶς διεθεῖσα ὄξει, ϗ ἡ διὰ τῶν οἰσυπηρῶν, ϗ πᾶσα ἡ
ταύταις ἀνάλογος· κατάντλημα δὲ συνεχὲς οὖρον δριμὺ θερ-
μὸν· ῥαφάνου ἀφέψημα ἢ πράσου ἢ ἀγριελαίων ἢ βάτου ἢ κο-
ρίου ἢ ὄξους σκιλλιτικοῦ· ἐνεργεῖ δὲ μᾶλλον θερμόν.
3. Στάσιν δὲ λαβούσης τῆς νομῆς, ἐπὶ τὰς ἀνακαθαι-
ρούσας δυνάμεις βαδιστέον· πάμπολλαι δ' εἰσὶν, ἐξ ὧν πα-
ραδείγματος χάριν ὀλίγας παραθήσω· φακὸς γὰρ ἑφθὸς ϗ
κατ' ἰδίαν ϗ σὺν ῥόαις, λεπυχάνοις λείοις σὺν μέλιτι ὀρό-
βου τὲ· ἄλευρον ὁμοίως σκευασθὲν, ϗ αἶραι, ϗ πράσιον ϗ
σταφὶς ἐκγεγαρτισμένη, ϗ μαλάχης ἀγρίας φύλλα, μετὰ με-
λικράτου ἀρνόγλωσσον, ἥ τε αἰγυπτία, πᾶσα τὲ χλωρὰ
δύναμις ῥοδίνῳ διεθεῖσα· μετὰ δὲ τὴν ἔκπτωσιν τοῦ ἀπαλ-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 47 sur 544

λοτριωθέντων, ταῖς πυοποιαῖς ϗ πληρωτικαῖς χρηστέον· ϗ
τὰ μὲν ὑπὲρ τὸ ἕλκος καταπλαστέον τοῖς ἀποκρουομένοις, |
P. 50. τὰ δὲ ἕλκη ἀδήκτοις θεραπευτέον.

P. 52. ## XVI. Ἐκ τοῦ Ῥούφου περὶ ἐρυσιπελάτων. || (1)

Ὅσα δὲ ἐπὶ ἕλκεσιν ἐρυσιπέλατα γίνεται, κακήθη πάν-
P. 53. τα· ϗ τὰ ἀφανιζόμενα ὡσαύτως, ϗ οἷς πυρετοὶ συνεδρεύ-
ουσιν· οὐκ ἀγαθὸν δὲ οὐδὲ τοῦ στήθους κατακεχυμένον ἀφα-
νίζεσθαι μετὰ δυσπνοίας ϗ νυσταγμοῦ ϗ μήλων ἐρεύθους·
εἰς γὰρ περιπνευμονίαν τὰ τοιαῦτα ὁρμᾷ, ϗ διὰ ταχέων
ἀποκτείνει.

P. 62. ## XVII. Ἐκ τοῦ Ἀπολλωνίου πρὸς Σωσθένην.

Νίτρον λεῖον ἀναλαβὼν ῥητίνῃ, εἰς ὀθόνιον ἐμπλάσσων,
ἐπιτίθει. Ἄλλο. Μάνναν ἀναλαβὼν ῥητίνῃ, καὶ εἰς ὀθόνιον
ἐμπλάσσας, ἐπιτίθει. Ἄλλο. Ὕσσωπον τρίψας μετ᾽ ἀλφίτου
ἐν ὕδατι βεβρεγμένου κατάπλασσε. Ἄλλο. Σταφίδας ἐγγι-
γαρτήσας ϗ τρίψας, μίξον ἁλὸς λείου τὸ ἶσον, ϗ κατά-
πλασσε τοῦτο, ἢ διαχεῖ ἢ ῥήσσει. Ἄλλο. Στέαρ αἴγειον ἢ
P. 63. βόειον μεθ᾽ ἁλὸς τρίψας, ἐπιτίθει. || Ἄλλο. Ὀρίγανον ϗ ἅλας
λεάνας σμύρνῃ μίξον, ϗ ἐπιτίθει, παραχρῆμα δὲ πεπαίνει·
σμύρνα ϗ ὀρίγανον ἴσα μίξας, ϗ ὕδωρ παραχέας, χρῶ. Ἄλ-
λο. Ἰσχάδας ἑφθὰς τρίψας, ϗ ῥητίνῃ μίξας, ἐπιτίθει. Ἄλ-
λο. Μυρίκης καρπὸν μετ᾽ ὀρνιθίου στέατος λεάνας ἐπιτίθει.

(1) Ἀπὸ τοῦ περὶ τῶν ἐκτὸς παθῶν.

©BIU Santé

©BIU Santé



# ΟΡΙΒΑΣΙΟΥ

## ΙΑΤΡΙΚΩΝ ΣΥΝΑΓΩΓΩΝ

## ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ΜΕ.

### I. Ἐκ τῶν Ἀντύλλου περὶ στεατωμάτων. (1) P. 65.

Τὸ στεάτωμα ὁμόχρουν ὡς τὰ πολλὰ τῷ σώματι, διαλλάττει τούτοις, οἷς καὶ σημειωθήσεταί τις αὐτό· ὄγκῳ στενῷ μὲν ἐκ βάσεως, περιφερεῖ δὲ κατὰ τὰ ἄνω μέρη· ἀνωδυνία, εὐάφια μετὰ τὴν στερεὰν ἐπαφὴν εἶξει καὶ κοιλότητα· ὥστε μετὰ τὴν ἄρσιν τῆς χειρὸς μέχρι τινὸς ἐμφαίνεσθαι τὰς ἐντυπώσεις· καὶ μὴν καὶ προσφυές τε καὶ προσαρτὲς διαγνῶναι καὶ διακρίναι στεάτωμα ῥάδιον· τὰ μὲν γὰρ προσαρτῆ καθάπερ ἐνπλέοντα τῇ σαρκὶ, εὐμετάγωνα ἐστί· τὰ δὲ προσφυῆ οὐχ ὁμοίως ὑπακούει ταῖς κινήσεσι· οὐδὲ ὥσπερ ἐντρέμει τῇ σαρκί· χειρουργητέον δὲ αὐτὸ οὕτως.

### II. Χειρουργία στεατώματος. (2)

1. Περιτεῖναι σφόδρα χρὴ τὸ δέρμα κατὰ τὴν κορυφὴν τοῦ στεατώματος λιχνῷ τε καὶ μεγάλῳ δακτύλῳ τῆς ἀριστερᾶς χειρὸς· καὶ οὕτως ἐπεμβάλλειν διαίρεσιν ἐπ' εὐθείας, φυλατ-

(1) Ἀπὸ τοῦ α τῶν χειρουργουμένων· κεφάλαιον τοῦ ὁμοίου.

(2) Ὁ μὲν Ἀντύλλος στεάτωμα καλεῖσθαι φησὶν ἀπὸ τοῦ στέατος· τὸ γὰρ περιεχόμενον ἔστι ζυμωειδές· ἢ ἀπὸ τοῦ στέατος· διότι στεατῶδες ἐστὶ τὸ περιεχόμενον· ὁ δὲ Ἡλιόδωρος ἐν πρώτῳ χειρουργουμένων φησὶν ὅτι πιμελή ἐστὶ παρὰ τὴν φύσιν μεμεγεθοποιημένη, κατά τινα ἀνεκλάλητον παθητικὴν ἰδιότητα ηὐξημένης τῆς τοπικῆς πιμελῆς κατὰ πρόσθεσιν τῆς θρεπτικῆς ὕλης τῆς ἐν αὐτῷ ἀναδόσεως γιγνομένης.



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 49 sur 544

τομένους μήπως τὸν χιτῶνα συντρήσομεν· ἢ ἀντὶ τοῦ περιτά-
σεως, ἀνατάσει χρῆσθαι τοῦ δέρματος, ἐνδιπλοῦντας αὐτὸ καὶ
ἀνατείνοντας δι᾽ ὑπηρέτου καὶ τῆς ἀριστερᾶς χειρὸς· ἔπειτα
οὕτως διαιρεῖν· τοῦτο δὲ ποιητέον εἰ προσαρτὴς ὁ χιτὼν
εἴη· μετὰ δὲ τὴν διαίρεσιν εἰ μικροτέρα γένοιτο τοῦ δέοντος,
ἐπιδιαιρεῖν μέχρις ἂν συμμέτρως ἔχῃ πρὸς τὸν ὄγκον· ἔπει-
τα εἰς τὰ χείλη τοῦ δέρματος ἄγκιστρα ἑκατέρωθεν καθιέ-
ναι καὶ διατείνειν αὐτά· διασταλέντων δὲ τῶν χειλῶν, εἰ μέν
τινες ὑμένες ἔτι ὑποφαίνοιντο ἐνεστρωμένοι τῷ χιτῶνι τῷ πε-
ριέχοντι τὸ στεάτωμα, τούτους περικοπτέον· εἰ δὲ αὐτῷ τῷ
χιτῶνι ἐντύχοιμεν, γνωσόμεθα αὐτὸν ἔκ τε τοῦ ὁμαλότητος
καὶ τοῦ λευκότητος· γνόντες οὖν, εἰ μὲν προσαρτὴς εἴη, τῇ λα-
βῇ τοῦ σμιλίου πάσας τὰς ἀντοχὰς τὰς πρὸς τὴν σάρκα |
P. 66. κατὰ κύκλον ἀπολύσομεν· ὑπολειπομένου δέ τι τοῦ κατὰ τὴν βά-
σιν μέρους, ἄγκιστρα καθέντες κατὰ κορυφὴν εἰς αὐτὸν τὸν
χιτῶνα, καὶ περιστρέψαντες, αὐτὰ ἀνατεμοῦμεν ἰσχυρῶς διὰ
τῆς ἀριστερᾶς χειρὸς· οὕτως γὰρ εὐεργὴς ἡ ἀναβολὴ τοῦ χι-
τῶνος ἔσται κατὰ τὴν ἀνάτασιν τῶν ὑμένων ἀνατεινομένων
τε καὶ φανερῶν γινομένων· ὥστε ῥᾳδίαν αὐτῶν γενέσθαι τὴν ἀ-
πόλυσιν.

2. Χρὴ δὲ πειρᾶσθαι πάντως ὁλόκληρον κομίζεσθαι τὸν
χιτῶνα· ὑπολειφθὲν γάρ τι μέρος αὐτοῦ, παλιγγενεσίας αἴ-
τιον καθίσταται· εἰ δὲ μὴ προσαρτὴς ἀλλὰ προσφυὴς ὁ
χιτὼν εἶναι τύχοι, παρακτέον ἀκμῇ σμιλίου τὴν πρόσφυσιν
καὶ ἀπολυτέον· τὰ δὲ ἄλλα ὁμοίως ἐγχειρεῖν· εἰ δὲ τύχοι
ἐν νεύροις ἢ μυσὶν, ἢ τισὶν εὐρώστοις ἀγγείοις, ἡ βάσις ἐπι-
κεῖσθαι τοῦ χιτῶνος, εἰ μὲν προσαρτὴς εἴη, κομιστέον ὁλόκληρον
μόνας τὰς ἀντοχὰς μὴ τῷ χιτῶνι προσνέμοντας, ἀλλὰ τοῖς
ὑποκειμένοις σώμασιν· εἰ δὲ ἐπιπεφυκέναι τύχοι τῶν προει-
ρημένων σωμάτων τινὶ ὁ χιτὼν, πᾶν τὸ ἐπιπεφυκὸς αὐτοῦ
μέρος καταλειπτέον τοῖς νεύροις ἢ τοῖς ἀγγείοις· οὐ γὰρ

©BIU Santé

ἀκίνδυνος ἡ διάκρισις γίνεται· μετὰ δὲ τὴν κομιδὴν τοῦ στεα-
τώματος, ἐὰν μὲν ὁλόκληρος ὁ χιτὼν τύχοι, βεβαστάχθαι·
καὶ τὸ δέρμα συνδραμὸν εἰς αὐτὸ μηδὲ μίαν περιττότητα ἐμ-
φαίνει ἐκθρομβώσαντες ἱκανῶς τὰ σώματα καὶ ἀπονίψαντες
ῥαφαῖς ζυγώσομεν· τῷ τε κολλητικῷ τῆς θεραπείας ὑπάξο-
μεν τρόπῳ· εἰ δὲ διὰ τὸ μέγεθος τοῦ στεατώματος ὑπερπίπ-
τοι τι τοῦ δέρματος τὴν αὐτάρκειαν, πᾶν τὸ περιττεῦον πε-
ριελοῦμεν· ἔπειτ' οὕτως ζυγώσομεν· εἰ δὲ τοῦ χιτῶνος τι ἐγ-
καταλειφθείη διὰ τὸ ἐπιπεφυκέναι κυρίοις σώμασι, τοῦ μὲν
δέρματος τὸ περισσὸν οὐδὲν ἧσσον περικόψομεν· οὐκέτι δὲ
ἐπὶ τὰς ῥαφὰς ἐλευσόμεθα· ἀλλὰ πρότερον τὸ ὑπολειπόμενον
τοῦ χιτῶνος φαρμάκῳ ἐκδαπανήσαντες, ἐπάξομεν || τὸν κατὰ P. 67.
συσσάρκωσιν τρόπον· μεγίστου δ' ὄντος κατὰ κορυφὴν τοῦ στεα-
τώματος, στενοτάτης δὲ καὶ λεπτοτάτης ἄγαν οὔσης τῆς ἑλ-
κώσεως γενομένης καὶ ἰσοπέδου, ῥαδίως θεραπευθήσεται.

### III. Περὶ μελικηρίδων (1) καὶ στεατωμάτων.

1. Κοινὰ μὲν οὖν σημεῖα μελικηρίδι πρὸς στεάτωμα ὄγκος συνημμένος τοῖς κατὰ φύσιν σώμασιν ὁμόχρους περιωρισμένος κατὰ περιγραφὴν, ἀναλγὴς, εὐαφής· διαφέρουσι δὲ ἀλλήλων τῇ τε συστάσει καὶ τῇ χροιᾷ τῇ τοῦ ὑγροῦ, καὶ τῇ τοῦ χιτῶνος εὐρωστίᾳ, καὶ τῷ τοῦ ὄγκου σχήματι, καὶ τῇ κατὰ τὴν ἁφὴν ἀντιλήψει· τῇ τε γὰρ συστάσει πολὺ λεπτότερον τὸ ἐν ταῖς μελικηρίσιν ὑγρὸν· καὶ τῇ χροιᾷ ξανθότερον καὶ μελιτῶδες· ὅ γε

(1) Ὁ μὲν Ἄντυλλος ἀπὸ τῆς φύσεως τοῦ περιεχομένου ὑγροῦ φησὶ τὸ ὄνομα· ξανθότερον γάρ ἐστι καὶ μελιτωδέστερον· τὰ δὲ αὐτὰ καὶ ὁ Γαληνός φησὶν ἐν τῷ ιγ τῆς θεραπευτικῆς· ὁ δὲ Ἡλιόδωρος καὶ αὐτὸς τὰ αὐτὰ φησί· τὰ δὲ κήρια οὕτως ὠνόμασται ἐν ᾱ χειρουργουμένων λόγῳ, κατὰ μεταφορὰν τὴν ἀπὸ τοῦ ἐν τοῖς μελισσουργοῖς κηρίου· ὡς γὰρ ἐκεῖνα κατατρήσεις ἔχει δι' ὧν τὸ μέλι ἀποῤῥεῖ, οὕτως καὶ ἐπὶ τοῦ ἕλκους φθειρομένη ἡ σὰρξ μελιτωειδῆ ἰχῶρα ἐκκρίνεται.



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 51 sur 544

μὲν χιτὼν πολὺ παχύτερος ὁ περιέχων τὰς μελικηρίδας καὶ τὸ σχῆμα· ἐπὶ μὲν τῶν μελικηρίδων ἀεὶ περιφερὲς· ἐπὶ δὲ τῶν στεατωμάτων, ὑπόπλατυ καὶ ἐπίμηκες, καὶ πλείους ἔχων κορυφάς· πολλάκις δὲ καὶ κατὰ τὴν ἁφὴν πολὺ εὐαφέστεραι εἰσίν· ἐν δὲ τῷ θλίβεσθαι, μελικηρίδες μὲν ἀντιμεθιστάμεναι φαίνονται· τὰ στεατώματα δὲ οὐδέποτε ἀντιτυπώσεις ἐπὶ τῶν μελικηρίδων ὥσπερ ἐπὶ τῶν στεατωμάτων μετὰ τὴν ἁφὴν ὑπολείπονται· τὸ δὲ μάλιστα γνωρίζον ἡμῖν ἀψευδῶς τὰς μελικηρίδας ἐστὶ τὸ κατὰ τὴν θλίψιν· θλιβόμεναι γὰρ ἰσχυρῶς τοῖς δακτύλοις ὑποτρίζουσιν· ἡσυχῇ τοῦτο οὐ στεατωμάτων οὔτε ἄλλων ὄγκων πασχόντων· προσλάβοι δ' ἄν τις τοῖς εἰρημένοις καὶ τὸν τόπον ἐν ᾧ συνίστανται· κατὰ γὰρ τὸ πλεῖστον πρὸς ταῖς καμπαῖς τῶν ἄρθρων ἀπογεννῶνται· τῶν στεατωμάτων ἐπὶ παντὶ μέρει συνισταμένων.

2. Ὁ δὲ τῆς χειρουργίας τρόπος τὰ μὲν ἄλλα παραπλήσιος τῷ ἐπὶ τῶν στεατωμάτων· πεφυλάχθαι δὲ μάλιστα τοῦ χιτῶνος τοῦ ἐπὶ τῶν μελικηρίδων χρή· στομωθέντος γὰρ αὐτοῦ, δυσχερὴς ἡ κομιδὴ γίνεται· εἰ δέ ποτε στομωθείη, διαῤῥάπτειν αὐτὸν χρή· |
P. 68. παραπλήσιος γὰρ ἔσται μετὰ ταῦτα ἡ χειρουργία· ὡς εἰ καὶ ἀστόμωτος ὁ χιτὼν ἔμενεν· εἰ δὲ τύχοι ἢ προεκρυῆναι τὸ ὑγρὸν, ἢ πρὸ τῶν ῥαφῶν μὴ δύναται τὸ ἔνδον κατέχεσθαι, σπόγγους ἁπαλοὺς ἐνθετέον εἰς τὸν χιτῶνα ἢ ἔρια· περιτενοῦς γὰρ ἰσχυρῶς γενομένου, ὥσπερ ὑπὸ τοῦ ὑγροῦ περιετέτατο, καταῤῥαπτέον· ἄλλως γὰρ ἡ κομιδὴ γένοιτο τοῦ χιτῶνος ῥᾳδία· τὸ δὲ ὅλον αὐτὸν δεῖν κομίζεσθαι προείρηται.

## IV. Περὶ ἀθερωμάτων. (1)

Τὸ ἀθέρωμα ἔστιν ὑγρὸν ἀργὸν τὲ καὶ λευκὸν περιεχό-

(1) Ἀθέρωμα καλεῖσθαι φησὶν ἀπὸ τοῦ τὸ περιεχόμενον ἐοικέναι

©BIU Santé

©BIU Santé



μενον ἐν χιτῶνι, τῇ συστάσει μεταξύ πως μελικηρίδος καὶ στεατώματος· γνοίη δ' ἄν τις αὐτὸ καὶ διακρίνειεν ἀπὸ μὲν μελικηρίδος τῷ τε μὴ τρίζειν, καὶ τῷ μὴ ῥᾳδίως ἀντιμεθίστασθαι κατὰ τὴν ἁφὴν, καὶ τῷ μὴ οὕτως εὐαφὲς καθεστάναι· ἀπὸ δὲ στεατωμάτων πάλιν, τῷ εὐαφέστερον εἶναι τοῦτο, καὶ ὑπείκειν τε τοῖς δακτύλοις, καὶ τῷ τὴν βάσιν μὴ ἔχειν στενὴν ὥσπερ τὰ στεατώματα· χωρίζεται δὲ καὶ ἀποθεραπεύεται παραπλησίως μελικηρίσι τε καὶ στεατώματα.

V. Ἐκ τῶν Ἡλιοδώρου περὶ ἀθερωμάτων. (1)

Ἐὰν ἀθερωμάτιον μικρὸν γένηται ἐν τῷ τοῦ ἀγκῶνος βάθει, ὑπὸ τὰ νεῦρα καὶ τὰ ἀγγεῖα ὑπερτιθέσθω ἡ τοιαύτη χειρουργία ἕως ἂν μείζων γένηται· τότε γὰρ πρὸς τῇ ἐπιφανείᾳ γινομένου τοῦ χιτῶνος, τῇ περιτάσει διίσταται τὰ νεῦρα καὶ τὰ ἀγγεῖα, ὡς ἀκινδυνοτέραν γίνεσθαι τὴν ἐνέργειαν· μελικηρίδος δὲ κατὰ τὸν ὀπίσθιον τόπον τοῦ ἀγκῶνος κατὰ τὸν κορωνὸν γενομένης, ἐγχειρεῖν οὐ χρή· κομιζομένου γὰρ τοῦ χιτῶνος καὶ συνεκτεμνομένου τοῦ ναρκώδους νεύρου, κίνδυνος ἐπακολουθήσει· στεατωμάτια (2), ἀθερωμάτιά τε, καὶ μελικηρίδες καὶ πώρια μικρὰ πρὸς τῇ ἐπιφανείᾳ ἐν τοῖς βλεφάροις γίνεται· δεῖ οὖν τοῦ βλεφάρου διατεινομένου ταινίδιον περιχαράσσειν κατὰ πλάτος ἀνάλογον τῷ τοῦ ὄγκου μεγέθει· καὶ ἐκτέμνειν ἀναῤῥάπτειν τε ἕως ἐπὶ τριχιάσεως. ||

τῇ παρ' αἰγυπτίοις λεγομένῃ ἀθέρᾳ· ἕψημα δὲ ἐστὶν γινόμενον παρ' αὐτοῖς ἐκ πυρίνου λευκοῦ ἀλεύρου.

(1) Ἀπὸ τοῦ γ̄ τῶν χειρουργουμένων, κεφάλαιον περὶ τῶν κατ' ἀγκῶνα παθῶν.

(2) Ἀπὸ τοῦ β̄ τῶν χειρουργουμένων, κεφάλαιον περὶ στεατωμάτων μελικηρίδων πώρων τῶν ἐν τοῖς βλεφάροις ἀθερωμάτων.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 53 sur 544

## VI. Περὶ πώρου. (1)

P. 69. 1. Ὁ κυρίως λεγόμενος πῶρος, οὐσία λιθώδης ἐστὶν ἀλλόκοτος ἀπηνὴς περιωρισμένος, ὁμαλὸς ἢ ἀνώμαλος· μικροῦ μὲν οὖν ὄντος τοῦ πώρου ἁπλοτομείσθω τὸ ἐπικείμενον αὐτῷ σῶμα· μεγάλου δὲ, μυρσινοειδῶς ἐκτεμνέσθω· καὶ γυμνωθέντος αὐτοῦ τὰ χείλη τῆς τομῆς ἀγκίστροις διαστελλέσθω· ἔπειτ' ὁ ὑποκείμενος ὄγκος τῇ τῆς σμιλίου λαβῇ ἢ ἀναβόλεος ἢ λιθούλκου καμπῇ κομιζέσθω, καὶ τετυλωμένου τῆς βάσεως τῇ τοῦ σμιλίου ἀκμῇ αἱμασσέσθω· καὶ ὅταν τὰ πάντα γένηται νεαρὰ, ἢ ῥαφαῖς συναγέσθω τὰ χείλη πρὸς τὴν καθίξιν κόλλησιν, ἢ διαμοτούσθω τὸ βάθος, ἵνα τῇ ποιοποιῷ ἀγωγῇ θεραπευθῇ· ἐπὶ δὲ τῶν μυξωτήρων πώρων μικρῶν μὲν ὄντων αὐτῆθεν ἐνεργεῖν δεῖ τῷ πολυπικῷ παθίῳ πρὸς τὴν ὑποτομὴν ἢ περιτομὴν καὶ κομιδὴν ὅλων τῶν ὄγκων· μεγάλων δ' ὄντων, πρότερον ἀναστέλλειν χρὴ τὰ πτερύγια.

2. Γίνεται καὶ ἐν τῷ ὑπογλωσσίῳ πῶρος· καὶ ὅταν μέγας γένηται μετεωρίζει τὴν γλῶσσαν καὶ δυσκίνητον ποιεῖ· δεῖ οὖν κατὰ τὴν ἀναλογίαν τοῦ μεγέθους ἐγχειρεῖν· κἂν μὲν λεπτότερα ᾖ τὰ κατὰ τὸν ἀνθερεῶνα, τέμνειν πρὸς τὴν τοῦ ὄγκου κομιδήν· ἐὰν δὲ ταῦτα μὲν ᾖ παχύτερα, λελεπτοποιημένον δὲ τὸ ὑπογλώσσιον, τέμνειν διαιρέσει εὐθείᾳ κατὰ τὸ μεταξὺ τῶν ὀστῶν διάστημα· νῦν γὰρ διὰ τὸ τοῦ ὄγκου μέγεθος καὶ τὴν τῶν σωμάτων περίστασιν προδηλότατα γίνεται τὰ ἀγγεῖα· δεῖ δὲ μετὰ τὴν διαίρεσιν τὰ χείλη τῆς τομῆς τυφλαγκίστροις μεγαλοκαμπέσι παραστέλλειν· καὶ τὸν πῶρον κομίζεσθαι τῇ τῆς σμιλίου λαβῇ· ἢ ἀναβολέος ἢ λιθούλκου καμπῇ· καὶ τότε τὸ βάθος τετυλωμένον αἱμάσσειν.

3. Πῶρος γίνεται καὶ ἐν μαστοῖς ποτὲ μὲν λιθώδης, πο-

(1) Ἀπὸ τοῦ α τῶν χειρουργουμένων, κεφάλαιον τοῦ ὁμοίου.

©BIU Santé

τὲ δὲ σκληρότερος τύλος· σαρκώδης τοῦ λεγομένου σκληρώματος ἀντιτυπώτερος· ὁ μὲν οὖν λιθώδης πῶρος ἐμπλέων εὑρίσκεται τοῖς σώμασι κεχωρισμένος τῶν κατὰ φύσιν ὡς ἀλλόκοτος οὐσία· | ὁ δὲ τυλώδης προσφυὴς συνημμένος· δεῖ δὲ τὰ [P. 70.] ἐπικείμενα τῷ ὄγκῳ σώματα ἢ ἐκπλοτομεῖσθαι ἢ μυρσινοειδῶς περιαιρεῖσθαι· ὅταν δὲ φανῇ λεπτότερα ὄντα καὶ γυμνωθέντα τῶν πώρων λιθώδη μὲν ὄντα καὶ ἀπολυτὰ τῶν σωμάτων, ἀναβολέος ἢ λιθουλκοῦ καμπῇ κομιζέσθω, καὶ τὸ βάθος αἱμασσέσθω τῇ τῆς σμίλης παραφορᾷ· προσφυῆ δὲ τυγχάνοντα κατὰ περιτομὴν ἐξαιρείσθω· καὶ μετὰ τὴν χειρουργίαν, ἢ ῥαπτέσθω καὶ κολλάσθω, ἢ διαμοτούσθω, ἵνα σαρκωθῇ.

## VII. Περὶ σκληρώματος. (1)

Τὸ σκλήρωμα ὄγκος ἐστὶ σαρκώδης, τυλώδης, σκληρότερος στεατώματος καὶ χοιράδος· περιωρισμένος δὲ συνήνωται τοῖς κατὰ φύσιν σώμασιν, ὡς ἐξ αὐτῶν γεγονὼς πάσης προσφύσεως εὐτονώτερον ἠσφαλισμένος· διαιρεῖν δὲ δεῖ τὴν μέσην τοῦ ὄγκου κορυφὴν ἢ μυρσινοειδῶς ἐκτέμνειν· ἔπειτα τὰ χείλη τῆς τομῆς εὐτόνοις ἀγκίστροις διαστεῖλαι, καὶ κατὰ περιτομὴν καὶ ὑποτομεῖν τῆς προσφύσεως ὅλον τὸν ὄγκον κομίζεσθαι· μετὰ δὲ ταῦτα ῥαφαῖς χρῆσθαι καὶ τῇ κολλητικῇ θεραπείᾳ, ἢ τῇ ποιοποιῷ ἀγωγῇ· καθάπερ (2) ἐν ἄλλοις τόποις τοῦ σώματος, οὕτω καὶ ἐν τραχήλῳ τῆς κύστεως σκλήρωμα γίνεται· οὐκ ἐν μόνῳ δὲ τῷ τραχήλῳ ἀλλὰ καὶ ἐν τῷ κύτει· τὸ μὲν οὖν ἐν τῷ κύτει σκλήρωμα οὐδενὸς αἴτιον γίνεται χαλεποῦ· διὸ οὐδὲν ὑπὲρ τούτου λέγειν χρή· κατὰ δὲ τὸν τρά-

---

(1) Ἀπὸ τοῦ α̅ τῶν χειρουργουμένων, κεφαλαίου τοῦ ὁμοίου.

(2) Ἀπὸ τοῦ δ̅ τῶν χειρουργουμένων, κεφάλαιον περὶ σκληρώματος τοῦ ἐν τῷ τραχήλῳ τῆς κύστεως.

©BIU Santé

©BIU Santé



χηλον τῆς κύστεως, ἐν ἀρχῇ μὲν γενομένου τοῦ σκληρώματος πλησίον τῆς ἕδρας ὑπερτίθεσθαι δεῖ τὴν ἐγχείρησιν· πρὸς δὲ τῷ ὀσχέῳ τῆς ἕδρας, τὸν ὑπὸ τὸ σκλήρωμα τόπον διαιρεῖν χρή· συνδιαιρουμένου τῷ περιτοναίῳ τοῦ τραχήλου τῆς κύστεως, ἵνα κατ' ἐπιτήδευσιν γένηται ῥοιάς· αἱρετώτερον γάρ ἐστι ῥοιαδικὸν γενέσθαι τὸν πάσχοντα, ἢ ἰσχυρίᾳ κρατηθέντα ἀναιρεθῆναι.

## VIII. Ἐκ τῶν Ῥούφου περὶ γαγγλίου. || (1)

P. 71. Γαγγλίων τὰ μὲν ἔστιν ἀνώδυνα, τὰ δὲ καὶ δεινῶς ὀδυνηρά· ὥστε καὶ ἐρυθαίνεσθαι, καὶ φλεγμαίνουσιν ὅμοια εἶναι, καὶ τοῦτο πάσχειν κατὰ περιόδους, καὶ ἀτάκτως, ἅπερ κακοηθέστερα ἐστί· τὰ δὲ ἀνώδυνα γαγγλία τὰ ἐπὶ τῷ καρπῷ ἐν τῷ κινεῖν συνεχῶς τὰς χεῖρας, καὶ αὐτὰ ὀδυνᾷν εἴωθε· διαλειπόντων δὲ καὶ ἀναπαυσαμένων καθίσταται ὁ πόνος· ἴδιον δὲ τοῖς τοιούτοις συμβέβηκε· διαχεῖται γὰρ θλιβόμενα· καὶ ποτὲ μὲν εἰς τέλος ἀποπαύεται, ποτὲ δὲ διαλείποντα χρόνον ἐπανήκει.

## IX. Ἐκ τῶν Ἡλιοδώρου περὶ γαγγλίου. (2)

Τὸ γαγγλίον, νεύρου ἐστὶ συναγωγὴ, πλεονάζον ἐν τοῖς καρποῖς, γιγνόμενον δὲ καὶ ἐν τοῖς ἄλλοις μέρεσι· παντὶ δὲ γαγγλίῳ συνεδρύει ὄγκος μικρὸς ὁμόχρους ἀναλγής εἴ που ἐν τῷ παραπιεσμῷ ναρκώδη αἴσθησιν ἐμποιῶν· οὗτος ὁ ὄγκος οὐ μετάγεται καθ' ὅλον τὸν κύκλον, ἀλλ' εἰς δύο τόπους παράγεται τοὺς ἀντικειμένους τῇ τοῦ νεύρου παρεμφύσει.

---

(1) Ἀπὸ τοῦ περὶ τῶν ἐκτὸς παθῶν μονοβίβλου.

(2) Ἀπὸ τοῦ ᾱ τῶν χειρουργουμένων. — Φήρεα τὰ προμηκέστερα· γογγρόνας τὰ στρογγύλα.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 56 sur 544

### X. Ἐκ τῶν Ἀντύλλου περὶ γαγγλίου.

Ἐν μὲν κεφαλῇ καὶ μετώπῳ καὶ αὐτοὶ πολλάκις γαγγλία τέμνομεν, καὶ ἄλλους τέμνοντας ἑωράκαμεν· ὁ δὲ τρόπος τῆς ἐνεργείας αὐτῶν τοιοῦτο· ἁπλῶσαι χρὴ τὸ δέρμα τὸ ἐπικείμενον τῷ γαγγλίῳ καὶ διαστείλαντα, ἐὰν μὲν ᾖ μικρὸν, σαρκολάβῳ ἐπισπασαμένους εἰς τὸ ἐκτὸς μέρος ἀποτέμνειν· ἐὰν δὲ μεῖζον ᾖ κατὰ τὴν τῆς σαρκολάβου χρείαν, ἄγκιστρα καταπαρέντα παρέξεται· μετὰ δὲ τὴν κομιδὴν ζυγώσομεν, ἐναίμως τε ἄξομεν· ἐπὶ δὲ τῶν ἐν τοῖς σκέλεσι καὶ τῶν καρπῶν γινομένων, τὴν μὲν χειρουργίαν ἀπαγορεύειν χρή· θεραπεύσομεν δὲ αὐτὸ κατὰ τρόπους δισσούς· ἢ γὰρ μολύβιον δισκοειδὲς καὶ ἔτι παχύτερον ὥσπερ οἱ σπόνδυλοι μεῖζον τοῦ γαγγλίου ἐπιδεσμεῖται· τῷ βάρει γὰρ διαλύσειεν ἂν αὐτὸ ἐν χρόνῳ πλείονι· ἢ εἰ τύχοι τῆς χειρὸς κατὰ καρπὸν εἶναι τὸ γαγγλίον τιθεμένης ἐπί τινος μαλακοῦ | ἠρέμα τὶς παρεστὼς δήδοικι πλήττοι P. 72.
τὸ γαγγλίον· διαθλασθέντος γὰρ ἀπευθύνεται τὸ νεῦρον.

### XI. Ἐκ τῶν Ῥούφου περὶ ἀκροχορδόνων καὶ καρκινωμάτων. (1)

1. Ὁ δὲ Ξενοφῶν ἐν τῷ περὶ τῶν καρκινωμάτων εἶδός τι ἀκροχορδόνος ἱστορεῖ κακόηθες καὶ καρκινῶδες, οὕτω γράφων· — Προσαγορεύεται δὲ καὶ καρκίνωμα, καὶ ὅταν ἔκφυσις γένη-

---

(1) Ἀπὸ τοῦ περὶ τῶν ἐκτὸς παθῶν, κεφάλαιον περὶ ἀκροχορδόνων καὶ μυρμηκίων.

Ὅτι ἀκροχορδὼν εἴρεται ὥς φησιν ὁ Γαληνὸς ἐν τῷ ιβ τῆς θεραπευτικῆς παρὰ τὰ ἐν τῷ ἄκρῳ ὀχεῖσθαι τοῦ σώματος.

ται ἔκ τινος τῶν τοῦ σώματος τόπων, τὴν μὲν αὔξησιν εἰς τὸ ἐκτὸς ποιουμένη παραπλησίως ταῖς ἀκροχορδόσι καὶ τοῖς θύμοις· τὸ δ' εἶδος ἐμφερὴς ἀκροχορδῶν, μελαντέρα μὲν καὶ τραχυτέρα, ἁδροτέρα δὲ καὶ στρογγυλωτέρα, προσομοιωτέρα ἢ θύμῳ ἢ ἰχθύων τοῖς ὀφθαλμοῖς καλουμένοις ἢ μορίῳ ἐν ὤμῳ ἢ πέπονι ἢ ἄλλῳ τινὶ τοιούτῳ· ἐάνπερ καὶ ὁ τόπος ἐξ οὗ ἂν γένηται ἡ τοιαύτη ἔκφυσις, πρός τε τὴν ἁφὴν σκληρότερος φαίνηται τοῦ κατὰ φύσιν γεγονώς· καὶ τὰς φλέβας τὰς εἰθισμένας ἐπ' αὐτοῦ φαίνεσθαι παχυτέρας τε ἔχων καὶ μελαντέρας, καὶ ἐπὶ πλείω τόπον φαινομένας ἢ πρότερον.

2. Συμβαίνει δὲ καὶ τούτων τῶν καρκινωμάτων ἕκαστον τοῖς μὲν μεῖζον γίνεσθαι, τοῖς δ' ἔλασσον· καὶ τοῖς μὲν πλείστοις ἁπλοῦν εἶναι, τοῖς δὲ δισχιδὲς καὶ τρισχιδές· καὶ τοῖς μὲν πλείστοις διαμένειν ἐπὶ τοῦ αὐτοῦ μεγέθους, ὃ ἐν τοῖς πρώτοις χρόνοις σχῇ· ἐνίοις δὲ μεῖζον γίνεσθαι· καὶ τισὶ μὲν τὴν βραδύτερον ποιεῖν, τισὶ δὲ θᾶσσον, καὶ μάλιστα ἐν ταῖς καχεξίαις· καὶ τοῖς μὲν πλείστοις παρέχειν πόνον, ἐνίοις δὲ καὶ μὴ παρέχειν· καὶ μάλιστα οἷς ἂν μέγα γένηται παντελῶς· γίνεται δὲ ἕκαστον τῶν καρκινωμάτων τούτων καὶ ἐν ἄλλοις μὲν τόποις τοῦ σώματος· μάλιστα δὲ τὸ μὲν τῇ ἀκροχορδόνι ὅμοιον ἐπὶ χείλους καὶ ὠτὸς καὶ ῥινὸς καὶ τραχήλου· τὸ δὲ τῷ θύμῳ περὶ ἕδραν καὶ αἰδοῖα· τὸ δὲ τοῖς τῶν ἰχθύων ὀφθαλμοῖς ἐπὶ βλεφάρων καὶ ἐπὶ τοῦ τῆς χειρὸς θέναρος· τὸ δὲ τῷ μορίῳ τῷ ἐν ὤμῳ,
P. 73. περὶ τὴν μασχάλην καὶ τὴν || ἥβην· τὸ δὲ τῷ πέπονι, παρὰ τὴν τοῦ μαστοῦ θηλὴν καὶ μᾶλλον τὴν τοῦ γυναικείου: — Ἵν' οὖν ἐν ταῖς θεραπείαις διορίζοντες τὰ τοιαῦτα μὴ ῥᾳδίως ἀποτέμνωμεν (ἑλκωθῆναι γὰρ αὐτοῖς οὐ συμφέρει) χρήσιμον ἔκ τε ὧν ὁ Ξενοφῶν ἱστόρηκεν, ἔκ τε ὧν πολλάκις ὁρῶμεν ἐμπείρους γενομένους καὶ προλέγειν καὶ θεραπεύειν τὰ τοιαῦτα πεφυλαγμένως.

©BIU Santé

## XII. Περὶ θύμου.

Θύμος ἕλκος ἐστὶν ὑπερσαρκοῦν τραχείᾳ καὶ ψαθυρᾷ σαρκί· γίνεται δὲ ἔν τε τῇ ἕδρᾳ καὶ αἰδοίοις καὶ τοῖς ἄλλοις τόποις πᾶσι· καὶ τὸ μὲν εὔηθες παντάπασι καὶ πολλάκις αὐτόματον ἀποπίπτον· τὸ δὲ εἰ ἀποκόπτοις, κακοηθέστερόν τε καὶ ὀδύνην παρέχον, καὶ χορηγούμενον αἱματώδει ἰχῶρι· ἔστι δ' οἷς καὶ ἀποτεμνόμενα τοιαῦτα φύεται πάλιν ὡς χρήζειν ἢ καύσεως ἢ φαρμάκου καυστικοῦ· τὰ δὲ καὶ ἀνίατα ὤφθη· ὅσα δὲ καρκινώδη τρόπον συνίσταται, χαλεπώτερα· καὶ τὰ ἐκφυόμενα τοῦ βαλάνου χαλεπώτερα τῶν ἐκ τοῦ ποστῆς· * καὶ τὰ ἐν τῇ ἕδρᾳ τὰ βαθύτερα τῶν προχειροτέρων· ὤφθη δέ ποτε ἐπινεμόμενα ἐκ τῆς ἕδρας πρὸς τὸ αἰδοῖον τῆς γυναικός· τὰ δὲ καὶ αὐτόθεν βλαστάνοντα· συμβαίνει δὲ καὶ ἐπὶ ἕλκεσι καὶ ἄνευ ἑλκώσεως, προηγησαμένης σαρκὸς ἐκβολῆς, οἵας εἰρήκαμεν γενέσθαι.

* πόσθης?

## XIII. Περὶ ἥλων.

Οἱ δὲ ἧλοι γίνονται μάλιστα μὲν ἐν τοῖς ποσίν· εἰσὶ δὲ σκληρότητες ὑπερέχουσαι πέλματος περιεῤῥωγυῖαι· ἐπίπονοι ἔν τε τῷ ψαύειν καὶ ἐν τῷ βαδίζειν· κἂν τις περιτέμνοι τας ὑπεροχὰς, πάλιν αὔξονται· γίνονται δὲ καὶ βαθύτεροι καὶ ἐπιπολαιότεροι· καὶ οἱ βαθύτεροι καὶ τῷ πονεῖν καὶ τῷ δυσκολώτερον ἰᾶσθαι διαφέρουσι τῶν ἐπιπολαιοτέρων.

## XIV. Ἐκ τῶν Ἡλιοδώρου περὶ ἀκροχόρδονος καὶ μυρμηκίας.

Ἀκροχόρδονες καὶ μυρμηκίαι γίνονται μὲν ἐν παντὶ μέρει τοῦ σώματος, συνεχέστατα δὲ ἐν τοῖς δακτύλοις· ἔστι δὲ

P. 74. ἡ μὲν ἀκροχορδὼν σαρκώδης ὑπεροχὴ λεῖα | στενῇ βάσει κεχρημένη· ἡ δὲ μυρμηκία τραχεῖα ὑπεροχὴ ἐνερριζομένη τῷ σώματι· γίνεται δέποτε καὶ κακοήθης μυρμηκία ἀλγεινὴ νυγματώδεις πόνους ἐπιφέρουσα, καὶ παροξυνομένη ἐν ταῖς χειραψίαις καὶ φαρμακείαις ὑπόπελιος ἢ τρυγώδης οὖσα τῇ χροᾷ· τὴν μὲν οὖν ἀκακοήθη κατὰ τετράγωνον ἐκτεμεῖν δεῖ σχῆμα, καὶ ἰσχαίμῳ ξηρῷ χρῆσθαι· κακοήθους δ᾽ οὔσης τῆς μυρμηκίας ἀκρωτηριαζέσθω ὁ δάκτυλος ἀπὸ τῶν ὑγειῶν· εἶτα παραλαμβανέσθω καῦσις.

## XV. Ἐκ τῶν Ἀντύλλου περὶ ἀγκυλίου. (1)

1. Τὸ προσαγορευόμενον ἀγκύλιον σχεδὸν ἐν πᾶσι τοῖς ἐπὶ πολὺ καμπτομένοις μέρεσι τοῦ σώματος γίνεται· καὶ γὰρ περὶ τράχηλον συνίσταται καὶ περὶ μασχάλην καὶ περὶ ὀγκῶμα περί τε δακτύλους· συνίσταται δὲ καὶ περὶ βουβῶνα καὶ ἰγνύαν· καὶ περὶ τὴν τοῦ ποδὸς πρὸς κνήμην συναφήν· ἔστι μὲν οὖν συνολκὴ σωμάτων φύσει * καμπτομένων καὶ ἐκτεινομένων· ἐκ δὲ τοῦ πάθους συναγόμενον οὕτως ὥστε ἐκτείνεσθαι μὴ δύνασθαι· γίνεται δὲ ἤτοι τῶν νεύρων τοῦ κάμπτειν τὰ σώματα πεφυκότων συνταθέντων διὰ πάθος, ἢ ἐκ γενετῆς οὕτω φύντων, ἢ τῶν νεύρων ἀπαθῶν μενόντων, τοῦ δὲ δέρματος καὶ τῆς σαρκὸς τῆς ἐπεστορισμένης τοῖς νεύροις συσπειραθέντων.

* Γρ. φυσικῇ.

2. Τὰ μὲν οὖν ἐκ νεύρου συνδρομῆς ἀγκυλωθέντα σώματα, οὐ δοκιμάζομεν ὑπὸ χειρουργίᾳ· διά τε τὸν κίνδυνον τὸν ἐξακολουθοῦντα τῇ τῶν νεύρων διακοπῇ, διά τε τὸ πάντῃ πάντως ἀκίνητον ἔσεσθαι τὸ μέρος ταύτην τὴν κίνησιν ἣν τὸ διακοπτόμενον εἰργάζετο νεῦρον· ὅσα δὲ ἐκ δέρματος καὶ σαρκὸς συντάσεως ἀγκύλια γίνεται, πάντα ὑπὸ χειρουργίαν ἄγομεν·

(1) Ἀπὸ τοῦ α̅ τῶν χειρουργουμένων, κεφάλαιον τοῦ ὁμοίου.

εἰ μὲν οὖν νεῦρον ᾖ τὸ αἴτιον, τὸ δέρμα λιπαρὸν καὶ εὐεπί-
δοτον καὶ ὅμοιον κατὰ τὴν ἁφὴν τῷ κατὰ φύσιν εὑρεθήσεται· ἡ
δὲ τάσις βύθιος ὑποπεσεῖται || καὶ διὰ πολλῶν σωμάτων· ναρ- P. 75.
κώδης δὲ αἴσθησις ἀπαντήσεται θλιβομένου τοῦ συντεταμένου·
εἰ δὲ ἐν τῷ δέρματι αὐτοῦ τὸ αἴτιον εἴη, πρόχειρός τε καὶ
ἐπιπόλαιος ὅ τε σκληρισμὸς ἥ τε συνδρομὴ φανεῖται· πρὸς
δὲ καὶ τὸ δέρμα συντεταμένον αὐτὸ καὶ τῷ κατὰ φύσιν ἀνόμο-
ιον· καὶ ὡς τὰ πολλὰ αἰτίαν προηγησαμένην ἐσχήκασιν ἤτοι
καῦσιν ἐκ πυρὸς ἢ ἐξελκώσεως οὐλὴν ἀμέτρως συνεληλυθυῖαν·

3. Ὁ δὲ τῆς χειρουργίας τρόπος ἁπλοῦς· χρὴ γὰρ
ἐπικάρσιον τέμνειν τὸ δέρμα καὶ τὴν μεσότητα τῆς συν-
δρομῆς, ἐπὶ μὲν δακτύλου μίαν ἐμβάλλοντας τομήν· ἐπὶ
δὲ τραχήλου καὶ ἰγνύας καὶ βουβῶνος, καὶ δυσὶ καὶ πλείοσι τομαῖς
ἐνίοτε χρηστέον, ἐπικαρσίους τε καὶ παραλλήλους τάσσοντας αὐ-
τάς· ἀλλ' ἐπὶ μὲν τῶν ἠρέμα συντεταμένων μερῶν αὐτάρ-
κεις διαιρέσεις αὗται μόναι· ἐπὶ δὲ τῶν ἰσχυρῶς ἠγκυλωμένων,
εἴ τι μετὰ τὴν διαίρεσιν ἐπαιώρηται, καθάπερ τινὰ πτύγ-
ματα τοῦ δέρματος περιαιρεῖται κἀκεῖνα· ὁ δὲ τῆς ἀποθερα-
πείας τρόπος οὐκ ἔναιμος ἀλλὰ συσσαρωτικὸς ἐπαγέσθω·
διαστελλομένης σφόδρα τῆς διαιρέσεως ἢ τῶν διαιρέσεων πρὸς
τὸ μὴ παλιγγενεσίαν ἀπαντῆσαι· μετὰ δὲ τὴν διαπύησιν ἐγ-
χρονιστέον τῷ ποιοποιῷ τῆς ἀγωγῆς τρόπῳ· καὶ τοῖς μὲν ἐπι-
δεχομένοις μέρεσι σωλὴν μολίβους εἰς τὸ ἀπευθύνειν ἀνωτέρω
τῶν φαρμάκων ἐπιδείσθω· κατόπιν δὲ τοῦ σωλῆνος νάρθηξ
ἐντιθέμενος καὶ συνεπιδεόμενος ἀπευθυνέτω μετὰ τοῦ σωλῆνος τὸ
μέρος· τοῖς δὲ μὴ ἐπιδεχομένοις σωλῆνας ὥσπερ τραχήλῳ καὶ
μασχάλῃ καὶ βουβῶνι ἀντιστήριγμά τι πρὸς ἀπευθυσμὸν ἢ
σκύτινον ἢ μολίβδινον προσβαλλέσθω·

4. Χρὴ δὲ ἐπὶ τῶν βυθίων ἀγκυλῶν μὴ πάνυ σπουδάζειν
κατὰ τὴν πρώτην ἐπιβολὴν πᾶσαν συντελέσαι τὴν χειρουργίαν·
πολλοὶ γὰρ ἤδη τοῦτο ἐπιβουλεύσαντες ὑμένας ἀπὸ τῶν νεύρων

©BIU Santé

©BIU Santé



P. 76. πεφυκότας, οἱ δὲ αὐτὰ τὰ νεῦρα τρώσαντες | ἐπήρωσαν ἢ ἀπέκτειναν τὸν πεπονθότα· χρὴ οὖν ταμιευομένους καὶ τὸ πρῶτον ἐπ' ὀλίγον διελόντας κἄπειτα ἀποθεραπεύσαντας, αὖθις καὶ αὖθις ὥσπερ ἐξ ἀρχῆς χειρίζοντας διελεῖν· οὗτος γὰρ ἀκίνδυνος ὁ τῆς χειρουργίας εἰρήσεται τρόπος.

## XVI. Περὶ ἀγκυλογλώσσου. (1)

1. Γλῶττα δ' ἡ μὲν κατὰ φύσιν ἐξαπλοῦται· καὶ πλέον γε ἢ τὸ ἥμισυ μέρος εὔλυτος ἐστί· ὑμέσιν τε τρισὶν προσδεῖται πρὸς τὴν κάτω γνάθον προσέχουσι τῆς ἄλλης προσφύσεως, ὧν εἷς μέν ἐστι μέσος κατὰ μέσην αὐτὴν ἐμφανέστατος· δύο δὲ εἰσὶν ἑκατέρωθεν τοῦ μέσου τοῦ παρὰ τὰς ῥίζας τῆς γλώττης· τούτων δὲ τῶν ὑμένων ἐν τοῖς ἀγκύλοις καλουμένοις, ὡς τὰ πολλὰ μὲν ὁ μέσος ἢ βραχύτερος παρὰ τὸ προσῆκον γενόμενος, κατέχει τὴν γλῶτταν κάτω ἢ ὑπερβὰς αὐτὴν τὴν μεσότητα· πλατυνθεὶς τε τοῖς ἄκροις αὐτοῖς ἐμφύσει συνδεῖ πρὸς τὴν κάτω γνάθον πᾶσαν αὐτήν· ἐνίοτε δὲ οἱ ἐκ τῶν πλαγίων συνδεθέντες ποιοῦσι τὸ ἀγκύλιον· σπάνιον δὲ εἴ ποτε μεταξὺ τῶν εἰρημένων ἄλλοι τινὲς ἐκφυέντες, κατέχουσιν αὐτόν· ὁ μὲν οὖν τῆς χειρουργίας τρόπος ἁπλοῦς· δεῖ γὰρ ἀπολύειν τοὺς ὑμένας τοὺς καταδέοντας τὴν γλῶτταν, οὔτε ἀγγείων οὔτε νεύρων προμηθουμένους· ἀκίνδυνα γαρ τὰ ἐνταῦθα γε.

2. Οὐ μὴν οὐδὲ περὶ ἀποθεραπείας διαλεκτέον· εὐαθέστατα γὰρ τὰ ἐνστόμια πάντα· ὁ δὲ τῆς σημειώσεως τρόπος, οὐ κατὰ τοὺς χειρουργούς ἐστιν, οὐδὲ γὰρ αὐτοὺς οἷόν τε γινώσκειν, τίνες τῶν ὑμένων αἴτιοι τῆς ἀγκυλώσεως· οὐδὲ γὰρ ὄψει ῥᾴδιον καταλαβεῖν αὐτούς· ἀκριβολογητέον δὲ τὰ περὶ τῆς σημειώσεως· εἰ μὲν οὖν δέλτα καὶ λάβδα καὶ ῥῶ καὶ ὅ-

(1) Ἀπὸ τοῦ αὐτοῦ βιβλίου, κεφαλαίου τοῦ προγεγραμμένου.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 62 sur 544

τοῖς ὀνόμασιν ἐμφέρεται ταῦτα τὰ γράμματα μὴ δύναιτο λέγειν ὁ μέσος ὑμὴν, αἴτιος αὐτοῦ τῆς συνδέσεως, ϗ οὗτος ὑποτμητέος· εἰ δὲ ει̅, ἢ πι̅, ἢ κάππα ϗ χι μὴ φωνοίη, οἱ ἐκ πλευρῶν ὑμένες ὑποτμητέοι· οὗτοι γὰρ αἴτιοι τῆς τούτων ἀ||φωνίας· χρὴ δὲ ϗ πλατύτητα γλώττης ἐπισκοπεῖν· καὶ P. 77. πάχος ἄμετρον ϗ τὸ λίαν ὑγρόν· ϗ τὸ τῆς γνώμης τοῦ φθεγγομένου νεναρκηκός· πολλοὶ γὰρ ἐχόμενοι τούτων τινὶ τῶν αἰτίων ἐξαπατῶσι τοὺς ἰατροὺς, ὡς οὐ δυνάμενοι κατὰ φύσιν φθέγγεσθαι διὰ τὸ ἠγκυλωμένον τῆς γλώττης αὐτῶν· μαρτυρεῖ δὲ τῷ λόγῳ τῷδε ϗ ὅλα ἔθνη ψελλίζοντα ἐξ ἔθους ὥσπερ τό τε τῶν σύρων ϗ τῶν αἰγυπτίων.

## XVII. Περὶ χοιράδων. (1)

1. Χοιράδες γίνονται ϗ περὶ ἄλλα μέν τινα μέρη τοῦ σώματος· πλειστάκις δὲ ϗ μέγισται εὑρίσκονται περὶ τράχηλον ϗ μασχάλας ἔτι δὲ ϗ βουβῶνας· ἡ δὲ σημείωσις αὐτῶν εὔκολος· ναστὰ γὰρ τὰ σώματα ϗ ἀνώμαλα ϗ πολλὰ ὑποπίπτει μετὰ ὁμοχροίας τὰ πολλά· τούτων δὲ αἱ μὲν ἀγγείοις ὑπόκεινται ϗ τρόπον τινὰ ἐκπεφύκασιν, ἃς δὴ ϗ προσφυεῖς προσαγορεύομεν· αἱ δέ τινες μὴ προσηρτημέναι τοῖς ἀγγείοις, ῥᾳδίαν ἴσχουσι τὴν ἀποχώρησιν· χρὴ τοίνυν κατακλίναντας τὸν κάμνοντα ϗ σχηματίσαντας ὅπως πρὸς αὐτὴν ᾖ τὸ χειριζόμενον μέρος, διδόναι διαίρεσιν εὐθεῖαν ἐν τῷ τραχήλῳ·

(1) Ὁ Ἡλιόδωρος ἐν τῷ γ̅ χειρουργουμένων φησὶν ὡς αἱ χοιράδες ἑτοίμως ὀνομάσθησαν κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν χοιράδων· εὑρίσκονται γὰρ συστροφαὶ ἀδενώδεις κατὰ τὰς σιαγόνας· αἷς εἰσὶν ἐμφερεῖς αἱ χοιράδες· ἄλλοι δὲ φασὶν ἀπὸ τῆς πολυγονίας τοῦ ζώου τὴν ἐτυμολογίαν ἔθεντο, ὅτι καὶ τὸ πάθος ἐν πλήθει γεννᾶται· ὁ δὲ Ἄντυλλος πρὸς τοῖς εἰρημένοις φησὶν ὅτι ἔνιοι διὰ τὴν ἐπανάστασιν αὐτῶν καὶ τὴν ἀνωμαλίαν οὕτως ὀνόμασαν· διότι καὶ τῶν πετρῶν τὰς ὑπερεχούσας τοῦ ὕδατος ἀνωμάλως, χοιράδας προσαγορεύουσιν.

©BIU Santé

2. Εἰ μὲν οὖν ὑπ' αὐτῷ τῷ δέρματι εἶεν αἱ χοιράδες, ἀφει-
δεστέρως τέμνειν· εἰ δὲ ἀγγεῖα ἐπεστορισμένα τύχοι, μετάγειν
τὴν χοιράδα πρὸ τῆς τομῆς εἰς τὰ ἀναγγείωτα χρὴ μέρη, καὶ
ἐν ἐκείνοις ποιεῖσθαι τὴν διαίρεσιν κατεπικόπου τῆς χοιράδος·
εἰ δὲ μετάγεσθαι μὴ δύναιτο ἡ χοιρὰς διὰ τὸ προσφυές· ὥστ'
ἀδύνατον εἶναι καὶ τὴν διαίρεσιν χωρὶς τῆς διακοπῆς αὐτῶν
γενέσθαι· ἐπὶ τούτων ἠρέμα χρὴ διελόντας τὸ δέρμα διασφίγ-
γειν ἑκατέρωθεν τὸ ἀγγεῖον, εἶθ' οὕτως διακόπτειν· εἰ δὲ
κατὰ τὴν καρωτὴν ἀρτηρίαν ἢ τὴν σφαγῖτιν φλέβα ἡ χοιρὰς συσ-
ταίη, εἰ μὲν ὥστε μὴ εἶναι χειρουργῆσαι χωρὶς τῆς τούτων δι-
αιρέσεως, ἀπαγορεύσομεν τὴν ἐνέργειαν· ἥ τε γὰρ διαίρεσις
αὐτῶν ἥ τε διάσφιγξις, θανατηφόρος παραυτίκα· εἰ δὲ ἐ-
P. 78. πικέοιτο μεταγενέσθαι δυνάμενα τὰ | ἀγγεῖα ἐκπλαγίως τὴν
διαίρεσιν ἐμβαλοῦμεν· μετὰ δὲ τὸ διελεῖν, ἀγκίστροις ἀναπτύ-
ξαντες τὰ χείλη τῆς διαιρέσεως προσαρτοῦς μενούσης τῆς χοι-
ράδος, λαβῇ σμιλίου τὴν προσάρτησιν διαλύσομεν· ἢ καὶ τῷ
δακτύλῳ καθέντες τε αὐτὸν, ἔπειθ' οὕτως ἀναβαλοῦμεν· καὶ
μετὰ τὴν ἀναβολὴν πάλιν καθέντες τὸν δάκτυλον, διερευνή-
σομεν, εἰ καὶ ἀλλαχοῦ χοιράδες ἐπικέοιντο, καὶ πάσας τὸν
προειρημένον τρόπον ἀναβαλοῦμεν· ὅσαις δὲ ἐπισπωμέναις εἰς
τὸ ἐκτὸς ἐξακολουθοῦσιν ὑμένες, ἐπὶ τούτων τοὺς ὑμένας
ἀποκόψομεν ἀκμῇ· ὅσαις δὲ διὰ τῶν ὑμένων καὶ ἀγγεῖα προσ-
έχεται, εἰ εὔρωστα εἴη, προσδιασφίγξαντες ἀποκόψομεν αὐτά.

3. Ἐπὶ δὲ τῶν προσφυῶν χοιράδων, εἰ μεγάλαι σφό-
δρα εἶεν καὶ τὸ δέρμα λεπτὸν καὶ ἀκαταγγείωτον ὑπο-
κείμενον, μυρσινοειδῶς περιελοῦμεν αὐτό· διὰ δὲ τῶν μέσων
καὶ μικρῶν τὸ μέγεθος ἢ ἀγγεῖα ὑπὲρ αὐτῶν ἐπιστορεσάμενα
ἐχουσῶν, εὐθεῖαν μὲν τὴν διαίρεσιν ἐμβαλοῦμεν· πολὺ δὲ
μᾶλλον ἐπὶ τούτων χρησόμεθα διαιρέσει ἤπερ ἐπὶ τῶν προσ-
αρτῶν· ἔπειτα ἀναστέλλοντες τὸ δέρμα τοῖς ἀγκίστροις ἠ-
ρέμα ὑποδιαιροῦμεν· ὁμοιοτρόπως κατὰ πάντα γινομένης τῆς ὑ-

©BIU Santé

ποδορᾶς τῆς ἐπὶ μελικηρίδων καὶ ἐπὶ στεατωμάτων παραλαμβανομένης· πλὴν ὅτι ἐνταῦθα μᾶλλον προεσκεμμένως ἐνεργεῖν χρὴ διὰ τὸ πλῆθος καὶ μέγεθος τῶν ἀγγείων· ὥστε καὶ τὰς βάσεις τῶν προσφυῶν χοιράδων τὰς ἐπ' αὐτοῖς τοῖς ἀγγείοις εἴ ποτε ὑπολείπεσθαι χρὴ δυναμένων αὐτῶν διὰ φαρμακείας ὕστερον ἐκτακέναι· ἐφ' ὧν δ' ἐξ ἀμφοτέρων τῶν μερῶν τοῦ τραχήλου χοιράδες εἰσὶν, ἐὰν μὲν μικραὶ καὶ προσαρτεῖς τυγχάνωσι καὶ ὀλίγαι, τὴν ἐνεργείαν αὐτῶν ἑκατέρωθεν ἐπὶ μιᾶς ποιησόμεθα· εἰ δὲ μείζους, ἢ ἄλλην τινὰ περισκέλειαν ἔχουσαι τυγχάνοιεν, τὰς ἐκ || τοῦ ἑτέρου μέρους P. 79.
πρῶτον χειρουργήσαντες καὶ ἀποθεραπεύσαντες, οὕτως ἐξ ὑστέρου μεταβησόμεθα καὶ ἐπὶ τὰς ἑτέρας· ὁ δὲ τῆς ἀποθεραπείας τρόπος πρόδηλος· ὅμοιος γάρ ἐστι τῷ ἐπὶ τῶν στεατωμάτων ἐναίμως ἡμῶν ἀγόντων διὰ παρακολλητικῆς ἀγωγῆς, εἰ πάσας ἐκ βάσεως τὰς χοιράδας κομισόμεθα· ἢ κατὰ συσσάρκωσιν, ἐὰν ὑπολειπόμεναι βάσεις τινὲς ἢ χοιράδες δέοιντο ἐκτακῆναι· τὸ δὲ σχῆμα τῆς ἐπιδέσεως ἐν τῷ περὶ βρόχων εἰρήσεται καὶ ἐπιδέσμων.

## XVIII. Περὶ κιρσῶν.

1. Οἱ κιρσοὶ συνίστανται φλεβῶν ἀνευρυνομένων, καὶ πλείονος αἵματος κατασκήπτοντος· συνίστανται δὲ καὶ ἐν ἐπιγαστρίῳ καὶ ἐν ὀσχέῳ καὶ ἐν σκέλεσι· καὶ ἐπειδὴ πλεῖστον ἐστὶ τὸ ἐνταῦθα πάθος, ἀπὸ τῶν ἐν τοῖς σκέλεσιν ἀρξώμεθα· χρὴ τοίνυν πρὸ μιᾶς τῆς ἐνεργείας ἡμέρας ἀποξύραντα τὸ σκέλος λουσάμενον τὸν κάμνοντα, εὐθὺς ἔτι * θερμὸν ὄντα στῆσαι ὀρθὸν ἀπερεισάμενον ὡς ὅτι μάλιστα ἐπὶ τοῦ κεκιρσωμένου σκέλους· καὶ σημειοῦσθαι κατὰ πάσας τῶν κιρσῶν τὰς ἐπαναστάσεις, ἐμβάλλοντας ἐπιπολῆς βραχείας ἀμυχάς· οὕτω γὰρ εἰ κατ' αὐτὴν τὴν χειρουργίαν ἀφανῆ γένοιτο τὰ ἀγγεῖα διὰ δειλίαν

* Cod. ὅτι.

ἢ δι' ἄλλην τινὰ πρόφασιν, οὐ διαμαρτησόμεθα τῶν κιρσῶν τεκμαιρόμενοι ταῖς σημειώσεσι· τὰς δὲ ἐπιπολῆς ἀμυχὰς, εὐθυτενεῖς ποιησόμεθα, οὐ κατὰ τὴν τῶν κώλων φύσιν, ἀλλὰ κατὰ τὸ τῶν κιρσῶν σχῆμα, ὡς ἐπιπολάζειν τῷ μήκει τὰς ἀμυχάς.

2. Μέλλοντες δὲ ἐνεργεῖν, κατακλινοῦμεν τὸν πάσχοντα πρηνῆ, τὰ μὲν ἄλλα μέρη πρὸς τὸ βάθρον τῷ σχηματοδέσμῳ καταδέοντες· τὸ δὲ κυρσοτομούμενον σκέλος ἐκ μὲν τῶν δεσμῶν εὔλυτον ἀφιέντες, ὑπηρέταις δὲ διακρατεῖν παραδόντες, πρὸς τὸ μετασχηματίζειν, ποτὲ μὲν ἐπὶ τὸ πρηνὲς, ποτὲ δὲ ἐπὶ τὸ ὕπτιον, ὅπως ἂν ἡ χρεία ἀπαιτῇ· ἔπειτα λαβόντες ἄγκιστρα τῶν σφό-
P. 80. δρα | μικροκαμπῶν, καλουμένων δὲ κιρσουλκῶν, γαμμοειδῆ κατὰ τὴν καμπὴν, καὶ καταπείραντες ἐπιπολῆς εἰς τὸ δέρμα, κατὰ τὸ ἐπιφανέστατον τοῦ κιρσοῦ μέρος παρὰ τὴν ἐγχάραξιν τὴν σημειώδη· πλάγιόν τε παρὰ τὸ σκέλος παρατείναντες αὐτό· καὶ ἐνειλήσαντες τῇ καμπῇ τὸ δέρμα, ὥστε περιτενὲς καὶ κυρτὸν γενέσθαι κατὰ τῆς σημειώσεως ἐμβαλοῦμεν διαίρεσιν εὖ μάλα μικρὰν κατὰ τὸ μῆκος, καὶ μικροτέραν γε τῶν ἐν φλεβοτομίαις· διελοῦμεν τε τὸ δέρμα διὰ βάθους μέχρι τοῦ κιρσοῦ· ῥᾳδίως δὲ γνωριοῦμεν αὐτό· λεῖον τε γὰρ καὶ κυανίζον ὀφθήσεται διὰ τὴν τοῦ αἵματος ὑπαύγειαν.

3. Εἰ δὲ μετὰ τὴν τοῦ δέρματος τομὴν ὑμένες τινὲς ὑπεστορισμένοι φαίνονται· δῆλοι δ' ἔσονται, τῇ τε δασύτητι καὶ τῇ λευκότητι· τὸ ἄγκιστρον ἐκ τοῦ δέρματος κομισόμεθα· διὰ δὲ τῆς γεγονυίας διαιρέσεως καθέντες αὐτοῦ τὴν καμπὴν, καταπείραντές τε εἰς τοὺς ὑμένας καὶ ἀνατείναντες, διελοῦμεν αὐτοὺς μέχρι τοῦ ἀγγείου· καὶ δίς γε καὶ τρὶς μεταπείρομεν αὐτοὺς, εἰ πλείους ὑποπίπτοιεν ὑμένες· ἔπειτα κάτω στρέψαντες τὸ ἄγκιστρον· ἔστω δὲ κατὰ τοῦτο μὴ ἔπακμον, ἀλλ' ὡς οἱ χειρουργοὶ καλοῦσι τυφλάγκιστρον· τούτῳ τὸν κιρσὸν ἀναλαβοῦμεν· εἰ δὲ δυσχερῶς ἀναβάλλοιτο, καὶ ἕτερον τυφλὸν καθήσομεν, οὐκ ἐκ τοῦ αὐτοῦ μέρους ἀλλ' ἐκ τοῦ ἀντικειμένου· ἀμφοτέροις τε περιλαμβάνον-

τες ἀναβαλοῦμεν· ἰστέον μέν τοι ὅτι ἀναβληθεὶς οὐκέτι κυα-
νοῦς ὁ κιρσὸς ἀλλὰ λευκὸς καὶ νευρώδης φανήσεται· ἅτε τοῦ μὲν
αἵματος ἐκθλιβομένου εἰς τὰ ἑκατέρωθεν· μόνου δὲ τοῦ χιτῶ-
νος ἐν τῇ περιτάσει καταλιπομένου· ὃς δὴ νευρώδης τέ ἐστι
καὶ λευκὸς αὐτὸς ἀφ' ἑαυτοῦ.

4. Εἰ γὲ μὴ ὑποπίπτοι τὸ ἀγγεῖον· οὐχ ὑποπίπτει
δὲ πολλάκις, ἤτοι διὰ τὸ εἰς τὰ πλάγια τῆς διαιρέσεως
παρωλισθηκέναι, ἢ διὰ τὸ ἐν πολλῷ βάθει τὴν θέσιν
ἔχειν, τηνικαῦτα τῷ τυφλῷ πρῶτον μὲν τὰ πλάγια διε-
ρευνήσομεν· καθιέντες μὲν || ὀρθὸν, καὶ κατὰ ποτὸν ἐκ- P. 81.
κλίνοντες αὐτοῦ τὴν κορυφὴν· ἐνερείσαντες δὲ τὸ μέρος τῷ
δέρματι τῷ κατὰ τὴν ἐπιφάνειαν· ἔξωθεν τὲ τῷ λιχανῷ τῆς
ἀριστερᾶς χειρὸς ἐπιθλίβοντες τὸ δέρμα κατὰ τὴν κυρτότητα
τὴν ὑπὸ τοῦ τυφλαγκίστρου γινομένην· ὥστε μὴ διαλαθεῖν τὸ
ἀγγεῖον· οὕτως γὰρ ὁ κιρσὸς ἡμᾶς παρωλισθηκὼς εἰς τοῦτο
τὸ μέρος οὐ διαφεύξεται· εἰ δὲ μὴ ὑποπέσοι, πάλιν ἐπὶ τὰ
ἕτερα στρέψαντες τὸ τυφλάγκιστρον, τὴν ὁμοίαν ἐκ τῶν ἐν-
αντίων ποιησόμεθα μερῶν· οὐχ εὑρόντες δὲ τὰ χείλη τῆς ἐν
τῷ δέρματι διαιρέσεως, δύο καμπαῖς ἐπ' ἀκμῶν ἀγκίστρων
λαβόντες παραδόντες τὲ ὑπηρέταις διακρατεῖν ταῦτα, αὐ-
τοὶ καθήσομεν τρίτον ὀξυκαμπὲς εἰς τὴν τῶν ὑμένων διάστα-
σιν· διακόψομεν τὲ αὐτοὺς ἐντείνοντες μέχρι τῆς ἐντεύξεως τοῦ
κιρσοῦ· καὶ οὕτως ἀναβαλοῦμεν αὐτὸν ἢ ἑνὶ ἢ δύο τυφλαγ-
κίστροις, κατὰ τὰ πρόσθεν δεδηλωμένα.

5. Γίνεται δὲ ἡ δυσέργεια ὡς τὰ πολλὰ περὶ τὴν πρώτην ἀ-
ναβολήν· αἱ δὲ λοιπαὶ πολλὴν εὐέργειαν ἔχουσιν· εἴ τε γὰρ
εὐθὺς ἐν τῇ πρώτῃ διαιρέσει μετ' αὐτὴν τὴν τοῦ δέρματος τομὴν
ὁ κιρσὸς ὑπαντῆσαι τύχοι, καὶ ἐν ταῖς ἑξῆς ὁμοίως ὑποπεσεῖται·
εἴτε πολλοὺς ἢ ὀλίγους ὑμένας ὑπεστορεσμένους εἶναι τύχοι
εἴτε ἐν πολλῷ βάθει κειμένους κατὰ πάσας τὰς διαιρέσεις ὁμο-
ίως ἔχων εὑρεθήσεται· ἀναβάλλοντες δὲ τὸν κιρσὸν διὰ τῶν

©BIU Santé



εἰρημένων ὀργάνων, εἰ πολλὰ παρεῖναι τύχοι ἢ αὐτῶν τι τῶν ὀργάνων, πλάγιον ὑποβαλοῦμεν τῷ κιρσῷ διὰ τῆς διαιρέσεως ἀνασπάσαντες αὐτὸν, ἢ πτερὸν ἢ ἄλλό τι εὐαφὲς σῶμα, ἢ καὶ βελόνῃ ῥάμμα ἐνείραντες ἀμβλείᾳ· καὶ ὑποβαλόντες αὐτὸ διὰ τῆς βελόνης τῷ κιρσῷ, κἄπειτα ψαλίσαντες πρὸς τῷ πυθμένι τῆς βελόνης τὸ ῥάμμα.

6. Γινέσθω δὲ ταῦτα τοῦ κιρσοῦ ὑπὸ τῶν τυφλαγκίστρων διὰ τῆς διαιρέσεως εὖ μάλα ἀνατεινομένου· ἄλλως γὰρ οὐκ ἂν ἡ ὑποβολὴ γενέσθαι δύναιτο· μετὰ δὲ τὴν
P. 82. πρώτην διαίρεσίν τε καὶ ἔκλειψιν | τοῦ κιρσοῦ τὰς ἑξῆς ἐμβαλοῦμεν κατὰ τὸν αὐτὸν τρόπον, ἐκεῖνο προδιορισάμενοι ὅτι, εἰ οἷόν τ' εἴη, μάλιστα ἄρχεσθαι χρὴ τῆς ἐκλείψεως, οὐκ ἐκ τῶν κατωτάτω τοῦ σκέλους μερῶν· καὶ εἰ μὲν εὐθυτενεῖς εἶεν σφόδρα οἱ κιρσοὶ, τὰς διαιρέσεις ἐμβλητέον οὐχ ἧττον διδακτυλιαῖον διάστημα ἐχούσας ἀπ' ἀλλήλων· εἰ δὲ σκολιωμένοι κατὰ πάσας τε τὰς διαιρέσεις καὶ τὰς ἐκλείψεις ὑποβάλλοντες, ἢ τὰ ἄγκιστρα ἢ τὰ ῥάμματα, οὕτως ἐπ' αὐτὴν ἥξομεν τὴν κιρσοτομίαν.

7. Ἀρξώμεθα δὲ πρῶτον ἐκ τῶν κατωτέρω μερῶν· εἰ μὲν οὖν ἄγκιστρον ὑποβεβλῆσθαι τύχοι, λαβόντες ἕτερον ἄγκιστρον, καὶ κατὰ τοῦ κιρσοῦ ἐπὶ τῶν ἀντικειμένων παραλλήλως ἐπιθέντες αὐτὸ τῷ προτέρῳ, μεσολαβήσαντες τε τὸν κιρσὸν δι' ἀμφοτέρων, καὶ ταῖς χερσὶ συνερείσαντες ἰσχυρῶς αὐτὰ πρὸς ἄλληλα, καὶ συνέχοντες ὡς εἰ ἓν εἴη ἀμφότερα· ἐν τούτῳ τῷ σχήματι τὸ μὲν κάτωθεν ἄγκιστρον ὑποστρεφόμενον ὡς πρὸς τὸ σφυρὸν· τὸ δὲ ἄνωθεν μέρος τῆς κνήμης· τοῦτον τε τὸν τρόπον ἐνειλοῦντες αὐτὰ ἐπισπασώμεθα, ὡς οἷόν τε, ἐπὶ πλεῖστον τὸ μέρος τοῦ κιρσοῦ τὸ πρὸς τῷ σφυρῷ· ἀποκόψαντες δὲ ἄνω τὸν κιρσὸν μεταβησόμεθα ἐπὶ τὴν ἐξολκὴν τὴν διὰ τῆς δευτέρας τῶν κάτω διαιρέσεων· οὐκέτι μὲν ἀποκόπτοντες τὸν κιρσὸν, ἐξέλκοντες δὲ μόνον· κἄπειτα ἐπὶ τὴν τρίτην τε καὶ τὰς ἀνω-

τέρας· εἰ μὲν δὴ ὁ κιρσὸς εἴη ὁλόκληρον ἀγγεῖον, διὰ τῆς ἀ-
νωτάτω κομιούμεθα διαιρέσεως· εἰ δὲ ἀποσχίδας ἔχοι, δι-
σχιδὴς ὢν κατὰ τὸ υ γράμμα, ἢ τρισχιδὴς κατὰ τὸ ψι, καὶ
ἔτι πολυσχιδέστερος, τὰς ἀποσχίδας πρῶτον κατὰ μίαν ἐπισ-
πασάμενοι διακόψομεν πάσας· ἔπειθ' οὕτως κομισόμεθα διὰ
τῆς ἐξολκῆς τῆς εἰς ἓν συστελλούσης.

8. Εἰ δὲ ἀποκοψάντων ἡμῶν τὰς προφανεῖς ἀποσχίδας· ἔπει-
τα ἐξελκόντων διὰ τοῦ χορηγοῦ μὴ ἕποιτο ὁ κιρσὸς ἀλλ' ἀντέχοιτο,
ἐπισπασώμεθα μετὰ || εὖ μάλα τὸν χορηγόν· καλῶ δὲ νῦν χορη- P. 83.
γὸν οὐ τὸ ἀνωτέρω τῆς ἰγνύας κεκιρσωμένον ἀγγεῖον, ἀλλὰ τὸ πολ-
λὰς ἀποσχίδας ἀποστέλλον· κατὰ δὲ τὴν βίαιον ἐξολκὴν αὐτοῦ
εἰ σιμότης τε καὶ συνδρομὴ τοῦ δέρματος φαίνοιτο· ἐν ὁποίῳ δὴ
μέρει τοῦ σκέλους τεκμαιρόμενοι κατὰ τὴν σιμότητα εἶναι ἀποσ-
χίδα ἐκ τοῦ χορηγοῦ τὴν οὖσαν μὴ γνώριμον ἡμῖν, διελοῦμεν
κατὰ τὴν γενομένην σιμότητα· εἰκάζοντες μὴ ἄνευ στάσεως
ἀγγείου γεγενῆσθαι τὴν σιμότητα· κιρσοτομήσαντες δὴ κατὰ τὰ
αὐτὰ, οὕτως ἐπισπασόμεθα τὸν χορηγόν.

9. Εἰ δὲ τῶν προφανῶν ἀποσχίδων διακεκομμένων ἁπασῶν, ὁ
χορηγὸς ἀνελκόμενος μὴ ὑπακούοι, σιμότης δὲ μηδὲ μία γένοιτο
ἐν τῷ σκέλει, διελοῦμεν τὸν χορηγὸν κατὰ ἐπικόπου τῆς ἐπιβολῆς τοῦ
τυφλαγκίστρου· διελοῦμεν δὲ ἐλαφρῶς· ὥστε τὸν ἀνωτέρω τοῦ κιρ-
σοῦ χιτῶνα μόνον διατεμεῖν· ἔπειτα δὲ πύρινον διὰ τῆς διαι-
ρέσεως καθήσομεν εἰς τὸν κιρσὸν, ἀκολουθοῦντες τῇ κενεμβα-
τήσει, καὶ ἄλλοτε ἀλλαχοῦ παράγοντες· οὕτω γὰρ διαιρού-
μενον, τότε μετὰ κατὰ τῶν κάτω διαιρέσεων εἰς τὸ ἐντὸς προκύ-
ψει· τότε δὲ ἄλλοτε ἀλλαχοῦ παραγενόμενον, ἐνερείσει μέρει
τινὶ τῆς ἀτμήτου σαρκός· κατὰ τοῦτο δὴ μοχλεύσαντες καὶ κυρ-
τώσαντες τῷ διπυρήνῳ τὸ δέρμα, διαίρεσίν τε κατὰ τῆς κυρτώσεως
ἐμβάλλοντες κατὰ τοῦτο τὸ μέρος ἐπισπασόμεθα σὺν ταῖς ῥί-
ζαις πάντα τὸν χορηγόν· ἀνέλκοντες τοῦτον τὸν τρόπον ἐπὶ
τὴν ἀρχὴν τοῦ κιρσοῦ, εἴτε κατ' ἰγνύας, εἴτε ἐν μηρῷ τύχοι·

©BIU Santé

εἶτα βιαίως ἢ διὰ τῆς τῶν δύο ἀγκίστρων ἐνειλήσεως, ἢ καὶ διὰ τῆς τοῦ κιρσουλκοῦ κατασκευῆς ἐπισπασάμενοι τὸν κιρσὸν ἐκ τῶν ἄνωθεν μερῶν· ὥστε ὑπερβίαιον γενέσθαι τὴν ἐξολκήν, οὕτως ἀποκόψομεν τὸν κιρσόν· αἴτιος δὲ ἡ βίαιος ἐξολκὴ γίνεται τοῦ μήτε αἱμοῤῥαγεῖν * κατὰ τὴν διακοπὴν τὸν κιρσόν, μήτε δεῖν ἡμᾶς ἀποσφίγξεσιν ἢ διαβροχισμοῖς χρῆσθαι.

* Cod. αἱμοῤῥαγίαν.

P. 84. 10. Ἐπὶ δὲ τῶν σφόδρα ἐνειλημένων | καὶ βοτρυοειδῶν ὁ μὲν τῆς ἐξολκῆς τρόπος ἄχρηστος· εὐθυτενῆ δὲ χρὴ κατὰ μῆκος διαίρεσιν ἐμβάλλοντας, διὰ ταύτης κομίσασθαι πᾶν τὸ βοτρυοειδές· τὰ τελευταῖα τοῦ κιρσοῦ μέρη, τά τε ἄνω, καὶ τὰ κάτω, τὸν παραπλήσιον ἐπισπάσασθαι τρόπον τῷ πρόσθεν εἰρημένῳ· εἰσὶ δέ τινες ἐριώδεις τῶν κιρσῶν, οὕτως ὑπὸ τῶν χειρουργῶν καλούμενοι· τούτους οὐχ οἷόν τε κατ' ἐξολκὴν κομίζεσθαι· ξαίνονται γὰρ καὶ διασπῶνται ταχέως· τοῦτο δὲ πάσχουσι μὲν καὶ φύσει τινές· καὶ διὰ πλῆθος δὲ τοῦ περιεχομένου αἵματος δαπανωμένων τῶν χιτώνων· ἐπὶ τούτων ὁ μὲν τῆς ἐξολκῆς τρόπος ἀδύνατος ῥᾳδίως ἀποσπωμένων· χρὴ τοίνυν ἐπ' αὐτῶν μετὰ τὴν ὑποβολὴν τῶν πτερῶν ἢ τῶν τυφλαγκίστρων ἢ τῶν ἄλλων τῶν προειρημένων σωμάτων· εἰ κατανοήσομεν αὐτούς, οὕτως ἐκκόπτειν καθ' ἑκάστην διαίρεσιν πᾶν τὸ τῆς διαιρέσεως προκύπτον, ὡς τὸ πτερὸν ἢ ὡς τυφλάγκιστρον ὑπόκειται· οὐ μέντοι διακοπτέον αὐτὸ μόνον ἀλλ' ἐκκοπτέον· ἵνα μὴ συμφυὲν τὸ ἀγγεῖον, αὖθις εἰς τὴν ὁμοίαν κίρσωσιν ἐπανέλθῃ.

11. Μετὰ δὲ τὴν χειρουργίαν, αἱμοῤῥαγίας μὲν οὐκ ἔσται δέος οὐδὲ ἀπὸ τῶν ἀνωτέρω τοῦ χορηγοῦ σωμάτων· οἷα δὴ ἐπιφραττομένης αὐτῶν τῆς ὁδοῦ, ἐκ τῆς τῶν ἀγγείων ἐπὶ πλέον ἑλκυσθέντων, ἐκ τῆς γενομένης κιρσουλκίας θλιβομένων τε καὶ μυόντων ἐκ τῆς περιεχούσης σαρκός, τῶν τε κατωτέρω τὸ παραπλήσιον πεπονθότων· τὸ αἷμα οὖν εὖ μάλα θλίψαντες καὶ ἐκθρομβώσαντες τὸ σκέλος, πολύ τε ἀνωτέρω τῆς κατὰ τὴν ἰγνύαν τομῆς τὴν εἰς τὰ κάτω θλίψιν ποιούμενοι, πολύ τε κατωτέρω κατὰ τὸ σφυρόν, αὐτήν τε τὴν

©BIU Santé



κνήμην πιέζοντες εὖ μάλα· ὥστε πάντοθεν τὸ ἐν ταῖς το-
μαῖς συνδεδραμηκὸς αἷμα ἐκκριθῆναι· γινέσθω δὲ ἡ ἐπίδε-
σις, καὶ διὰ τῶν χειρῶν μὲν ἠρέμα συμπιεζουσῶν, καὶ ἔτι μᾶλ-
λον διὰ σπόγγων ἐνερειδομένων· δέος γὰρ ἐκ τῶν || χειρῶν καὶ P. 85.
περίθλασιν γίνεσθαι· διὰ τοῦτο οὔτε βιαίως θλίβομεν· ὅτι
ἐκ πάσης ἀνάγκης εἰ καὶ μικρότατός τις θρόμβος αἵματος
μετὰ τὴν χειρουργίαν καταλειφθείη, τούτου ἂν οἰδήσαντος δια-
πύησιν γίνεσθαι συμβαίνει, ὑγρόν τε ἀναβῆναι κατὰ τὰς διαι-
ρέσεις, νευρικάς τε ἀπαντῆσαι συμπαθείας· πρός γε μὴν τού-
τοις ἀτευκτηθῆναι τὴν ἔναιμον ἀγωγὴν, ἧς οὐδέποτε ἀστοχή-
σομεν ἐκθρομβώσαντες ἐπιμελῶς· ἄγομεν δὲ ἐναίμως τοὺς κιρ-
σουλκηθέντας, ἢ σπλήνιον ἐμπλάστρου τῶν ἐναίμων καλουμένων
τινὸς ἐπιβάλλοντες· καὶ κατ᾽ αὐτοῦ σπόγγον ὀξυκράτῳ διάβρο-
χον ἐπιβάλλοντες, ἡσυχῇ δεσμῷ πιέζοντες· ἢ ἀντὶ τοῦ ἐμπλάστρου
ὀθόνιον ὀξυκράτῳ βεβρεγμένον προυποτιθέντες τοῖς σπόγγοις.

12. Τοὺς δὲ ἐν κεφαλῇ κιρσοὺς οἱ μὲν παλαιοὶ δια-
καίειν ἠξίουν, φοβούμενοι τὴν ἐξολκὴν· μὴ διαγανακτήσαντος
ἐν τῷδε τῷ τόπῳ τοῦ περικρανίου, συμπάθειά τις γένηται τῶν
νευρωδῶν· ἡμεῖς δὲ τὸν κατὰ ἐκκοπὴν ἐκκρινοῦμεν τόπον, ὃν ἤ-
δη τε ἐπὶ τῶν ἐριωδῶν κιρσῶν ἐξεθέμεθα· καὶ ἔτι σαφέστερον
ἐν τῷ περὶ ἀγγειολογίας παραδείξομεν τόπῳ· καὶ μετὰ ἐπὶ τῶν
ἐν ἐπιγαστρίῳ κιρσῶν ἀδύνατος ὁ τῆς ἐξολκῆς τρόπος, συντρέ-
χοντος τοῦ δέρματος διὰ τὴν ἰδίαν μαλακότητα καὶ διὰ τὸ
μῆκος τῶν περιτενεῖς εἶναι· ἀλλ᾽ οἱ μὲν πρόσθεν εὐθείας κατὰ
μῆκος τῶν κιρσῶν ἰσομήκεις τε αὐτοῖς διαιρέσεις ἐμβάλλοντες,
οὕτω κομίζονται αὐτούς· ἡμῖν δὲ εἰ μὲν βοτρυοειδῶς ἐνειλί-
σθαι τύχοιεν, ὁ τῆς εὐθυτομίας ἀρκεῖ τρόπος· καθάπερ οὖν καὶ
ἐπὶ τῶν ἐν σκέλεσι βοτρυοειδῶς ἐσχηματισμένων ἠξιοῦμεν· εἰ
δ᾽ εὐθεῖς εἶεν ἢ εὐθυσκολιοὶ, παραιτούμεθα τὴν εὐθυτο-
μίαν· οὐχ ἧττον ἀπρεποῦς τῆς οὐλῆς γινομένης αὐτῶν τῶν
κιρσῶν· τὸν δὲ τῆς ἐκκοπῆς ἐκκρινοῦμεν τρόπον, καθάπερ
καὶ ἐπὶ τῶν ἐριωδῶν καλουμένων.

©BIU Santé



## XIX. Ἐκ τῶν Ἡλιοδώρου περὶ τῶν ἐν τῷ ὀσχέῳ κιρσῶν. (1)

Τοὺς ἐν τῷ ὀσχέῳ γενομένους κιρσοὺς ἢ τῷ κατὰ ἀποκο-
P. 86. πὴν | τρόπῳ κομίσασθαι δεῖ, ἐκ δακτυλιαίων τῶν μεταξὺ δια-
στημάτων ἀνασπωμένων τῶν κιρσῶν, ἀποσφιγγωμένων τε κατὰ
μέρος καὶ ἀποτεμνομένων, ὡς ἐπὶ τῶν σκελῶν εἴρηται· ἢ τοῖς
πυρινοειδέσι καυτηρίοις καίειν ὁμοίως ἐκ συνεχῶν συμμέτρων
τῶν μεταξὺ διαστημάτων πρὸς τὴν τῶν κεκιρσωμένων ἀγγείων
ἐσχάρωσιν.

## P. 90. XX. Ἐκ τῶν Ἀντύλλου περὶ ἀνευρύσματος. (2)

1. Διαφοραὶ τῶν ἀνευρισμάτων δύο· τὸ μὲν γὰρ αὐτῶν γίνεται τῆς κατὰ τόπον ἀρτηρίας ἀνευρυσθείσης· ἐντεῦθεν καὶ τὸ ὄνομα ἐτέθη τῷ ἀνευρύσματι· τὸ δὲ ῥαγείσης ἀρτηρίας καὶ τὸ αἷμα ἐξερευγομένης εἰς τὴν ὑποκειμένην σάρκα· ὅσα μὲν οὖν κατὰ ἀνευρυσμὸν ἀρτηρίας γίνεται, προμηκέστερα ἐστίν· ὅσα δὲ κατὰ ῥῆξιν, ταῦτα στρογγυλώτερα μὲν καὶ πλείονα ἐπεστόρηται σώματα ἐπὶ τῶν κατὰ ἀνεύρυσιν ἀρτηρίας γεγονότος ἀνευρύσματος· ἐπὶ δὲ τῶν κατὰ ῥῆξιν γεγονότων ἐν ταῖς διὰ τῶν δακτύλων θλίψεσιν, ὥσπερ ψόφου τινὸς ἐξακουομένου, οὐδενὸς δὲ ἤχου κατὰ τὸ ἕτερον εἶδος τῶν ἀνευρυσμάτων. Τὸ μὲν οὖν πᾶν ἀνεύρυσμα, καθάπερ ἔδοξε τοῖς παλαιοῖς χειρουργοῖς, ἀπαγορεύειν ἠλίθιον· ἐπικίνδυνον δὲ καὶ τὸ πάντα χειρουργεῖν· ὅθεν τὸ μὲν ἐν μασχάλῃ καὶ βουβῶνι καὶ τραχήλῳ παραιτησόμεθα, διά τε τὸ μέγεθος τῶν ἀγγείων, καὶ τὸ ἀδύνατον καὶ ἐπικίνδυνον αὐτῶν τὴν ἔκληψιν καὶ τὸν ἀποβροχισμὸν γενέσθαι·

(1) Ἀπὸ τοῦ ε̄ τῶν χειρουργουμένων· κεφάλαιον τοῦ ὁμοίου.
(2) Ἀπὸ τοῦ α τῶν χειρουργουμένων· κεφάλαιον τοῦ ὁμοίου.

ἀπαγορεύομεν δὲ καὶ τὸ ὑπερμέγεθες, κἂν ἐν ἄλλῳ τινὶ τόπῳ τύχῃ· τὰ δὲ ἐν τοῖς ἄκροις καὶ τοῖς κώλοις ἐν κεφαλῇ τε, τοῦτον χειρουργήσομεν τὸν τρόπον.

2. Ἐὰν μὲν οὖν κατὰ ἀνευρυσμὸν ὑποπέσῃ, διαίρεσιν εὐθεῖαν ἐμβαλοῦμεν τῷ δέρματι κατὰ μῆκος τοῦ ἀγγείου· ἔπειτα διαστείλαντες ἀγκίστροις || τὰ χείλη τῆς διαιρέσεως, τοὺς P. 91. ὑμένας πάντας πεφυλαγμένως τοὺς μεταξὺ τοῦ δέρματος τῆς τε ἀρτηρίας διελοῦμεν· τὴν φλέβα δὲ τὴν παρακειμένην τῇ ἀρτηρίᾳ τυφλαγκίστροις εἰς τὰ πλάγια παρώσαντες, γυμνώσομεν πάντοθεν τὸ ἀνευρυσμένον μέρος τῆς ἀρτηρίας· ὑποβάλλοντες τε ἐκ τοῦ κάτωθεν μέρους πυρῆνα μήλης, καὶ ἀνατείναντες ἄνω, βελόνην διώσομεν παρὰ τὸν πυρῆνα ἔχουσαν διπλοῦν νενημένον ῥάμμα, ὡς ὑπὸ τῇ ἀρτηρίᾳ γενέσθαι· ψαλίσομεν τε πρὸς τῷ πυθμένι τὰ ῥάμματα· ὥστε δύο μὲν αὐτὰ γενέσθαι, τέσσαρας δὲ ἀρχάς· ἔπειτα λαβόμενοι τῶν δυοῖν ἀρχῶν τοῦ ῥάμματος, ἀνάξομεν αὐτὰ ἠρέμα πρὸς τὸ πέρας τὸ ἕτερον τοῦ ἀνευρύσματος, ἀκριβῶς τε ἀφαμματήσομεν· ὁμοίως δὲ καὶ τὸ ἕτερον ῥάμμα ἐπὶ τὸ ἀντικείμενον πέρας ἀγαγόντες, ἐκεῖσε διαδήσομεν τὴν ἀρτηρίαν· ὥστε τὸ ἀνεύρυσμα πᾶν ἐν μέσῳ τῶν διαβροχισμῶν ἀμφοτέρων γενέσθαι· μετὰ δὲ τοῦτο στομώσομεν κατὰ μέσον τὸ ἀνεύρυσμα διαιρέσει μικρᾷ· οὕτως γὰρ τὸ μὲν παρακείμενον ἐκκριθήσεται πᾶν· κίνδυνος δὲ οὐκ ἔσται αἱμοῤῥαγίας· ὅσοι δὲ ἀποβροχίζουσι μὲν ὥσπερ ἡμεῖς ἑκατέρωθεν τὴν ἀρτηρίαν· τὸ δὲ μέσον τὸ ἀνευρυσμένον ἐκκόπτουσιν ἐπικινδύνως ἐνεργοῦσιν· ὑπὸ γὰρ τῆς βίας καὶ τῆς τάσεως τοῦ πνεύματος πολλάκις ἐκπτύεται τὰ ῥάμματα.

3. Εἰ δὲ κατὰ ῥῆξιν ἀρτηρίας γένοιτο τὸ ἀνεύρυσμα, ἀπολαβεῖν δεῖ τοῖς δακτύλοις σὺν τῷ δέρματι πᾶν ὁπόσον δυνατὸν εἴη τοῦ ἀνευρύσματος· ἔπειτα βελόνην διείρειν κατωτέρω τοῦ ἀποληφθέντος ἔχουσαν διπλοῦν ῥάμμα λινὸν ἢ νευρὰν· καὶ μετὰ

τὴν διεκβολὴν ψαλίσαι πρὸς τῷ πυθμένι, ὥστε δύο γενέσθαι ῥάμματα· εἶτα λαβέσθαι τοῦ ἑτέρου ῥάμματος τῶν ἀρχῶν ἀμφοτέρων, καὶ ἐπὶ τὰ δεξιὰ μέρη ἀναγαγεῖν· κἀκεῖ ἀμφαμματίσαι εὐτόνως· ὥστε μὴ περιολισθῆσαι τὸ ῥάμμα· παραπλησίως δὲ καὶ τὰς ἑτέρας ἀρχὰς ἐπὶ τὰ ἀριστερὰ τὰ ἀν-
P. 92. τικείμενα | ἀναγαγεῖν· εἰ δὲ φόβος εἴη τῆς περιολισθήσεως τῶν ῥαμμάτων, καὶ ἄλλῃ βελόνῃ διεκβλητέον διὰ τοῦ αὐτοῦ τόπου χιάζουσαν τὴν προτέραν, τῷ χι σχήματι τῆς διεκβολῆς ἔχουσαν ῥάμμα ὁμοίως νενημένον διπλοῦν· ψαλιστέον δὲ τά τε ῥάμματα παραπλησίως, καὶ ἐφαπτέον, ὥσπερ καὶ τὰ πρότερον· ὥστε διὰ ῥαμμάτων τεσσάρων τὴν διάσφιγξιν γενέσθαι· εἶθ' οὕτως κατὰ κορυφὴν στομοῦν χρὴ τὸν ὄγκον· καὶ μετὰ τὴν ἔκκρισιν τοῦ παρακειμένου, τὸ περιττὸν τοῦ δέρματος περιαιρεῖν, καταλιπόντας ἐκεῖνο ὅπερ ἐπὶ τῶν ῥαμμάτων ἐσφίγγετο· οὕτως γὰρ ἀναιμορράγητος ἡ χειρουργία γίνεται.

## XXI. Ἐκ τῶν Ἀντύλλου περὶ κολοβωμάτων. (1)

1. Ἔστι μὲν τὸ κολόβωμα ἔλλειψις μορίου ἢ τινὸς δέρματος καλύπτοντος τὰ σώματα· εἰ μὲν οὖν ἐν ὀφρύϊ γένοιτο τὸ κολόβωμα, οὕτως χειρουργήσομεν· τετράγωνον ἐκκοπὴν ποιησόμεθα· εἰ μήπως αὐτὸ κατὰ συντυχίαν τετράγωνον εἶναι τύχῃ· ὥστε ἐν τῇ τετραγώνῳ ἐκκοπῇ περιειλῆφθαι τὸ κολόβωμα· ἔπειτα τὴν ἄνω πλευρὰν τοῦ τετραγωνίσματος, λέγω δὲ τὴν γενομένην ἐπὶ τῷ μετώπῳ, ἐφ' ἑκάτερα ἐκβαλοῦμεν, διαιροῦντες καὶ ὡς πρὸς τὴν ῥῖνα καὶ ὡς πρὸς τὸ οὖς· ὥστε πολὺ ἐπιμηκεστέρας τῆς τοῦ τετραγώνου πλευρᾶς γενέσθαι τὰς ἑκατέρωθεν ἐπεκτεταμένας διαιρέσεις· παραπλησίως δὲ καὶ τὴν ἀντικειμένην πλευρὰν τὴν ἐπὶ τῇ ὀφρύϊ ἐπιδιελοῦμεν ἐπὶ ἑκά-

---

(1) Ἀπὸ τοῦ α̅ τῶν χειρουργουμένων κεφάλαιον τοῦ ὁμοίου.

τερα· ὥστε τὸ σχῆμα γενέσθαι συμπτώσεως τῆς διαιρέσεως σὺν τῷ τετραγωνίσματι, παραπλησίως τῷ η̄ καταστραμμένῳ στοιχείῳ, τῆς τετραγωνότητος νοουμένης ὅλης ἀντὶ τῆς μέσης γραμμῆς τῆς ἐν τῷ η̄.

2. Γενομένου δὲ τούτου, μεταξὺ τῶν διαιρέσεων ὑποδεροῦμεν καὶ ἀναπτύξομεν μέχρις τῶν κεραίων τῶν γραμμῶν· ἔπειτα ἐπισπάσαμενοι αὐτὰ μετὰ τὴν ὑποδορὰν συνάξομεν προσάλληλα· ἔσται δὲ αὐτῷ ἡ συμβολὴ || κατὰ μέσην τὴν τετράγωνον ἐκκοπήν· ἔπειτα ξυγώσαντες ἐναίμως ἄξομεν· χρὴ δὲ ἐν τῇ ὑποδορᾷ μὴ ἐξ ἐπιβολῆς πάνυ ὑποδέρειν τὸ δέρμα· νεκροῦται γὰρ τὸ τοιοῦτον λεπτυνόμενον· ἀλλὰ ποσόν τι καὶ τῆς σαρκὸς προσλαμβάνειν τῷ δέρματι· παραπλησίως δὲ χειρουργητέον καὶ τὰ ἐν μετώπῳ καὶ τὰ κατὰ μέσην τὴν ῥῖνα κολοβώματα· εἰ μέντοι μέχρι τοῦ ὀστοῦ τύχοι τὸ κολόβωμα εἶναι, ὥστε γεγυμνῶσθαι τὸ ὀστοῦν, τὰ μὲν ἄλλα πάντα παραπλησίως ποιήσομεν· πρὸ δὲ τοῦ ξυγοῦν ἐπιμελησόμεθα τοῦ ὀστοῦ, ξέσαντες αὐτὸ ἢ κατατρήσαντες ἐξ ἐπιβολῆς, ὥστε μὴ ἀτευκτηθῆναι τὴν παρακόλλησιν. P. 93.

## XXII. Περὶ τῶν ἐν ῥισὶ καὶ ὠσὶ κολοβωμάτων. (1)

1. Εἰ μὲν κατὰ τὸ σφαίριον τῆς ῥινὸς γένοιτο κολόβωμα, παραπλησίως χειρουργήσομεν ὡς καὶ ἐπὶ τῶν κατὰ τὴν ὀφρῦν κολοβωμάτων· μετὰ γὰρ τὴν τετράγωνον ἐκκοπὴν τὰς δύο πλευρὰς τὰς τοῦ τετραγωνίσματος, οὐχὶ τὰς κατὰ μῆκος ῥινὸς, ἀλλὰ τὰς ἐγκαρσίας ἐπαμφοτέρας ἐμβαλοῦμεν, καταβιβάζοντες αὐτὰς εἰς τὰ πλάγια τῆς ῥινὸς ἑκατέρωθεν πρὸς τὰ πτερυγώματα· ἔπειτα μεταξὺ τῶν διαιρέσεων ταινίδια τοῦ δέρματος ὑποδείραντες καὶ ἐπισπασάμενοι, ξυγώσομεν αὐτὰ ἄνω κατὰ τὸν τοῦ

(1) Ἀπὸ τοῦ αὐτοῦ κεφαλαίου.

σφαιρίου τόπον· εἰ δὲ κατὰ τὸ διάφραγμα τῆς ῥινὸς εἴη κολόβωμα, ἀπό τε τῶν ἄνωθεν μερῶν τῆς ῥινὸς καὶ ἀπὸ τῶν κάτωθεν τῶν πρὸς τῷ χείλει, τὰ ταινίδια περιγράψαντες ἐπάγοντές τε τὸ διάφραγμα ῥάψομεν.

2. Κατὰ δὲ τὸ πτερύγιον εἰ γένοιτο κολόβωμα, παρὰ τὴν ῥίνα αὐτὴν δώσομεν διαίρεσιν, ἐκτείνοντες τὴν εὐθείαν πλευρὰν τοῦ τε τετραγωνίσματος· ἄνω τε ἀνιόντες ὡς πρὸς τὸν μέγαν κανθόν· ὁμοίως δὲ καὶ τὴν ἀντικειμένην αὐτῇ διαίρεσιν ἐπεμβαλοῦμεν ἄνω, ὡς πρὸς τὸ ὑπώπιον ὑποδείραντες· καὶ ἐπάγοντες τὸ ταινίδιον τοῦτο, ζυγώσομεν αὐτὸ
P. 94. πρὸς τὰ ἑκατέρωθεν τῷ | κολοβώματι παρακείμενα σώματα· οὐ γὰρ ἀποδεχόμεθα τοὺς ἀπὸ τοῦ σφαιρίου τῆς ῥινὸς πειρωμένους ἐπάγειν τὸ ταινίδιον· εἰ γάρ τις πείθοιτο ἐκείνοις, εἰς τὸ ἕτερον μέρος διαστρέψει τὴν ῥίνα διὰ τὴν σύντασιν τοῦ δέρματος· παραπλησία δὲ ἡ κατὰ τὰ σώματα τῶν κολοβωμάτων ἐστὶ διόρθωσις· ὁπόταν μέντοι γε μὴ μόνον τὸ δέρμα ἀλλὰ καὶ ὁ χόνδρος αὐτὸς ἐλλείπῃ, εἴτε κατὰ τὰ ὦτα, εἴτε κατὰ τὰ ἄκρα τῆς ῥινὸς, χρὴ πρὸ τῆς ἐπαγωγῆς τοῦ δέρματος περικόπτειν τὸν χόνδρον αὐτόν· ὥστε ἀπευθύνεσθαι κατὰ ποσὸν τὴν γινομένην τοῦ κολοβώματος κοιλότητα· οὕτω γὰρ ἐπαχθέντος τοῦ δέρματος οὐκ ἀπρεπὲς φανεῖται τὸ ἀποτέλεσμα.

## P. 96. XXIII. Ἐκ τῶν Ῥούφου περὶ ἐλεφαντιάσεως. (1)

Οὐδὲν μὲν παρὰ τῶν παλαιῶν περὶ τῆς ἐλεφαντιάσεως ἀκηκόαμεν· καὶ θαυμάζειν ἄξιον εἰ οὕτω μέγα καὶ χαλεπὸν νόσημα, καὶ πολλοῖς γινόμενον, παρεῖδον ἱκανοὶ ἄνδρες πᾶν καὶ τὸ βραχύτατον κατασκέψασθαι· μόνος ἡμῖν Στράτων ὁ τοῦ Ἐρασιστράτου μαθητὴς ἐννοίας παρέσχε τοῦ πάθους, κακοχυ-

(1) Ἀπὸ τῶν χρονίων παθογνωμικοῦ, τὸ τελευταῖον κεφάλαιον.

©BIU Santé

μίαν αὐτὸ ὀνομάζων· τὸ γὰρ εἰς Δημόκριτον ἀναφερόμενον βι-
βλίον περὶ τοῦ νοσήματος, φανερῶς κατέψευσται· οἱ δὲ ὀλίγον
πρὸ ἡμῶν καὶ διαφορὰς εἰσηγήσαντο τοῦ πάθους, τὴν μὲν ἀρ-
χὴν αὐτοῦ λεοντίασιν καλοῦντες· ὅτι τὸ σῶμα δυσῶδες γί-
νεται, καὶ ὅτι χαλῶνται γνάθοι καὶ παχύνεται τὰ χείλη· ὅ-
ταν δὲ διεγείρωνται καὶ τὰ μῆλα ἐρυθραίνηται, καὶ τὶς ὁρμὴ
καταλαμβάνει τοὺς πεπονθότας πρὸς ἀφροδίσια, τότε σατυ-
ρίασιν καλοῦσιν ἕτερόν τι τοῦτο τοῦ κατὰ αἰδοῖα πάθους· ἐκεῖ-
νο μὲν γὰρ ἀπὸ τῆς συνεχοῦς ἐντάσεως τῶν μορίων ὠνόμασται,
τοῦτο δὲ καὶ ἀπὸ τῆς μορφῆς· διαβαινόντων δὲ τῶν συμπτω-
μάτων ἐπὶ πᾶσαν τὴν ἕξιν, ἐλέφαντα καλοῦσι· τὰ δὲ συμπ-
τώματα οὐκ ἄδηλα, ὄχθοι πελιδνοὶ καὶ μέλανες μώλωψι
μάλιστα ὅμοιοι· ἄλλοι περὶ τὴν ὄψιν, ἄλλοι περὶ σκέλη· καὶ
περὶ νῶτα δὲ καὶ στῆθος καὶ γαστέρα πολλοὶ ἀνίστανται· εἶ-
τα ἑλκούμενοι τρόπον τὸν πονηρότατον μετὰ χειλῶν ἐπαναστά-
σεως, μετὰ σηπεδόνος βαθείας, ὥστε ἐνίοις καὶ ἄκρους δακτύ-
λους ἀποπίπτειν· καὶ τὰ ἕλκη μηδέποτε εἰς οὐλὴν ἀφικνεῖσθαι·
δοκεῖ μὲν οὖν ἐπιπόλαιον εἶναι τὸ νόσημα, ὅτι ἐν τῷ δέρμα-
τι φαίνεται· τὸ δὲ περὶ τὴν ἴασιν δύσκολον καὶ τὸ ἐγγύτατον
τοῦ ἀδυνάτου βα||θυτέραν τὴν ἀρχὴν ὑποβάλλει καὶ ἧς οὐ ῥᾴ- P. 97.
διον ἅψασθαι· οἷόν τι καὶ περὶ τὰ καρκινώματα πεπίστευται
εἶναι· καὶ γὰρ τούτων ὁ Πραξαγόρας βύθιον τὴν ἀρχὴν ποι-
εῖ μάλιστα.

## XXIV. Ἐκ τῶν Φιλουμένου τίς θεραπεία ἐλεφαντιάσεως.

1. Φλεβοτομία μὲν οὖν πρῶτον ἐστὶ βοήθημα καὶ ὁπότε τῆς
ὅλης ἐναρχόμεθα θεραπείας καὶ ὁπότε τῆς ἐπιτείας· μεμερίσθω
δὲ καὶ εἰς ἐπαφαίρεσιν, καὶ ἡ πᾶσα κένωσις γενηθήτω σύμμε-
τρος· φείδεσθαι γὰρ ἐν τῇ διαθέσει ταύτῃ τοῦ αἵματος ἀναγ-
καῖον ἐστί· πλέον γὰρ τὸ οἰκεῖον τοῦ ἀνοικείου διὰ τῆς φλε-

βοτομίας κενοῦται· τῷ πεπαχύνθαι μὲν ὑπὸ τῆς θρομβώσεως καθὰ προείρηται τὸ αἷμα· περιῤῥεῖν δὲ αὐτοῦ πρὸς τὴν ἔκκρισιν τὸ λεπτότερον· ὅσον οὖν εἰς χαλασμὸν τῶν σωμάτων καὶ διακίνησιν τῆς ἐσφηνωμένης ὕλης, τῇ φλεβοτομίᾳ χρηστέον· μετὰ διάστημα δὲ σύμμετρον, ἀπ' αὐτῆς ἐπὶ τὰ καθαρτήρια χωρητέον.

2. Καὶ πρώτῳ γε τούτῳ χρηστέον· κολοκυνθίδας δύο συμμέτρους τῷ μεγέθει περιγλύψαι δεῖ κατὰ τὸ ἕτερον μέρος τοσοῦτον, ὅσον αὔταρκες ἐπιπωματίσαι· εἶτα τὸ μὲν σπέρμα πᾶν αὐτῆς ἐκκενῶσαι· περιωδυνίας γὰρ εἴωθεν ἰσχυρὰς ἐπιφέρειν· τὴν δὲ ἐντεριώνην ἐᾶσαι γεμίσαι τε τὰς κολοκυνθίδας ἐλαίου γλυκέος, καὶ περιπωμάσαι τῷ περιγλυφέντι σώματι· νύκτα δὲ ἐᾶσαι μίαν· τῇ δὲ ἑξῆς τοῦ ἐλαίου κενωθέντος, ἑψῆσαι δεῖ τὰς κολοκυνθίδας ἐν ὕδατι ἄχρι τακερωθῶσιν· εἶτα αὐτὰς μὲν ἐκρίψαι· τοῦ δὲ ἐλαίου τῷ ὕδατι παραχυθέντος, προσεπεμβάλλειν· μέλανος μὲν ἐλεβόρου τριώβολον· σκαμμωνίας δὲ μήτε δραχμῆς πλέον μήτε ὀβολῶν τεσσάρων ἔλασσον· συνεψῆσαι δὲ τούτοις πολτάριον ἐκ σεμιδάλεως· ἔπειτα ἀπὸ τούτου τῷ πάσχοντι διδόναι λιτῶς προδιητημένῳ, μεγέθει καρύων ποντικῶν τεσσάρων καὶ εἴκοσι, καὶ ποτὸν ὕδωρ· ἐᾶσαι | P. 98. δὲ αὐτὸν καθαίρεσθαι· συντελεσθείσης δὲ τῆς κενώσεως περὶ τὴν ἑσπέραν λουτρῷ θεραπεύειν, καὶ ἀναλαμβάνειν χόνδρῳ διὰ κράματος στρυφνοτέρου καὶ ἐλαίας ἅλμασιν· εἰ δ' εὔτονος τυγχάνει, καὶ τῇ ἑξῆς κάθαρσιν συναπτέον δευτέραν· δώδεκα δὲ τοῦ πολταρίου δοτέον οἷα προείρηκα μεγέθει· καὶ τὴν ἀνάληψιν ποιητέον ὁμοίαν· παρεθείσης δὲ τῆς καθάρσεως ταύτης, τὴν ἱερὰν δοτέον τὴν διὰ τῆς κολοκυνθίδος, ἔχουσαν βραχὺ σκαμμωνίας ἐν ταῖς δυσὶ δραχμαῖς· ὅπως ἡ κένωσις ἐμπρακτικωτέρα γίγνηται· δυνατὸν δὲ τὴν μὲν σκαμμωνίαν περιελεῖν· τρισὶ δὲ χρῆσθαι δραχμαῖς τοῦ φαρμάκου· καθαίρει δ' ὠφελίμως τοὺς ἐλεφαντιῶντας καὶ ὁ γλυκὺς ὁ ἐννυκτερεύων

©BIU Santé

BIU Santé



τῇ κολοκυνθίδι· καθὼς ἐπὶ τῶν ἰκτερικῶν ὑπεδείξαμεν.

3. Τῆς δυνάμεως δ' ἀναληφθείσης μετὰ τὰς τοιαύτας κενώσεις, δι' ὑδροποσίας καὶ διαίτης εὐσταλοῦς τῆς ἀπὸ ἰχθύων τε καὶ πτηνῶν, μετὰ ἡμέρας ὅσον δέκα ἐπὶ τὴν διὰ τοῦ γάλακτος κάθαρσιν ἐλθετέον, ἥτις οὐ κενοῖ μόνον ἀλλὰ καὶ ἐπικίρνησι τὰς ὕλας καὶ ἐπιγλυκαίνει τὰς δριμύτητας· ἔστω δὲ καὶ μάλιστα μὲν ὄνειον τὸ γάλα· εἰ δὲ μή γε, τὸ αἴγειον· καὶ καλαμίνθην τὸ ζῶον, εἰ οἷόν τε εἴη, προσεσιτήσθω, καὶ ἡ σχίσις τοῦ γάλακτος μετὰ τὴν ἕψησιν διὰ καλαμίνθην ἀποβαπτομένης εἰς ὄξος γεγενήσθω· τὴν γὰρ πρώτην σχιστῷ χρηστέον τῷ γάλακτι· διδόσθω δὲ πρὸς δύναμιν, μήτ' ἔλασσον τριῶν, μήτε ὑπὲρ τὰς πέντε κοτύλας ἔστω τὸ πλῆθος· ταῖς δὲ ἐφεξῆς ἡμέραις ἀσχίστῳ τῷ γάλακτι τὴν ἕξιν ἀναθρεπτέον· διδόντας μὴ ἔλασσον κοτύλης μιᾶς, μετὰ τοὺς ἑωθινοὺς περιπάτους θερμὸν προσηνῶς, ἢ ἅμα τῷ ἀμελχθῆναι τὴν ἰδίαν ἔτι θερμασίαν ἔχον· μετὰ δὲ τεσσαρεσκαίδεκα ἡμέρας ἀποστῆναι μὲν προσήκει τοῦ γάλακτος, ἐλθεῖν δὲ ἐπὶ δριμυφαγίαν, ὥστε διακινῆσαι τὴν σύγκρισιν, καὶ || λεπτῦναι τὸ πάχος, εἴ τι ἐγκαθήμενον ὑπάρχοι· διὸ καὶ συναπτέον δευτέραν καὶ τρίτην δριμυφαγίαν· τῇ τετάρτῃ δὲ ἀνέδην (1) διαιτηθεῖσιν αὐτοῖς, ἔμετον συντακτέον· ὕλη δὲ οἰκεία πρὸς ἔμετον, ὁποία τίς πρόσθεν ὑπεδείχθη· καὶ δεύτερον δὲ ἐκ διαστήματος ἀπὸ δείπνου παραληπτέον ἔμετον· καὶ τρίτον, μελέτης τε καὶ ὠφελείας χάριν· εἶτα τὸν ἀπὸ ῥαφανίδων· καὶ λοιπὸν εὐκολίας πρὸς τὰς ἀπεράσεις (2) γεγενημένης, ἐπὶ τὸν ἐλλεβορισμὸν ἐλθετέον, ὅσον μετὰ τέσσαρας ἢ πέντε ἡμέρας· καὶ τούτου δὲ ἐντελῶς ὁ τρόπος ἐν ἄλλοις εἴρηται. P. 99.

(1) Ἀντὶ τοῦ ἀστάτως καὶ συγκεχυμένως καὶ ἀνεδράστως· εἴρεται δὲ κατὰ στέρησιν τοῦ αἰδοῦς, ὅ ἐστι τῆς ἰδεύσεως.

(2) Ὥστε τοὺς ἐμέτους ἀπέρας (ἀπεράσεις) ἐκάλεσε.

4. Μετὰ τὸ βοήθημα δὲ ἐκ προσαγωγῆς, ἡ ἀνάληψις
ἐγκρινέσθω· καὶ ῥωσθέντος αὐτάρκως τοῦ σώματος, ἐπιμέ-
λεια τὶς γινέσθω τῶν μέσων· διά τε τοῦ ἀπὸ τῆς ὠμηλύ-
σεως καταπλάσματος, καὶ κούφων σικυῶν στόματι κοιλίας
καὶ σπλάγχνων ἑκατέρωθεν προσβαλλομένων, μετὰ φλογὸς
μείζονος· καὶ βιαιότερον ἀποσπωμένων, ἕνεκα τοῦ κινῆσαι τὰς διοι-
κητικὰς τῆς τροφῆς ἐνεργείας, καὶ περιολκῆς δὲ τῆς ἀπὸ τῶν
ἄκρων χάριν· ὅθεν καὶ κατὰ μεταφρένου τὰ αὐτὰ ποιητέον· μετὰ
δὲ τρεῖς ἡμέρας εἰς τὴν αὐτὴν χρείαν καὶ δρώπακα κολλητέον
τοῖς μέσοις· μετὰ δὲ μίαν ἡμέραν καὶ τοῖς ἄκροις· ἀλλὰ τού-
τοις μὲν χωρὶς ἀποσπασμοῦ βιαίου πρὸς τὸ μαλάξαι μόνον
καὶ διαχέαι τὰς ὀχθώδεις ἐπαναστάσεις· τοῖς δὲ μέσοις με-
τὰ ἀποσπασμοῦ πλέονος· τῆς δὲ πρώτης περιόδου τῶν βοηθη-
μάτων μέχρι τούτου συντελεσθείσης, ἀνακαμπτέον πάντα ἐπὶ
τὰς κενώσεις· καὶ τὴν μὲν φλεβοτομίαν παραιτητέον· ἀπὸ δὲ
τῆς διὰ κολοκυνθίδος ἱερᾶς τὴν ἀρχὴν τῆς καθάρσεως ποιη-
τέον· ἡ μὲν οὖν στοιχειώδης θεραπεία τῆς διαθέσεως τοιαύ-
τη τίς ἐστιν· καὶ δὶς καὶ τρὶς αὐτὴν καθ' ἕκαστον ἔτος ἐπα-
ναλαμβάνων τὶς, τέλεον ἀπαλλάξει τοῦ πάθους, ἐκ παραλλήλου
ταῖς κενώσεσι τὰς ἀναθρέψεις ποιούμενος· ἵνα δι' ὧν μὲν ἀ-
ποτήκηται πᾶν τὸ ἠλλοτριωμένον· δι' ὧν δ' ἡ σύγκρισις νεο-
P. 100. πλαστεῖ | σαρκὶ κατασκευάζηται κενωτέρα.

5. Φάρμακα δὲ πρὸς τὸ πάθος εἴτις ἀποκνοίη χρῆσθαι τοῖς
προειρημένοις κύκλοις, ἔστιν οὐκ ὀλίγα καὶ σφόδρα γε πρακτικά·
τούτων δέ τινα μὴ δύσποτα καθέστηκε· τινὰ δὲ ληφθέντα πεφ-
θῆναι ῥάδια· πάντα δὲ ἐνδελεχισμῷ περιγίγνεται τῆς θεραπείας·
ὄξους τοίνυν αἰγυπτίου, ἢ ἄλλου ὡς δριμυτάτου, κύαθος εἷς· καὶ
κράμβης τῶν φύλλων κεκομμένων καὶ ἀποτεθλιβομένων τοῦ χυλοῦ κύα-
θοι δύο· συγκιρνάμενα εἰς ἓν ἕωθεν δίδοται τῷ πάσχοντι
πιεῖν· εἶτα ἑσπέραν ἄρτος μάλιστα μὲν κρίθινος· εἰ δὲ μὴ,
πύρινος συγκομιστός· συνεισφέρεται δ' ἐπ' αὐτῷ τὶ τῶν κουφό-

©BIU Santé

©BIU Santé



τέρων πτηνῶν· καὶ παρ' ἡμέρας δύο ἢ τρεῖς τὰς πλείστας τὸ
αὐτὸ γίνεται μέχρι πολλοῦ, καὶ θεραπεύονται· τοῦ δὲ κράμ-
βης αὐτῆς τοῦ ἀφεψήματος κύαθοι τρεῖς, καθ' ἑκάστην ἡ-
μέραν πινόμενοι, καλῶς ὠφελοῦσι· καὶ ταῖς τεμέσαις μετα τὸ
προειρημένον ἐπάνω φάρμακον τῇ πόσει ταύτῃ συνεχῶς χρησ-
τέον· ἀντίδοτος τὲ ἡ διὰ τῶν ἐχιδνῶν συνεχῶς καὶ ἐπὶ μήκιστον
λαμβανομένη, πολλῶν ἐξέκοψε τὴν διάθεσιν· αὗται τὲ αἱ
ἐχίδναι ἐσθιόμεναι· οὐ γὰρ ἄβρωτοι τυγχάνουσι σκευασθεῖσαι
τινὰ τρόπον· ὥστε καὶ ἄλλως λοπαδεύοντες ἐσθίουσιν ἔνιοι τῶν
ἐπ' ἐρημίας βιούντων· καὶ θηριακῶν δὲ καλουμένων ἀρτίσκων
δραχμὴ λειοτριβηθεῖσα ξεννύσθω δὶς ἢ τρὶς ἐν οἴνῳ καλῷ
ἀκράτῳ, κυάθῳ ἑνὶ, καὶ οὕτως προσφερέσθω.

6. Ἱστοροῦσι δέ τινες καὶ ῥίνημα ἐλέφαντος ἁρμόζειν πρὸς
τὴν διάθεσιν· διδόασι δὲ δραχμὴν α̅ ἐν μελικράτῳ κυάθους
τρεῖς· τὸ δὲ τοῦ ἐλάφου κέρας καιόμενον καὶ διδόμενον ὡσαύτως
ἐπὶ πλεῖστον ἔγνωμεν ἁρμόζον· καὶ τῆς σιδηρίτιδος βοτάνης τῶν
φύλλων ξηρὸν τὸν ἴσον σταθμὸν ὡσαύτως διδόμενον· καὶ τῆς
τριφύλλου πόας καὶ μάλιστα τῆς ἀσφαλτίτιδος δραχμὴν α̅· οὐχ
ὡσαύτως δὲ πινόμενον, ἀλλὰ δεῖ ποιῆσαι κυάθους εἴκοσι· τὸν
μὲν ἕνα μέλιτος· τὸν δὲ ὄξους σκιλλίνου· καὶ μίξαντα τὴν
βο||τάνην προσφέρειν· καὶ κατ' ἰδίαν δὲ τὸ σκίλλινον διδό- P. 101.
μενον αὐτοῖς καθ' ἡμέραν μετὰ τοὺς ἑωθινοὺς περιπάτους,
ἄκρως ποιεῖ· τὸ πλῆθος δ' ἔστω κα̅· ἔνιοι δὲ τοὺς ὑπὸ ταῖς
ὑδρείαις λεγομένους πέντε ἢ ἓξ λεάναντες ἐν μελικράτῳ κυά-
θοις τρισὶ διδόασιν αὐτοῖς· ἁρμόσαι δ' ἂν τὸ τοιοῦτον πρὸς
τὰς δυσπνοίας, μᾶλλον τὰς συμβαινούσας τοῖς ἤδη κεκρατη-
μένοις ὑπὸ τοῦ πλήθους· καὶ γὰρ ἐνίοις τῶν ἀσθματικῶν ἄκρως
βοηθεῖ· τοῦτο δὲ τῆς σκίλλης σπέρματος ὀβολὸν ἐπιδοτέον τοῖς
ἐλεφαντιῶσιν ἐν μέλιτι ἡμιέφθῳ κυάθῳ ἑνί· ἐσκευάσ..ω δὲ
τρόπῳ ἐλείγματος· ὡσαύτως δὲ καὶ αἰθιοπικοῦ δραχμαὶ γ̅

©BIU Santé



μέλιτι συγκαταπλεκόμεναι· διδόσθω α, καὶ ὀποῦ κυρηναϊκοῦ μέγεθος ὀροβιαῖον βουτύρῳ καὶ μέλιτι διειμένον.

7. Φαρμάκου δὲ καιρός ἐστιν, εἰ πρὸς τὴν διάθεσιν δοκιμάζοιτο τί τῶν εἰρημένων, ὁ μετὰ τοὺς ἑωθινοὺς περιπάτους· ἀπὸ δὲ τῆς ἀναφωνήσεως διαστήσαντες, ἐπὶ τὰ γυμνάσια καὶ τὴν τρίψιν ἀπίτωσαν· ἡγείσθω δὲ τούτων ὁ ἐν ἀναβολῇ καλπασμὸς ἢ καὶ δρόμος· ἔπειτα ἀναρπασθείσης τῆς νοτίδος ἥτις ἀπηνθηκυῖα διὰ τὸν σάλον εἰ ὑπάρχοι, λίπει χριέσθωσαν ἀρκείῳ ἢ ἀλωπεκείῳ· τρίτην δ' ἔχει χώραν λεόντειον τὲ καὶ ταύρειον· εἰ δὲ μηδὲν τούτων παρείη, τῶν πτηνῶν τινὸς, ἢ βουτύρῳ προσφάτῳ· καί τοι γε Θεμίσων πᾶν ἄλειμμα πολεμιώτατον τοῖς ἐλεφαντιῶσιν εἶναι φησὶ, λόγῳ καὶ οὐχὶ τῇ πείρᾳ προσεσχηκώς· μαλάσσεται μὲν γὰρ ὑπὸ τῶν ἀλειμμάτων ἡ σύγκρισις· αὐχμηρὰ δὲ μένουσα καὶ περίξηρος, ῥήγνυται ῥᾳδίως· ὥστε τοὺς κατὰ τῆς ἐπιφανείας ὄχθους δυσαλθῶς ἑλκοῦσθαι παρὰ τὴν αἰτίαν ταύτην συμβαίνει·

8. Τά τε οὖν γυμνάσια καὶ ἡ τρίψις ἔν τινι λείπει τῶν προειρημένων ἐπιτελείσθω· καὶ τὸ πλέον μὲν ἄφαλσις ἔστω, καὶ τῶν σκελῶν ἀνάστασις, καὶ βολαὶ χειρῶν πρὸς κορυκὸν (1), ἢ καὶ διακρατουμένων ἀρτηρίων· ἤδη δὲ καὶ πάλη τίς παιδιώ-
P. 102. δης πρὸς ἀσθενέστερόν τε καὶ ἔμπειρον· μετὰ δὲ τὰ | γυμνάσια, τέλεως αὐτοῖς ἀφέψημα περιχείσθω, ἢ χυλὸς πτισάνης ἀμμωνιακοῦ βραχὺ συντετηκότος ἔχων· ὄξει δὲ τὸ ἀμμωνιακὸν λελυμένον τῷ χυλῷ παραπλεκέσθω· καὶ τοῦτον τὸν τρόπον ἀπολυέσθωσαν εἰς τὸ βαλανεῖον· ἐπιβλαβεῖς γὰρ αἱ ἀλουσίαι· καὶ βέλτιον μὲν ξηραῖς χρῆσθαι πυρίαις αὐτοφυέσιν, εἰ παρείησαν· εἰ δὲ μὴ, ἐπιτεχνηταῖς, ὕστερον δὲ καὶ ὕδασι θει-

(1) Κορυκός ἐστι θύλακος μέγιστος πεπληρωμένος ἢ ἀχύρων ἢ ἄμμου, ὃν ἐξαρτῶντες ὤσθουν οἱ γυμναζόμενοι ταῖς χερσὶν ἐγκρούοντες· σαφῶς δὲ περὶ τούτου κατὰ τὸ ος βιβλίον κεφ. λβ φησὶν ὁ Ἀντυλλος.

©BIU Santé



ὤδεσιν ἢ στυπτηριώδεσι ψυχροῖς, οἷα ἐστὶ τὰ τῆς Ἰταλίας
ἄλβουλα, καὶ τὰ νεπίσινα, καὶ τὰ ἐν Μακεδονίᾳ, καὶ τὰ ἐν Κρή-
τῃ, καὶ ἐπὶ Θράκης τὰ ἐν Ἀγχιάλῳ καὶ ἄλλοις τόποις· εἰκὸς
γὰρ εἶναι πολλὰ τοιουτότροπα· τὰ δὲ ἄλβουλα καὶ πινόμενα
θαυμαστῶς ὠφελεῖ τοὺς ἐλεφαντιῶντας· εἰ δὲ μὴ παρείη ψυ-
χρὰ, θερμοῖς αὐτοφυέσι χρηστέον· ἢ μετὰ τὰ κοινὰ βαλα-
νεῖα θαλάσσῃ ἐννηχέσθωσαν ἢ καταχείσθωσαν.

9. Λυσιτελέστατον δὲ καὶ τῷ ἀφεψήματι περιανιλεῖσθαι
περδικίου ἢ ἀρνογλώσσου ἢ σεύτλου· περιμαξάμενοι γοῦν ἀφ'
οὑτινοσοῦν τῶν προειρημένων λουτρῶν, ἐπαλειφέσθωσαν σχινίνῳ
ἢ οἰνανθίνῳ· σπουδαιότατον δὲ ἄλειμμα καὶ τὸ διὰ βουτύρου καὶ
τὸ διὰ μυρσίνου καὶ οἴνου ἴσον καὶ ὠοῦ εἰς γλοιοῦ πάχος πε-
πονημένον· τῷ δ' οἴνῳ βραχὺ παραπεπλέχθω ἀμμωνιακοῦ
ἢ στυπτηρίας στρογγύλης· καταψυχθέντες δὲ πράως ἀπὸ τῶν
συγχρισμάτων ῥάκεσι τρυφεροῖς, ὥστε μὴ τραχυνθῆναι τὴν
ἐπιφάνειαν ἀπὸ τῶν ὠμολίνων, ἡσυχίᾳ μακροτέρᾳ παραδι-
δόσθωσαν· ἔπειτα προπινέτωσαν ὕδωρ εἰς τὸ ἀποκλύσαι τὸν
στόμαχον· καὶ εἰ τοῦτο ἐπιπολάζοι, καθέσει δακτύλων ἀπορ-
ρίψαντες τὸ ποθὲν· συναποπτύεται δ' αὐτῷ πολλάκις χό-
λιον καὶ πάντως γοῦν φλέγμα ἀφρῶδες ὑπόδριμυ πικρόν·
λαμβανέτωσαν δὲ ἀψινθίου κεκραμμένον ἢ ὀριγανίου συμμέ-
τρου κύλικος μὴ πλέον, καὶ σύμμετρον ἐπιδιαστήσαντες προσ-
φερέσθωσαν τὴν τροφήν· οἴνου τὲ λοιπὸν ἀπεχόμενοι γλυκέος
καὶ οἰνομέλιτος καὶ παντὸς τοῦ ἐγκαθίζειν καὶ δυσχερῶς ἐξοι||κο- P. 105.
νομεῖσθαι πεφυκότος· διὸ καὶ ψυχροποσίας ἀποσχετέον αὐτούς·
ἀντιπίπτει γὰρ ταῖς πέψεσιν.

10. Αἱ τροφαὶ δὲ ἐν μὲν τοῖς τῶν καθάρσεων καιροῖς
εὐέκκριτοι παραλαμβανέσθωσαν· ὅπως μὴ ἐξ ἀποκοπῆς ἐπι-
σχεσιν αἱ ὗλαι λαμβάνωσιν· ἀλλ' ἐκκριθῇ πᾶν τὸ ἐφθακὸς
μεταβεβληκέναι ὑπὸ τῆς φαρμακείας· ἄρτος μὲν οὖν κρίθι-
νος ἢ συγκομιστὸς, ἢ μάζα ἐξ ἀλφίτων εὖ κατοπτημένων,



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 83 sur 544

©BIU Santé



ἐπιτήδειος· λαχάνων δὲ σεῦτλον, καὶ ῥάφανος ἑφθὴ, καὶ κεφαλωτὸν πράσον δυσὶν ὕδασιν ἀπογλυκανθὲν, καὶ κράμβη κάτεφθος· θριδακίνη τε ἐξ ἅλμης, καὶ κάππαρις ἡ ἐξηνθηκυῖα (1) σελίνῳ καὶ μαράθρῳ καὶ ὄξει τμητικωτέρῳ ἡδυσμένη· τῶν δ' ἐκ θαλάσσης ὄστρεα, καὶ κτένες, ἐχῖνοί τε καὶ πηλωρίδες καὶ τέλλινοι σεύτλοις συνηψημέναι· καὶ γὰρ ἰδιαίτερον ὁ ζωμὸς αὐτῶν χρησίμως τὰς ἐκκρίσεις κινεῖ· νῦν δὲ καὶ τάριχος ἐπιτήδειος παλαιότερος.

11. Ἐν δὲ τοῖς τῶν ἐπικράσεων καιροῖς, καὶ τῶν μετὰ τὰς καθάρσεις ἀναλήμψεων, πᾶν μὲν τὸ μετέχον δριμύτητος περιαιρετέον δίχα, τῶν εἰς τὰς ἀρτύσεις καὶ τὰς συμμέτρους εὐσταθμίας ἐπιτηδείων· τὸ δὲ πως ἐπιγλυκαῖνον παραληπτέον, καθάπερ ὠὰ καὶ χόνδρους πλυτοὺς καὶ γάλα καὶ μέλι σὺν ἄρτῳ, καὶ μαλάχην καὶ λάπαθον, καὶ σίσαρον· καὶ τῶν ἐν θαλάσσῃ, φυκίδας, κίγκλας, βούγλωσσα, νάρκας· καὶ τὰ πλεῖστα τῶν πτηνῶν, ὅσα μὴ τὰς διατριβὰς ἐν ὕδασι ποιεῖται· κρεῶν δὲ ἐρίφεια καὶ λάγεια καὶ δορκάδεια· ὀπώρας δὲ, σῦκον εὐγενὲς, καὶ σταφυλὴν συμπεπτωκυῖαν πως, καὶ σταφίδα τὴν λιπαρωτέραν· μελιτωμάτων δὲ, κόπτην διὰ στροβίλων, καὶ ἀμυγδάλων φρικτῶν, καὶ ἀλεύρου κικίνου πεποιημένην· τῷ τε ἄρτῳ κατ' αὐτὴν τὴν δίαιταν χρηστέον ἐκ τῶν βελτίστων πυρῶν, καθαρῶν μὲν ἄκρως, ἐγχύλως δ' ὠπτημένων· καὶ τοιαῦτα μὲν τὰ ἐν τῇ προφορᾷ· τὰ πλεῖστα δὲ τῶν λοιπῶν ἀποδοκιμαστέον, χωρὶς τῶν ἐμφέρειαν τινὰ
P. 104. ἐχόντων πρὸς τὰ | κατηριθμημένα. Τὸ δὲ δὶς σιτεῖσθαι, μονοσιτίας αἱρετώτερον· ἔστω δὲ τὸ μὲν ἄριστον καὶ τῷ πλήθει εὐσταλὲς, καὶ ταῖς ποιότησιν ἀποίκιλον· ἢ γὰρ ξηρὸς ἄρτος ὀλίγος, ἢ ἕν τι μετ' αὐτοῦ προσέψημα· τὸ δεῖπνον δὲ καὶ ἐκτενέστερον καὶ ποικιλώτερον· οἶνος δὲ κατὰ μὲν τὴν κοινὴν

(1) Sic in textu. At in marg. ἐξηθενηκυία.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 84 sur 544

θεραπείαν ἄθετος· ἐν δὲ ταῖς ἀναλήψεσιν, ὀλίγος λεπτὸς εὐώδης λευκὸς, μετὰ τὰ σιτία παραλαμβανέσθω· ὕπνος ὁ μεθ' ἡμέραν ἀνεπιτήδειος, καὶ μάλιστα ὁ ἐν φωτί· νυκτερινὸς δὲ ἀπερίσπαστος ἐπιτηδευέσθω· καὶ μετὰ πολὺ τοῦ δείπνου διάστημα· τοιοῦτος μὲν οὖν ὁ τύπος τῆς διαίτης ἔν τε ποιουμένοις καὶ προσφερομένοις.

12. Λοιπὸν δὲ ἐπὶ τὰ ἔξωθεν προσπίπτοντα μεταβάντες, ὅσα συγχρίματα κατάλληλα τῷ πάθει λέγομεν· ἐν αὐτῷ οὖν τῷ βαλανείῳ σμηχέσθωσαν ἀφεψήματι τήλεως καὶ σευτλίων ἀφροῦ νίτρου πεπλεγμένου· ἢ τῷ γερμανικῷ σμήγματι, καλεῖται δὲ σάπων (1)· ἢ τῷ μυροβαλάνῳ· πρὸ δὲ τοῦ λουτροῦ ψίλωθρον καταχριέσθωσαν, ἤτοι κατ' ἰδίαν ἢ μετὰ χυλοῦ πτισάνης· φυλάσσεσθαι δὲ δεῖ τὴν εἰς τὰ ὄμματα κατάῤῥυσιν· ἐπεὶ καὶ τὸ πρόσωπον ἀνάγκη καταχρίειν, πλεῖον ὑπὸ πάθους ἤπερ τὰ λοιπὰ μέρη τοῦ σώματος ἐπηρεαζόμενον· καὶ ἐπιμένειν μὲν τῷ χρίσματι πλείονα προσήκει χρόνον, μὴ μέντοι μέχρις ἑλκώσεως· τὰ φθάσαντα δὲ ἀποδέρεσθαι λιθαργύρῳ μετὰ ῥοδίνου γλοιώδη θεραπεύειν· ἱκανῶς δὲ αὐτῶν ἀποκαθαίρει τοὺς χρῶτας καὶ ἀνδράχνη μετὰ ὄξους λειωθεῖσα, καὶ τὸ λεπτὸν ἀείζωον, καὶ λαπάθου ῥίζα ἑψηθεῖσα ἐν ὄξει· χρηστέον στυπτηρίᾳ μεθ' ἁλῶν, καὶ σανδαράκῃ ἴσον σὺν οἴνῳ καὶ σχινίνῳ λελειωτριβημένων σπουδαίως ἀποσμήχει· καὶ τὸ πρὸς ἀλφοὺς φάρμακον· ἔστι δὲ ἀλκυόνιον καὶ νίτρον, καὶ θεῖον ἄπυρον, καὶ μυῤῥινὴ, καὶ συκῆς φύλλα ἀγρίας· πάντα δ' ὁμοῦ δι' ὄξους γλοιοῦ πάχος ποιούμενα καταχρίεται· θαυμαστὸν δὲ || P. 105. φάρμακον καὶ τοῦτο ἐστί· λαπάθου τῶν ῥιζῶν, καὶ ὀξυλαπάθου δεσμίδιον χειρόπληθες νίτρου δραχμαὶ μ'· θείου ἀπείρου δραχμαὶ κε'· λιβάνου δραχμαὶ ιε'· κόστου δραχμαὶ ιβ'· τὰ ξηρὰ λεαίνεται μετ' ὄξους αἰγυπτίου καὶ καταχρίεται.

---

(1) Ὅτι ὁ σάπων καὶ γερμανικὸν σμῆγμα καλεῖται.

©BIU Santé



13. Πρακτικὸν δ' ἐπίχρισμα ϗ τὸ τοιοῦτον· ἀρσενικοῦ ιδ· θείου ἀπύρου η· καστορίου ιβ· δαφνίδων ξηρῶν ιβ· ἀσβέστου δ· κέδρου δραχμὴ α· ταῦτα πάντα φυρᾶται λεύκης τῶν φύλλων χυλίσματι, ἢ τῷ ἀφεψήματι παχεῖ ϗ σύστασιν ἔχοντι μέλιτος παραλαμβάνεται· καταχρίεται ϗ ἡ τεκτονικὴ κόλλα διαλυθεῖσα ἐν ὄξει, ϗ μετὰ τὸ παγῆναι ἀφαιρεῖται· ϗ δὶς ϗ τρὶς ϗ πλειστάκις τὸ αὐτὸ δεῖ ποιεῖν· σκευάζεται δὲ ϗ ὑφ' ἡμῶν φάρμακον ἄκρως ἐπὶ πάντων ἡρμοκὸς τοιοῦτο· ῥιζῶν λαπάθου δέσμα δύο καθέψονται ἐν ὄξει· ἔπειτα ὀλμοκοποῦνται· μετα τοῦτο δὲ ἐν θυίᾳ λειοτριβοῦνται παραχεομένου ὄξους, ἢ ἐν ᾧ ἐψήθησαν εἴ τι περισσὸν εἴη ἢ ἑτέρου· ϗ προσεμβάλλονται ἀλκυονίου * ϛα, θείου ἀπείρου οὐγγίας ϛ, χαμαιλέοντος ῥίζης οὐγγίας δ, ϗ κοχλίων ὀστράκων κεκαυμένων οὐγγίας δ, ἀφρονίτρων οὐγγίας η· συνεκλεαίνεται τε πάντα ὁμοῦ μέχρι γλοιοῦ σχῇ πάχος· εἶτα καταχρίεται, θέρους μὲν ἐν ἡλίῳ πλεονάκις ψυχόμενον., καὶ μετὰ δύο ὥρας ἀπομασσόμενον· χειμῶνος δὲ ἐν βαλανείῳ μέχρι ἀφιδρώσει· ϗ αὗται δὲ αἱ ὀχθώδεις ἐπαναστάσεις, φλεγμαίνουσαι μὲν ἢ ϗ προσεξηλκωμέναι, γλαυκίῳ καταχριέσθωσαν ἢ λυκίῳ ἢ ἀλόῃ· καταπλασσέσθωσαν δὲ, εἰ ϗ τούτου δέοι, χόνδρῳ μετὰ χυλίσματος ἀρνογλώσσου ἢ πολυγόνου ἢ κράμβης· ἄλλως δὲ μετὰ ἀμμωνιακοῦ οἴνῳ διειμένου ἢ πρασίου χυλῷ.

* Ita est in cod.

14. Θαυμαστῶς δ' ὠφελεῖ τὰς ἐπαναστάσεις τὰς κατὰ τοῦ προσώπου κατάπλασμα τὸ διὰ τῆς μιλησίας * βοτάνης· κόπτεται δὲ μετὰ ἀξουγγίου παλαιοῦ χλωρᾶς τῆς πόας τὰ φύλλα ϗ ἐπιῤῥίπτεται· ϗ φοινίσσεται μὲν ἱκανῶς καταληφθέντα τὰ μέρη· | P. 106. στέλλεται δὲ ῥᾳδίως ἄρτου ἐπιπλασθέντος, ἢ κηρωτῆς δι' ἀμυγδαλίνου πεποιημένης, ϗ ἐπὶ τὴν κατὰ φύσιν εὔχροιαν ἀποκαθίσταται· συγχρίσματά τε ἐπὶ τοῦ πάθους τά τε ἤδη παραδεδομένα τῶν θηρίων στεάτων εὐδόκιμα ϗ τὸ ἀμυγδά-

* Γρ. κόστου.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 86 sur 544

λινον αὐτό· πρακτικωτάτη ἐστὶν ἡ κεδρία καὶ φωκῆς λίπος εἰς ἓν συντακέντα· πρὸς μέντοι τὰς ἑλκώσεις καὶ ἐμπλάστροις χρηστέον τῇ διὰ τῆς διφρυγοῦς καὶ τῇ διὰ τοῦ οἴνου μηλίνῃ, καὶ πρὸς τὰς τυλώδεις καὶ ὀχθώδεις τῇ διὰ τῶν ἁλῶν καὶ ψιμμιθίου καὶ ἐλαίου παλαιοῦ· λαμβάνει δὲ τῶν μὲν ξηρῶν ἀνὰ δραχμὴν α, τοῦ δὲ ἐλαίου δραχμὰς β· καὶ μετὰ τὸ παντα ὁμοῦ συνλεανθῆναι ἕψεται· διαφορεῖ δὲ καὶ αὐτὴ τὰς σκληρίας, καὶ ἀποτήκει τοὺς τύλους· τοσαῦτα μὲν καὶ τὰ κατὰ τῆς ἐπιφανείας φάρμακα τοῖς ἐλεφαντιῶσι· συνουσίας (1) δ' αὐτοῖς παντελῶς ἀφεκτέον ὡς πολεμιωτάτης πρὸς τὴν διάθεσιν· τεκμήριον δὲ ὅτι γυναῖκες μὲν ἥκιστα ἐλεφαντιῶσιν, εὐνοῦχοι δὲ σπανιώτατα, καὶ θεραπεύονται ῥᾳδίως.

## XXV. Ἐκ τῶν Ῥούφου περὶ ἀποσκεμμάτων.

1. Ὅσα τῷ ἀνθρώπῳ νοσήματα γίγνεται, τὰ μὲν ἰωμένοις καθίσταται, τὰ δὲ ἀποσκήψεσι καὶ διαδοχαῖς πόνων ἑτέρων· ὡς μὲν οὖν τοῖς ἰάμασι θεραπεύειν χρὴ, ἑτέρωθι εἴρηται· καὶ διαιτημάτων τρόποι παντοδαποὶ καὶ φάρμακα οἰκεῖα ἑκάστῃ νόσῳ· νῦν δὲ ἐρῶ ὅσοι δὴ πόνοι χρηστοὶ ἐπιγίγνονται λύοντες τὰς ἀρχαίας νόσους, οὐδὲν μὲν τοῦ ἰατροῦ μηχανωμένου εἰς τόδε· ἢν δέ πη ὁρμήσῃ καλῶς, ἵνα μὴ ἐμποδὼν ἵστηται· καὶ γὰρ δή τινὲς καὶ ἰσχίου ὀδύνην καὶ ἄλλου ἄρθρου καὶ οἴδημα παρούσαις ἀνιστάμενον καὶ δυσεντερίαν δὲ καὶ ἴκτερον καὶ ἄλλα πολλὰ περὶ ὧν γεγράψεται ἀγνοήσαντες, (2) ὡς δὴ κακοῦ γιγνομένου δέχεσθαι μὲν ἢ προτρέπειν οὐχ ὑπέμειναν· κωλύειν δὲ πειρώμενοι πρὶν ὅλον τὸ σῶμα ταύτῃ στηρί-

(1) Τοιγαροῦν καὶ ὁ Ἀρχιγένης καὶ εὐνουχίζει τοὺς ἤδη ἀρξαμένους τῷ πάθει τούτῳ κατέχεσθαι.

(2) Ita in textu. At in marg. δήσαντες.

P. 107. ξαι, μείζω δεινὰ ἐξειργά||σαντο. Ἐγὼ δὲ ὅσα τε χρὴ κωλύειν ἢν πονηρῶς προσίῃ, καὶ ὅσα ἐρεθισμῷ προτρέπειν πλέον ἢ ἀποπαύειν, ἐν τῷ παρόντι λόγῳ δηλώσας, μέγα τι τοῦτο ἐλπίζων εἰς ἅπασαν τὴν τέχνην συγγεγραφέναι· καί τοι φήσει τίς οὐκ ἐμὰ εἶναι τὰ εὑρημένα· πάλαι γὰρ Ἱπποκράτην πολλὰ δὴ ἐστὶ πολλοῖς τοιάδε εἰρηκέναι· κἀγὼ σύμφημι· τί δ᾽ οὐ παρ᾽ ἐκείνου τῇ γραφῇ ἐστιν; ἀλλὰ τὸ ἐν λόγῳ ἐπιγράφειν πάντα, καὶ ὅτι τί ὕστερον ἐγνώσθη, καὶ διακεκριμένον ἕκαστον, ταῦτα οὐδὲ τήνδε ἀχάριστον ποιεῖ τὴν συγγραφήν.

2. Αὐτίκα ἢν καταῤῥου ἔχοντος ἐπιγένηται πυρετὸς, τὸ μὲν ξηραίνεται τοῦ ῥεύματος, τὸ δὲ πέσσεται· λύσις δὲ αὐτὴ τῷ καταῤῥῳ· καὶ ἢν ἀπὸ ψυχροῦ μέλλει νοσεῖν ὁ ἄνθρωπος, καὶ κόπος τε αὐτὸν ἤδη ἔχῃ, καὶ βάρος, καὶ ἄλγη, ἁπτόμενος καὶ κινεῖσθαι μὴ θέλει, καὶ τάδε πυρετὸς ἐπιγενόμενος λύει· καὶ πλησμονὴν δὲ ἐκένωσε πυρετὸς, τὸ μὲν τοῖς ἐμέτοις, τὸ δέ τε καὶ ἐπιγαστέρα τρέψας τῆς πλησμονῆς, τὸ δέ τι καὶ ἱδρῶσι πάντοθεν ὡρμημένος· οὕτω μὲν οὖν κατὰ ἔκκρισιν ἐκένωσε πυρετὸς ἀναλώσας, ὥσπερ καὶ ἄλλο πῦρ οἷς ἂν ἐντύχῃ· διό μοι δοκεῖ καὶ ἀποπληκτικοῖς οὐ πονηρὸς ἐπιγίνεσθαι πυρετός· καὶ γὰρ καὶ αὐτὴ ἡ νόσος πλησμονή ἐστι· δέονται δὲ οἱ ἀποπληκτικοὶ καὶ θερμασμάτων· οὐκ ἂν οὖν μοι δοκῇς εὑρεῖν ἄλλο φάρμακον δι᾽ ὅλων θερμαῖνον μᾶλλον πυρετοῦ· διὸ καὶ τῷ σπωμένῳ ἀγαθὸν τοῦτο ἴαμα, καὶ τῷ ὑπὸ τετάνου παγέντι· καὶ γυναικὶ λεγχοῖς σπασθείσῃ· καὶ εἴ γε τίς οὕτως ἀγαθὸς ἰατρὸς ἦν, ὥστε δύνασθαι ποιῆσαι πυρετὸν, οὐδὲ ἄλλό τι ἴαμα χρὴ ζητεῖν τῇ νόσῳ· λέγουσι δὲ οὖρον τράγου πινόμενον εἶναι πυρετωδέστατον· καὶ ἤκουον Λιβύων τινὰς χρωμένους ἐπικαλεῖσθαι τούτῳ πυρετόν· οἶδα δὲ καὶ Εὐήνορα ἕλληνα ἰατρὸν τῷ φαρμάκῳ χρώμενον, εἴτε πῶς αὐτὸν ἐξευρόντα, εἴτε δὴ καὶ παρὰ Λιβύων μαθόντα· σπασμὸς δὲ ἄρα καὶ ἐπιληψία, ταύτης

©BIU Santé

οὖν τεταρταῖος πυρετὸς ἴαμα ἐστίν· ὥστε ἤν τε ὕστερον ἐπι-
γένηται, λύεται ἡ ἐπιληψία· ἤν τε πρόσθεν, | οὐκ ἂν ἔτι τού- P. 108.
τῳ τῷ ἀνθρώπῳ γένοιτο.

3. Ὅπως δὲ καὶ Τεύκρῳ τῷ κυζικηνῷ ἔσχεν, εἰπεῖν ἄ-
ξιον· ἐπεὶ γὰρ ἥλω τῇ ἐπιληψίᾳ, ἧκε μὲν εἰς Πέργαμον
παρὰ τὸν Ἀσκληπιὸν, αἰτῶν λύσιν τῆς νόσου· ὁ δὲ αὐτῷ φα-
νεὶς εἰς λόγους ἀφικνεῖται· καὶ ἐρωτᾷ εἰ ἐθέλει τῶν παρόντων
ἕτερα ἀλλάξασθαι· καὶ ὃς μάλιστα μὲν οὐκ ἐθέλειν ἔφη, ἀλ-
λά τινα εὐθεῖαν ἀπαλλαγὴν σχεῖν τοῦ κακοῦ· εἰ δὲ ἄρα μὴ
χείρω τὰ γενησόμενα εἶναι τῶν παρόντων· φήσαντος δὲ τοῦ
θεοῦ ῥᾴω τε ἔσεσθαι, καὶ παντὸς ἄλλου σαφέστερον θεραπεύ-
σειν, οὕτω δὴ ὑφίσταται τὴν νόσον, καὶ αὐτῷ ἥκει τεταρ-
ταῖος πυρετὸς· καὶ τὸ ἀπὸ τοῦδε τῆς ἐπιληψίας ἐξάντης
γίγνεται· τεταρταῖος δὲ καὶ μελαγχολίας ῥύεται· καί τοι πο-
λὺς μὲν ἐν τῇ μελαγχολίᾳ ὁ χυμὸς οὗτος ἔνεστι, πολὺς δὲ
ἐν τῷ τεταρταίῳ πυρετῷ· ἀλλ' εἰ ἐπὶ πᾶσι τὴν πρόφασιν
ἐθέλοις ζητεῖν, οὐκ ἂν ἐξευρίσκοις· ἐπεὶ καὶ τόδε ἄπορον ἦν·
ποτὲ τοῦ ἄσθματος, νόσος δὲ αὕτη τοῦ πνεύμονός ἐστι δυσμετα-
χείριστος καὶ τοῦ ψυχροτέρου τρόπου· πάλιν δὲ καὶ ὁ τεταρταῖος
καὶ τοῦ ἄσθματος ἔχει λύσιν, πυρετῶν πάντων ὀρθῶς ἂν λεχ-
θεὶς ψυχρότατος· τεταρταῖον δὲ οἶδα καὶ ἐξανθημάτων κατὰ
δέρμα πολλῶν καὶ τραχέων, ὁποῖα λέπρας καλοῦσι, γεγενη-
μένον ἴαμα· καί τοι καθάρσεις μὲν πάσας ἐκαθάρθη ὁ ἄν-
θρωπος καὶ ἔξωθεν καὶ ἔνδοθεν· διαίτῃ δὲ ἐπὶ τὸ χρηστὸν
τρεπούσῃ εἰς πολὺ ἐχρήσατο· ὅλως τε οὐδὲν τῶν νομιζομένων
ἐπὶ τούτοις παρῆκεν· ἀλλ' οὐδέν τι μᾶλλον αὐτῷ κατέστη
πρὶν τὸν τεταρταῖον ἐλθεῖν· ἀρξάμενον μὲν ἀπὸ φθινοπώ-
ρου, τείναντα δὲ μέχρι τροπῆς θερινῆς.

4. Ὅτι γε μὲν καὶ πυρετοῖς, τὰ ἄλλα οὐκ ἀσφαλέσιν,
ἐπιγενόμενος ἐξέσωσεν, πᾶς τίς οἶδε· κατὰ μὲν τὸν τεταρταῖον
ὧδε ἔχει· καὶ αὐτὸς δέ που ἤδη ἑτέροις ἐλύθη τισί· τοῦτο

©BIU Santé



μὲν, ἀποσκήμμασιν οἷς καὶ οἱ ἄλλοι πυρετοί· περὶ ὧν ἤδη αὐτίκα γράψω· τοῦτο δὲ περιόδῳ ἄλλῃ, μάλιστα μὲν οὖν
P. 109. εἰς ἀμφημερινὸν τοῦτο τρέπεται· καὶ γὰρ μάλιστα || ἐκεῖθεν γίγνεται· εἰς τριταῖον δὲ οὐ μάλα τρέπεται· ἑτεροία γὰρ ἡ φύσις τριταίου πυρετοῦ πρὸς τεταρταῖόν ἐστι· καὶ οἱ πεπλανημένοι καλούμενοι πυρετοὶ κατέπαυσαν τεταρταῖον, ὥσπερ οὖν καὶ ἐπηγάγοντο· καὶ συνεχὴς δὲ ὡσαύτως, οὐ μὴν ἀφροντίστως, ἀλλ' ὡς δεῖται περὶ τοῦ ἀνθρώπου τεταρταίου κρίσιν ἤνεγκεν, ὅσαις τε ἄλλαις περιόδοις κεχρονισμέναις ἐπιγίνεται συνεχὴς πυρετὸς κρίνειν εἴθισται· καλὸν δὲ καὶ τῷ λειπυρίᾳ καὶ τῷ ἠπιάλῳ καὶ τῷ κρυμῷ καῦσον ἐπιγενέσθαι.

## XXVI. Καύσων διάγνωσις.

1. Δύο δὲ καῦσοι εἰσίν, ὡς οὕτω φάναι, ὁ μὲν τὰ εἴσω καίει, καὶ δίψος γε ἄπαυστον ἔχει, καὶ οὖρα μέλανα καὶ ἡ γαστὴρ τὸ μὲν ἄνω ὑπερβάλλει χολὴν παντοδαπήν, τὸ δὲ κάτω ἐκδίδωσιν ὁποῖα συντήξεις ὀνομάζομεν, καὶ μυκτήρ τε ἀποστάζει, καὶ ἡ γλῶσσα τραχύνεται καὶ μελαίνεται· καὶ ἄγρυπνοι εἰσί, καὶ ἄσηροι, καὶ παράληροι· τό τε πνεῦμα συνεχές, καὶ ἀπορία πολλή· τὰ δὲ ἔξω πάντα ψυχρότεροι, καὶ ἔτι μᾶλλον χεῖρας καὶ πόδας· οὗτος μὲν οὖν ὁ καῦσος ἐπιπονώτατος πυρετῶν καὶ θανατωδέστατος· ὁ δ' ἕτερος καίει μὲν ὥσπερ φλογί, πάντῃ δὲ ἐξικνεῖται· κακὸν δὲ οὐδέν ἐστι μέγα τοῖς εἴσω, ῥᾳδίως τε σὺν ἱδρῶτι σβέννυται· καὶ δὴ τούτων φημὶ τῶν προειρημένων πυρετῶν τὸ ἴαμα εἶναι· γένοιτο δ' ἂν οὗτος καὶ τοῦ πρώτου καύσου ἴαμα, εἰ μηκέτι κρύπτοιτο ἔνδον τυφώμενος, ἀλλ' ἐκλάμψαι· τοσαῦτα ἔγνων ἀγαθὰ ἐκ πυρετῶν γινόμενα.

2. Ἐπὶ δὲ πυρετοῖς πόνοι τε ἰσχίων χρηστῶς ἐπιγίνονται, καὶ τῶν ἄλλων ἄρθρων καὶ μηροῦ καὶ σύμπαντος σκέ-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 90 sur 544

λους· εἰ δὲ διασημαίνει μὲν ὁ πόνος τῇδε, ἀφανισθείη δὲ μήτε ἐκκρίσεως τινὸς γενομένης πεπείρου, μηδὲ ἐπί τινι τῶν εἰωθότων ἰαμάτων, μήτε ἑτέρωθι μεταστάντος τοῦ πόνου· χρὴ δὲ τὴν μετάστασιν εἰς ἐπίκαιρα γίγνεσθαι· οὐδὲ γὰρ | τοῦτο ἀγαθὸν οὐδὲν, εἰ μὴ κακὸν ἔσχατον· ταῦτα εἰ μὴ δὲ ὧδε γίγνοιτο, ἀνάγκη τὸν πυρετὸν (1) ἐπανελθεῖν σὺν παραφροσύνῃ ἢ σπασμῷ ἢ κώματι ἢ τινὶ ἄλλῳ κακῶς ἀνηκέστῳ· ἀγαθὸν δὲ καὶ παρὰ τὰ ὦτα ἐπαιρόμενα οἰδήματα, εἰ μὴ ἀπέπτως καὶ σκληρῶς καὶ βιαίως ἐπαίρηται· πολλοῖς γὰρ δὴ σφόδρα ἐρεισάντων διεφθάρησαν· καὶ τὰ ἄλλα οὐκέτι ἀντέχοντες ὑπὸ ἀσθενείας τῇ νόσῳ· εἰ δὲ ἐν τῇ ἀκμῇ τῶν πυρετῶν ἥκοιεν καὶ ἐκ προσαγωγῆς, καὶ ὁ πόνος μικρὸς εἴη καὶ τὸ οἴδημα μαλακὸν, καὶ πᾶν ἔξω τρέποιτο, ὥστε μήτε συναγχικόν τι εἶναι, μήτε γλῶσσαν ἐπιξηραίνεσθαι· καὶ εἰ τῆς νόσου μὴ ἀπέπτου οὔσης· καὶ εἰ αὐτὸ τὸ οἴδημα συμπεπαίνοιτο, ἢ ἄλλως διαλύοιτο· καὶ εἰ μὴ νῦν μὲν ἐξίσχοι, νῦν δὲ ἀφανίζοιτο τὰ οὕτως γινόμενα, τοὺς πυρετοὺς παύει· παύει δὲ καὶ λιθάργους καὶ παραφροσύνας· ἧσσον μὲν λιθάργῳ ἀγαθὸν ἢ παραφροσύνῃ· τὸ δέ τε καὶ μέλλον ἐπὶ πνεύμονα ὁρμᾶν ὑπεδέξατο.

3. Σκληρὰ δὲ καὶ ἀνεκπύητα οἰδήματά ἐστιν ὅτε λύεται σὺν γαστρὸς ταραχῇ καὶ οὔροις πολλοῖς παχέσι· καὶ ἡ δὲ λύσις οὐ παροξύνει τὸν πυρετὸν, οὔτε ἀνακαλεῖται εἰς ὑποστροφήν· ἐν δὲ τοῖς λοιμώδεσι πυρετοῖς αἱ ἀποσκήψεις τὴν μεγίστην ἀσφάλειαν ἀνέχουσι· γίγνονται δὲ παντοδαπαὶ μὲν ὥσπερ τῶν τοιούτων πυρετῶν· τὸ γοῦν πλεῖστον εἰς ἄκρα κατασκήπτει σὺν πόνοις καὶ ἕλκεσι καὶ ἄρθρων ἀποστάσεσι· καί ποτε οἶδα γνάθους ἀποψιλωθείσας, καὶ ὀδόντας μελανθέντας, καὶ μεγάλα τῶν γνάθων ὀστᾶ ἐν χρόνῳ ἀποστάντα· κρίνεται δὲ καὶ ἰκτέρῳ πυρετός· ἀλλὰ δεῖ μὴ αὐτίκα καὶ ἐν ἀρχαῖς ἐπιφαίνεσθαι·

(1) In margine est γρ. πυρέττοντα.

©BIU Santé

ὡς τοῦτο δεινὸν πρὶν ἐκ τῆς ἑβδόμης ἐξανθῆσαι τὸν ἴκτερον· καὶ σημαίνεται κατὰ ἧπαρ πονηρεύεσθαι τὴν νόσον· ἐπὶ δὲ τοῖς καύσοις τὰ ῥίγη ἀγαθὰ ἢν ἰσχύῃ ὁ νοσῶν· τοῖς δὲ πάνυ ἀῤῥώστοις θανατώδη· καὶ ἄλλας δὲ συνεχείας πυρετῶν ῥίγη διέ- P. 111. στησε καὶ εἰς περιόδους ὕδρισεν· || οὐ φαῦλον δὲ οὐδὲ διάῤῥοια ἐπὶ πυρετῷ· δυσεντερία δὲ χαλεπώτερον μέν· ἀλλὰ καὶ ἤδη πυρετῶν ἔστιν ὧν δὴ κεχρονισμένων ἐρύσατο· κύστις δὲ ἐπώδυνος, κάκιστον μὲν ἐν πυρετῷ· καὶ γὰρ παραφροσύνην σημαίνει καὶ ἄλλα πολλὰ δυσχερῆ· γένοιτο δ' ἂν που καὶ τοῦτο χρηστὸν, ἢν αὕτη μὲν ἡ κύστις μαλθακὴ ᾖ· τῇ δὲ διαδόσει τῶν οὔρων πονῇ, παχέων τε ὄντων καὶ πολλῶν· καὶ γὰρ ἂν κοιλίαν ἐπιξηράναι κάθυγρον, καὶ κρίσιν βεβαίαν παράσχοι, τὰ δὲ ἐξανθήματα καὶ ὅσαι τραχύτητες, ἢν μὲν ἐν καιρῷ γίγνωνται καὶ μετρίως τῇ νόσῳ, καὶ τρεπόμενα ἔξω μηκέτι πάλιν δρομῇ εἴσω, ταῦτα λύει πυρετοὺς καὶ εἰς ἀσφάλειαν ἄγει· τὰ δὲ ἐναντία πάντα ὕποπτα· ἢν μή τις ἑτέρα ἔκκρισις ὑποδεξαμένη αὐτὰ ἀπενέγκῃ·

4. Περὶ δὲ τοῦ ἐρυσιπέλατος, οὐδὲν μὲν ἡγοῦμαι ἀγαθὸν ἐρυσιπέλας ἐν πυρετοῖς· καὶ γὰρ νέμεται πάντη, καὶ φλογώσεις ἄλλας πρὸς ταῖς ἐκ πυρετοῦ παρέχει· καὶ εἰ θελήσει τρέπεσθαι εἴσω, σαφέστατα ἀπόλωλεν ὁ ἄνθρωπος· στηρίξαν δέ που καὶ ἕλκος ποιησάμενον, τὸ μὲν ἕλκος οἷον πυρίκαυτον ὑγρὸν καὶ δύσοδμον καὶ κακῶς σηπόμενον γίγνεται· σάρκες δὲ μεγάλαι ἐκπεσοῦσαι, καὶ ὀστᾶ ψιλωθέντα καὶ ἀποστάντα, σωτηρίαν ἤνεγκεν· οἱ δὲ κεχρονισμένοι πυρετοὶ, καὶ πρὸς ἕδραν ἀφίστανται· ὥστε ἐμπύημα μὲν παρὰ τὴν ἕδραν γενέσθαι· ληθῆναι δὲ ταύτης τὸν πυρετόν· ἄλλοις δέ τισι κατὰ βουβῶνα ἐκπυεῖ, ἄλλοις δὲ ἄλλῃ· πονηρὰ δὲ πάντα ὅσα ἔνδον ἢ ὑπὸ στῆθος ἢ ὑπὸ κενεῶνας ἐκπυεῖ· τῶν μὲν γὰρ πυρετῶν τὸ ὀξὺ θραύει· τρόπον δὲ ἕτερον θανατηφόρα ἐστίν.

5. Ἐπῄνεσα δέ ποτε καὶ σπληνὸς οἴδημα, καὶ ὑποχονδρίου

©BIU Santé

ἔντασιν ἐν πυρετοῖς κακοήθεσι· καί μοι καλῶς ἀπέβη, καὶ μᾶλλον ὅσοις ἐπὶ σπλῆνα ἀνώρμησεν· εἰ δ' ἐντεῦθεν ἐπὶ κύστιν ῥύῃ, τοῦτο δὴ κάλλιστον καὶ ἀγαθὸν τελειότατον· οἱ μὲν δὲ πυρετοὶ διὰ τόσων καὶ τοιῶνδε παθημάτων καὶ τόπων | δύονται· τὰ δ' ἄλλα νοσήματα δυσεντερία μὲν χρό- P. 112.
νιος ἐπιληψίαν τὲ ἰάσατο, καὶ εἰλίγγους καὶ ἕλκη κεφαλῆς καὶ πόνους ἰσχίων· καί μοι δοκοῦσιν οἱ ἰατροὶ παρὰ τῆσδε τῆς νόσου ἐκμαθόντες, ἢ τὰ ἄλλα μηδὲν πρὸς τὴν ἰσχιάδα φάρμακα ἐνιέναι τῷ ἀνθρώπῳ· ἀφ' ὧν αἷμα τὲ καὶ ἰχὼρ παντοδαπὸς ῥυήσεται, ὥσπερ ἐν τῇ δυσεντερίᾳ οἱ δ' αὖ τινες ἔσωθεν διακαίειν τὰ ἰσχία (1)· χρῆναι γὰρ δὴ πάντων ἐπὶ ἕλκει παύσασθαι τὴν νόσον· ἰάσατο δὲ δυσεντερία καὶ μανίας τῆς τε ἄλλης καὶ μελαγχολίας· ἰάσατο δὲ καὶ γυναῖκα νοσημάτων ὑστερικῶν· καὶ τινος φύματος τοῦ παντάπασιν εὐήθους, οἷα δὴ φύεται γυναιξὶν ἔν τε τιτθοῖς καὶ ὑπὸ μασχάλαις, κρυπτὰ καρκινώδη ὀνομαζόμενα· καὶ σπονδύλων δὲ κοφώματα, ὅσα κατ' ὀσφὺν γίνεται; δυσεντερία ἔλυσε· τό γε μὲν φοβερώτατον τῶν νοσημάτων καὶ δυσμεταχείριστον, ὃ νῦν μὲν ἐλέφαντα καλεῖν εἰθίσμεθα, διὰ τὴν ὁμοιότητα τῆς τε τοῦ νοσήματος ἕξεως καὶ τῆς τοῦ θηρίου φύσεως, πάλαι δὲ ἀπὸ τῶν χυμῶν τῆς κακίας τὴν ἐπίκλησιν εἶχε, τοῦτο δυσεντερία χρονίσασα ἐξεκάθηρεν.

5. Αἱ δὲ τοῦ αἵματος ἐκκρίσεις, αἱ μὲν κατὰ αἱμορροΐδας μελαγχολίαν τὲ ἰῶνται, καὶ πᾶσαν μανίαν ἄλλην· καὶ ἐπιληψίαν δὲ ἰῶνται, καὶ εἰλίγγων κεφαλῆς, καὶ πτύσιν αἵματος· οὐδ' ἂν οὔτε πλευρῖτις γένοιτο ἐφ' αἱμορροΐδι, οὔτε περιπνευμονία, οὔτε καυσώδης πυρετὸς, οὔτέ τι ἄλλο κατοξυνόσημα· ἀτὰρ οὔτε ἕλκος πονηρὸν ἄν τι γένοιτο, οὔθ' ὅσα ἐξανθῇ ἔξω λέπραι καὶ λειχῆνες καὶ ὅσαι τοιαῦται τραχύτητες· καὶ

(1) Ita scribitur 1. manu. At secunda αἰδοῖα.

©BIU Santé

τί δὴ καθ' ἕκαστον οὕτω λέγω; ἐξὸν τὸ σύμπαν εἰπεῖν, ὅτι μεγάλη αὕτη κώλυσις τὲ εἰς τὸ γενέσεως νόσημα, καὶ λύσις τῶν ἤδη παρόντων· μάθοις δὲ ἂν ἰδὼν τὸν εἰθισμένον μὲν κενούσης καθ' αἱμοῤῥοΐδα δι' ἐπισχέσεως δ' ὄντα, ὡς οἰδεῖ μὲν ἅπας καὶ ὑδερῶδες γίνεται· βαρύνεται δὲ καὶ ὑπνοῦν ἐθέλει· P. 113. καὶ || νωθρὸς μὲν τὴν γνώμην ἐστίν· ἀλγεῖ δὲ ὅ τι ἂν τύχῃ· ὁ δ' αὖ καὶ ὑπερεμήσας ἄνω ἔπτυσεν· ὁ δ' αὖ καὶ τέλεον ἀπεπλήχθη· μικρὸν δὲ καὶ ἐπὶ ταῖς αἱμοῤῥοΐσι καθαιρομέναις μετρίως τὸ γιγνόμενον βλάβος οὐ νόσημα· ἀλλὰ τίς ὀλίγη ἀσθένεια τὲ καὶ κακόχροια· τὰ δ' ἄλλα μέγιστα ἀγαθὰ ὡς εἴρηται· εἰ δὲ ὑπερβάλλοι, κίνδυνος ὑδατωθῆναι· καὶ γυναικὶ δὲ, ἣν ἀπὸ ῥοῦ ἐνοχλουμένη ἐπιγένηται αἱμοῤῥοῒς, καταπαύσει τὸν ῥοῦν· εἰ δὲ καὶ ταύτῃ ὑπερβάλλοι, κίνδυνος ὑδατωθῆναι.

6. Δεύτερα δὲ φέροιτ' ἂν κιρσὸς ἐπὶ τῇ αἱμοῤῥοΐδι· καὶ γὰρ οὖν καὶ κιρσοὶ πολλὰ προσωφελοῦσιν· ἐπεὶ καὶ μελαγχολίαν καὶ μανίαν, καὶ ὅσα περὶ κεφαλὴν κεχρονισμένα γίνεται, καὶ βάρη ὀσφύος, καὶ κυφώματα ὅσα ὑπὸ συντάσεως τῶν νεύρων κατὰ ὀσφὺν γίγνεται, προσωφελοῦσι· καί μοι δοκεῖ ἄμφω κίνδυνον φέρειν ἰαθέντα, εἰ μή τις πόνοις τὲ τοῦ σώματος καὶ ἕτερον τρόπον τὸ πλήρωμα ὑπεκκομίζῃ· οἶδα γοῦν τινα κιρσοῦ ἰαθέντα, ὃς οὐ πολὺ ὕστερον εἰς δυσεντερίαν ἐμπεσὼν τὴν αἱματώδη διεφθάρη· καὶ ἄλλον ἐκμανέντα· οἵτινες οὐκ ἐδόκουν ἄν μοι παθεῖν τάδε, εἰ μὴ ἀπεκλείσθησαν αὐτοῖς αἱ ὁδοὶ τοῦ αἵματος αἱ ἐπὶ τοὺς κιρσούς· πλευρῖτις δὲ περιπνευμονίαν ἀνύει· κακὸν δὲ ἐκ πλευρίτιδος εἰς περιπνευμονίαν ἐλθεῖν· καὶ ὀξυρεγμία λειεντερίαν· καὶ διάῤῥοια ἐμέτους σίτων· λίθοι δὲ κατὰ νεφροὺς καὶ κύστιν ὀδύνην κώλων· χολέρα δὲ οἷον εἰ καὶ ἐλατηρίῳ καθαρθείς τίς ὤνατο, οὕτως ὀνίνησιν, ὥστε πολλοὶ ἄσμενοι ἐδέξαντο τὴν νόσον· καὶ εἴτις πρὶν καλῶς καθαρθῆναι δείσας ἐπέσχεν, ἄλλό τι πάθημα ἐξήγειρεν.

©BIU Santé



7. Αἱ δὲ φρενίτιδες τῶν ληθάργων ἰάματα εἰσί· καὶ οἱ λη-
θάργοι τοὺς ἀθρόως ἐξισταμένους καὶ ἀπαραλογίστους φρενιτι-
κοὺς, ἡμέρους· πόνον δὲ ἥπατος ὀξὺν καὶ βίαιον αἷμα ὑπελθὸν
κατὰ γαστέρα ἀπέπαυσεν· εἴ περ δὴ αἷμα χρὴ νομίζειν εἶναι
τὸ ὑπερχόμενον, ἀλλὰ μὴ χυμόν τιν' ἄλλον· εἰκὸς δὲ | αἷμα P. 114.
ἐλθεῖν ἐξ ἥπατος ἐπὶ γαστέρα· εἰκὸς δὲ καὶ μέλαν εἶναι τὸ
ὑπερχόμενον· καὶ γὰρ δὴ καὶ μάλιστα ἐγγυτάτω τὴν φύ-
σιν ταῦτα ἀλλήλοις· ἀγαθαὶ δὲ καὶ πύου ἐκκρίσεις, αἱ μὲν
διὰ ῥινῶν ἢ ὤτων γιγνόμεναι τὰ κατὰ κεφαλὴν παύουσαι· αἱ
δὲ διὰ κύστεως ἢ ἕδρας ἐμπυημάτων τε ῥυόμεναι· καὶ πόνων
κεχρονισμένων, ὅσα δ' ἐκπυεῖ ἐπὶ φλεγμοναῖς ἢ εἴσω ἢ ἔξω,
τὰς ὀδύνας τῶν φλεγμαινόντων παύει· οἰδήματα δὲ συνάγχῃ
τε χρηστῶς ἐπιγίγνεται· καὶ ποδάγραις οἷς τε ἂν ἐξαρθῇ οἴδη-
μα· καὶ οἷς ἂν ἰσχνὸς μὲν ὁ τράχηλος ἰδεῖν πνιγομένοις· ἰσ-
χνοὶ δὲ οἱ πόδες τἆλλα ὀδυνωμένοις· ἐπιγίνεται δὲ χρηστῶς
καὶ ἕλκεσιν· εἰ δὲ μὴ, κίνδυνος καὶ σπασθῆναι τινὰ καὶ πυρέξαι
πυρετῷ χιλώδει καὶ ἀγρύπνῳ καὶ παρακρουστικῷ· ἐπιφλεγμῆναι
δὲ καὶ ἄρθροις ἐμβεβλημένοις συμφέρει· κωλύουσαι γὰρ αἱ φλεγ-
μοναὶ τὸ ἄρθρον τὸ ἔπειτα ὀλισθαίνειν· χρὴ δὲ μήτε ἄγαν
ἰσχυρὰς εἶναι τὰς φλεγμονὰς, μήτε τὸ ἄρθρον νεύροις καὶ μυ-
σὶ σύντονον· τὰς δὲ βῆχας τὰς ξηρὰς καὶ χρονίους λύει ὀδύ-
νη στηρίξασα εἰς ὄρχιν ἢ ἰσχίον ἢ σκέλος.

8. Ἀρθρίτις δὲ καὶ ποδάγρα πολλῶν κακῶν ὑποδοχαί
εἰσι· τὰ γὰρ ῥεύματα ἐθιζόμενα ταύτης εἶναι, τοῖς μὲν
ἄρθροις ἐπίπονα ἐστί· κωλύει δὲ ἕτερα νοσήματα γίγνεσθαι·
ὅσοις γοῦν ἀπετράπετο ἄλλῃ τὸ ῥεῦμα, κατὰ μὲν τὰ ἄρ-
θρα διακουφίζει· πυρετοὶ δὲ καὶ περιπνευμονίαι καὶ ἀποπληκ-
τοι οἱ πολλοὶ γίγνονται· ἤδη καὶ ἐπὶ φαρμάκοις καθαίρουσι
τὸ ῥεῦμα ἔξω· καὶ τῇδε μάλιστα ὠφελεῖν πεπιστευμένοις ἐκ-
λειφθεῖσιν, ἄλλῳ ὑποτραφὲν ῥεῦμα, καὶ ἐπὶ μετὰ τὰ ἄρθρα οὐχ
ὁρμῆσαν, κατελθὸν δὲ ἑτέρωσε, οὐ βραδέως ἐκτείνειν, οὐ δεῖ

©BIU Santé



φημι ἀφύλακτον ἐᾷν τὸν ἄνθρωπον ἐπὶ ταύταις φαρμακευθέντα ταῖς νόσοις, ἀλλά τινα δίαιταν αὐτῷ ξηροτέραν ἐξευρίσκειν· ὡσαύτως δ' ἐπαινῶ καὶ τὰ κατὰ τὸ δέρμα ἐξανθοῦντα πάντα· ἀλφοὶ γοῦν καὶ λέπραι καὶ ψῶραι μελαγχο-
P. 115. λίαν καὶ || ἐπιληψίαν ἰάσαντο· τὰ μὲν ἐκ νοσημάτων νοήσασιν ἀγαθὸν ὧδε ἔχει· κακαὶ δὲ ἀποστάσεις καὶ διαδοχαὶ νόσων αἵδε εἰσίν· ἐπὶ σπληνὶ ἥπατι ὕδερον γενέσθαι κακόν· γίγνεται δὲ καὶ ἐπὶ δυσεντερίᾳ καὶ λειεντερίᾳ καὶ ἐπιδιαῤῥοίᾳ κεχρονισμένῃ· καὶ ἐπὶ πυρετοῖς δὲ ὀξέσι καὶ χρονίοις γίγνεται· ὅταν οἱ πυρετοὶ κατὰ σπλάγχνα κακοεργήσωσι· τὰ μὲν οὖν περὶ γαστέρα ἱστᾶσιν, ὥστε ἐλπίδα εἶναι· ἐξαπατῶνται δέ· οὐ γὰρ ἀναλίσκεται ἧσσον, ἀλλὰ ἑτέρωσε μεθίσταται· καὶ εἰ μὴ διὰ ταχέων πάλιν ἐπὶ τὴν γαστέρα ἕλκοις ἀποδιδοῦς, τὰς ἀρχαίας νόσους ἀπόλλυνται.

9. Τὸν δὲ σπλῆνα καὶ τὸ ἧπαρ καὶ τοὺς πυρετοὺς, οὐδὲ σμικρὸν οἱ ὕδεροι διακουφίζουσιν· ὥστε πρὸς τοῖς ἐξ ἀρχῆς τοῦτο ἕτερον κακὸν γίγνεται· πονηρὸν δὲ καὶ ἐπὶ αἵματος ἐκκρίσει κατὰ ὑστέραν ἢ αἱμοῤῥοΐδι ἐκλειπούσῃ ἄνω πτύσαι· πονηρὸν δὲ καὶ τὰ ἐν κνήμαις ἐπὶ σπληνὶ ἕλκη· οὔτε γὰρ τὸ οἴδημα τοῦ σπληνὸς ὥσπερ τινὰ ἄλλα ἕλκη πραΰνει, οὔτε αὐτὰ τὰ ἕλκη ῥᾳδίως εἰς οὐλὰς ἀφικνεῖται· καὶ περιπνευμονία δὲ ἐκ πλευρίτιδος θανατῶδες· καὶ λίθαργος ἐκ τῶν πλευριτικῶν ἣν μὴ ἀγχιώτερον ἐξίστηται· τὸ δὲ σύμπαν ἐπιβλέπειν χρὴ τὸν ἰατρὸν τὴν παροῦσαν νόσον οἵα τίς ἐστι καὶ ἐν ὅτῳ τοῦ σώματος ἵδρυται· καὶ τὸ μόριον τοῦ σώματος ἐν ᾧ τὸ ἔργον· καὶ εἰ ἐπίκαιρον τὸ εἰς τὸ ζῆν· παρέχει δὲ καὶ τοὺς χρόνους τῆς νόσου, καὶ τὰ ἀπιόντα ὁποῖα καὶ ὁπόσα ἐστὶ καὶ δι' ὧν ἄπεισι· ταῦτα γάρ τις ὀρθῶς σκεπτόμενος γινώσκοι ἂν ἔσα γε χρὴ δέχεσθαι, καὶ ὅσα ἐρεθίζειν, καὶ ὅσα ἀποτρέπειν· ἢν μὲν γὰρ ἐξ ἐπικαιροτέρων πρὸς ἀκαιρότερα ὁρμῇ δέχεσθαι· καὶ ἢν οἱ πόνοι ἐπιπολῆς ἐκ βαθέων

γίγνωνται δέχεσθαι· καὶ τὰ πέπονα ἀποσκήμματα καὶ τὰς ἐκκρίσεις τὰς πεπείρους δέχεσθαι· τὰ δὲ ἐναντία κωλύειν πάντα πάντη· μὴ γιγνομένων δὲ, μηχανᾶσθαι οἷ τὰ βέλτιστα καὶ αὐτόματα ἦν γιγνόμενα.

---

## MONITUM.

Consequentes duo libri, videlicet XLVI. περὶ καταγμάτων, et XLVII. περὶ ἐξαρθρημάτων, sunt quidem in codice vaticano; verumtamen quia eos nobilissimus medicus A. Cocchius mucellanus, anno MDCCLIV, splendidis typis Florentiae edidit, a me praetermittuntur. Idem p. 171. et 172. perbrevia quoque specimina librorum XLVIII. et XLIX. exhibuit. Profecto collationem saltem codicis vaticani cum textu cl. Cocchii in his editis instituere, pretium operae erat; sed interim ad alia properans huic diuturno labori indulgere nequeo. Alibi tamen rei huiusce ratio habebitur.



©BIU Santé

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 97 sur 544

# ΟΡΙΒΑΣΙΟΥ

## ΙΑΤΡΙΚΩΝ ΣΥΝΑΓΩΓΩΝ

## ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ΜΗ.

### I. Ἐκ τῶν Ἡρακλᾶ πῶς πλέκεται βρόχος ὁ ἐρτός.

P. 199. 1. Ἕνεκα τῆς τοῦ ἐρτοῦ βρόχου πλοκῆς, καιρία (1) προσλαμβάνεται διπλῆ· ἧς αἱ μὲν ἀρχαὶ τῇ εὐωνύμῳ χειρὶ διακρατοῦνται· ἡ δὲ ἀγκύλη διὰ τῆς δεξιᾶς χειρὸς ταῖς ἀρχαῖς ἐπιτίθεται· εἶτα διὰ μέσης τῆς ἀγκύλης τὰ χαλάσματα τῆς καιρίας, τουτέστιν αἱ ἀρχαὶ, συνέχονται· ἐντεῦθεν γὰρ γίνονται παρὰ μέρος μὲν ἡ τοῦ βρόχου πλοκὴ, παρὰ μέρος δ' αἱ ἀρχαί· ἔστι δὲ ὁ βρόχος οὗτος τῇ δυνάμει ἀνισότονος· καὶ εὔχρηστος οὐ μόνον πρὸς τὴν τάσιν, ἀλλὰ καὶ πρὸς κράτημα κώλου ἐν καταρτισμοῖς καὶ προσχηματισμοῖς σωμάτων ἐν χρήσει χειρουργίας· πρὸς μὲν γὰρ τὴν τάσιν οἰκειότατα ἐπὶ τῶν διζύγων κώλων, ὅταν τὸ ἕτερον τῶν ὀστέων πάθῃ, τῶν μὲν ἀγκύλων τοῦ βρόχου τασσομένων κατὰ τοῦ σιναροῦ ὀστέου· τῶν δὲ ἀρχῶν κατὰ τοῦ ὑγιεινοῦ· προσπίπτουσαι γὰρ αἱ ἀγκύλαι τῷ χρωτὶ νεανικῶς τείνουσι τὰ πάσχοντα· αἱ δὲ ἀρχαὶ ἀφιστάμεναι τοῦ χρωτὸς, ἤτοι οὐ τείνουσι τὰ μὴ πάσχοντα, ἢ ἐπ' ἔλαττον τείνουσι· πρὸς κράτημα δὲ κώλου ἐν καταρτισμοῖς ἥρμοσεν ὁ βρόχος οὗτος· ἤτοι οὐ τείνουσι τὰ μὴ πάσχοντα κα-

(1) Καιρίαν οἱ μὲν τὴν λεπτὴν φάσκειαν ἔλεγον παρὰ τὸ κείρεσθαι· οἱ δὲ πᾶν ὁτιοῦν ὕφασμα· καιρὸν γὰρ τὴν μίτραν ἔνιοι φασί, καὶ κερώματα τὰ διαχωριστικὰ τῶν στημόνων πλεγμάτων, καὶ ἅπαν κέρωμα τὴν ὑφὴν ἔλεγον· ἐντεῦθεν τὸ κέρος ἐὼν τῶν εὖ ὑφασμένων φησὶν ὁ ποιτής· κέρος ἐὼν δ' ὅθεν ἀπελάμπετο ὑγρὸν ἔλαιον. (In edd. odyss. IX. 107. legitur καιροσέων δ' ὀθονέων ἀπολείβεται ὑγρὸν ἔλαιον.)

θάπερ ἐπὶ τῶν τριῶν τοῦ ἀγκῶνος διαφορῶν· ἐφ' ὧν καὶ κάμπ-
τεται ἡ χεὶρ ἐκτείνεσθαι, μὴ δυναμένη, τουτέστιν ἐπὶ τῆς ἔω δια-
φορᾶς· καὶ τῆς ὀπίσω τῆς πλησίον τοῦ καρποῦ περιτίθεται ὁ βρό-
χος τοῖς τοῦ πήχεως ὀστέοις· καὶ τότε αἱ ἀρχαὶ ἀναφέρονται
εἰς τὰ μετέωρα, καὶ ἀποδίδονται τινὶ ἀκινήτῳ πρὸς κράτημα·
ἔτι πρὸς σχηματισμὸν σώματος ἐν χειρουργίᾳ λυσιτελὴς γέ-
γονεν ὁ βρόχος· ἐπὶ γὰρ τῶν κατεσκευαζομένων παθῶν κατὰ
τὴν ἕδραν, ὑποβάλλονται μὲν οἱ πήχεις ταῖς ἰγνύαις· οἱ δὲ
ἑρτοὶ βρόχοι τοῖς πήχεσι περιτίθενται πλησίον καρπῶν· | εἶτα P. 200.
ἀναφέρονται τῶν βρόχων αἱ ἀρχαὶ ἐπὶ τὸν αὐχένα τοῦ πά-
σχοντος, καὶ πρὸς ἀλλήλας ἁμματίζονται· ὅτι ὁ ἑρτὸς βρόχος
οὐ μόνον πλέκεται καὶ περιτίθεται, ἀλλὰ καὶ ἐκ περιθέσεως
τοῦ κώλου· ἀπαρτίζεται γὰρ ἡ καιρία· καὶ ἡ μὲν ἀγκύλη ὑπο-
βάλλεται τῷ κώλῳ· αἱ δὲ ἀρχαὶ τῆς καιρίας διὰ μέσης τῆς
ἀγκύλης διαβάλλονται· καὶ οὗτος ἐκ περιθέσεως ὁ προκείμε-
νος γίνεται βρόχος.

## II. Πῶς πλέκεται βρόχος ὁ καλούμενος ναυτικός.

Καιρία προσλαμβάνεται, καὶ ἐκ μέσου τοῦ τῆς καιρίας χα-
λάσματος δύο πλέκεται ἀγκύλια· καὶ κατ' ἐναλλαγὴν ἀλλήλοις
παρατιθέμενα, ὁ μὲν ἔσωθεν ἔξω, ὁ δὲ ἔξωθεν ἔσω· οὕτως
γὰρ ἀναφέρεται παρὰ μέρος μὲν, ἡ τοῦ βρόχου πλοκή· πα-
ρὰ μέρος δὲ αἱ ἀρχαί· εὐθετεῖ δὲ καὶ οὗτος ὁ βρόχος πρὸς
τὰς ἀνισοτόνους τάσεις, καὶ πρὸς κράτημα ναρθήκων ἐπὶ τῶν
ναρθηκιζομένων καταγμάτων· μετὰ γὰρ τὴν ἐπίδεσιν τῇ μὲν
εὐωνύμῳ διακρατεῖται ἡ τοῦ ἱμάντος ἀρχή· ἀπὸ δὲ τοῦ λοιποῦ
χαλάσματος μία καὶ δευτέρα ἀγκύλη γίνεται μετὰ χαλάσμα-
τος περὶ τὸ πάσχον κῶλον· ἡ δὲ ἀντικειμένη τοῦ ἱμάντος ἀρ-
χὴ διὰ μέσων τῶν ἀγκύλων διεκβάλλεται ἐκ τῶν πρὸς ἡμᾶς
μερῶν εἰς τὰ ἀντικείμενα, καὶ ὑπὸ τῆς εὐωνύμου χειρὸς διακρα-

©BIU Santé



τεῖται· μετὰ δὲ τὴν τοῦ βρόχου πλοκὴν, οἱ μὲν νάρθηκες παρεντίθενται περὶ τὸ πάσχον κῶλον· ἕλκονται δὲ διὰ τοῦ ἱμάντος ἀρχαὶ, καὶ πρὸς ἀλλήλας ἁμματίζονται πρὸς τὴν τῶν ναρθήκων συνοχήν· ὥσπερ δὲ πρὸς τὴν τάσιν καὶ τὴν συνοχὴν τῶν ναρθήκων, οὕτως καὶ πρὸς ἀνάληψιν πήχεως ὁ αὐτὸς οἰκειοῦται βρόχος· μὴ παρόντος γὰρ πλατυτάτου τελαμῶνος πρὸς

P. 201. ἀνάληψιν || τοῦ πήχεως πλέκεται καὶ περιτίθεται τῷ πήχει· ἀγκύλαι τοῦ βρόχου ἀπ' ἀλλήλων χωρίζονται οὕτως, ὥστε τὴν μίαν ἀγκύλην παρὰ τῷ ἀγκῶνι τετάχθαι· τὴν δ' ἑτέραν παρὰ τῷ καρπῷ· αἱ δὲ ἀρχαὶ περὶ τὸν τένοντα τοῦ πάσχοντος ἀναφέρονται, καὶ πρὸς ἀλλήλας ἁμματίζονται.

## III. Πῶς πλέκεται βρόχος ὁ καλούμενος χιαστός.

Ἕνεκα τῆς πλοκῆς τοῦ χιαστοῦ βρόχου κηρία προσλαμβάνεται διπλῆ· καὶ αἱ μὲν ἀρχαὶ τῆς κηρίας τῇ εὐωνύμῳ χειρὶ διακρατοῦνται· ἡ δὲ ἀγκύλη τῇ δεξιᾷ διακρατεῖται· εἶτ' ἐπιστρέφεται ἡ ἀγκύλη, ἵνα χιασθῇ τὰ τῆς κηρίας χαλάσματα· ἐντεῦθεν γὰρ καὶ χιαστὸς εἴρηται· μετὰ δὲ τὸν χιασμὸν τῶν τῆς κηρίας χαλασμάτων, ἐπιβάλλεται ἡ ἀγκύλη τοῖς χιάσμασι· καὶ διὰ μέσης τῆς ἀγκύλης τὸ ὑποκείμενον τῆς κηρίας χάλασμα ἀνασπᾶται· οὕτως γὰρ γίνεται μέση μὲν, ἡ τοῦ βρόχου πλοκή· παρ' ἑκάτερα δὲ, ὅπου μὲν ἀγκύλη, μία· ὅπου δὲ ἀρχαὶ, δύο· ἔστι δὲ καὶ ὁ βρόχος οὗτος ἀνισότονος τῇ δυνάμει.

## IV. Πῶς πλέκεται βρόχος ὁ καλούμενος βουκολικός.

Ὁ βουκολικὸς βρόχος ὁ καλούμενος, εἴρηται ὑπό τινων καὶ σανδάλιος· ὡς δ' ἂν ὑπό τινος προσαγορεύηται, πλέκεται σὺν τῷ προσαγορευομένῳ χιαστῷ· δεῖ γὰρ πλέξαι πρῶτον τὸν χιαστόν· εἶτα, ἵνα γένηται ὁ σανδάλιος, τὴν παρειμένην

©BIU Santé



τοῦ χιαστοῦ ἀγκύλην διὰ μέσης ἀνασπάσαι κάτωθεν ἄνω ταῖς
ἀντικειμέναις ταῖς ἀρχαῖς ἀγκύλαις· ἐντεῦθεν γὰρ ἀναφέ-
ρεται παρὰ μέρος μὲν ἡ τοῦ βρόχου πλοκὴ, παρὰ μέρος δὲ
αἱ ἀρχαί· ἐν δὲ τῇ πλοκῇ τρεῖς ὁρῶνται ἀγκύλαι γεγονυί-
αι, δύο μὲν παρεκάτερα· ἡ δὲ τρίτη μέση· εὐχρηστεῖ δὲ ὁ
βρόχος | οὗτος πρὸς ἀπόστασιν σφυροῦ καταρτιζομένου· ἡ μὲν P. 202.
γὰρ μία ἀγκύλη περιτίθεται τῷ πλατεῖ νεύρῳ ὄπισθεν τοῦ
σφυροῦ· ἡ δὲ ἑτέρα ἀγκύλη τάσσεται εἰς τὰ ἐμπρόσθια μέ-
ρη κατὰ τὴν τοῦ ταρσοῦ τάσιν· ἡ δὲ μέση ἀγκύλη, τουτέστιν
ἡ τρίτη, κατὰ τὴν τάσιν τελαμῶνος βάλλεται· καὶ τότε αἱ
ἀρχαὶ τοῦ βρόχου τοῖς τῆς τάσεως αἰτίοις ἀποδίδονται· οὐκ ἐπὶ
μόνου δὲ τοῦ σφυροῦ ἥρμοκεν ὁ βρόχος οὗτος, ἀλλὰ καὶ ἐπὶ γέ-
νυος καταρτιζομένης ἐν τοῖς ὀλισθήμασιν· ἡ μὲν γὰρ μία
ἀγκύλη τοῦ βρόχου βάλλεται κατὰ τὸ μέτωπον τοῦ πάσχον-
τος· ἡ δὲ ἑτέρα κατὰ τὸ ἰνίον· ἡ δὲ μέση ἀγκύλη μεταξὺ
τοῦ στόματος παρεντίθεται ὑπὸ τὴν ἄνω γένυν· αἱ δὲ ἀρχαὶ
διὰ τῶν κροτάφων ὑπὲρ κεφαλῆς τοῦ πάσχοντος ἀναφέρονται·
καὶ ἀποδίδονται ἤτοι πρὸς κράτημα ἢ πρὸς ἀνάτασιν.

### V. Πῶς πλέκεται βρόχος ὁ καλούμενος δράκων.

Ἕνεκα τῆς πλοκῆς τοῦ καλουμένου δράκοντος ἡ μεσότης τάσσεται κατὰ τὸν ὀπίσθιον τοῦ σφυροῦ τόπον, ἔνθα τοῦ πλατέος νεύρου ἐστὶν ἡ τάξις· αἱ δὲ ἀρχαὶ διὰ τῶν πλαγίων μερῶν φέρονται εἰς τὰ ἐμπρόσθια· καὶ κατάγοντα ταρσὸν κατὰ χιασμὸν ἐναλλάσονται· εἶτα ἀναφέρονται ἐπὶ τὸ πέλμα, καὶ πάλιν ἐναλλάσονται· ἀπὸ δὲ τοῦ πέλματος ἐπιβάλλονται τῇ κατὰ τὸ σφυρὸν κυκλοτερεῖ εἰλίσει, ἤτοι κάτωθεν ἢ ἄνωθεν κάτω· καὶ τότε ἀποδίδονται τοῖς τῆς τάσεως αἰτίοις· εὐθετεῖ δὲ οὗτος ὁ βρόχος πρὸς ἀπόστασιν σφυροῦ καταρτιζομένου.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 101 sur 544

## VI. Πῶς πλέκεται βρόχος ὁ καλούμενος ἁπλοῦν ἅμμα.

Ὁ βρόχος ὁ καλούμενος ἁπλοῦν ἅμμα ὑπ' ἐνίων ὠνόμασται καὶ περίναιος· ὅπως ποτὲ δὲ ἂν λέγηται, πλοκῆς ἠξίωται τοιᾶσδε· καιρία προσλαμβάνεται, καὶ ταύτης γίνεται
P. 203. ἁπλοῦν || ἅμμα· εἶτα αἱ μὲν ἀγκύλαι τῆς καιρίας ἀνασπῶνται, αἱ δὲ ἀρχαὶ παρειμέναι ἐῶνται· εἶτα τότε τίθεται τὸ καταρτιζόμενον κῶλον μεταξὺ τῶν ἄνω ἀγκυλῶν· εἶτα ἡ μία ἀγκύλη διὰ τῆς ἑτέρας ἀγκύλης ἐκβάλλεται καὶ φέρεται πρὸς τὰς ἀρχάς· καὶ κατὰ κοινωνοῦν ἅμα ταῖς ἀρχαῖς τῷ τῆς τάσεως ἀγγείῳ ἀποδίδονται· καὶ οὗτος δὲ ὁ βρόχος τῇ δυνάμει ἐστὶν ἀνισότονος.

## VII. Πῶς πλέκεται βρόχος ὁ καλούμενος λύκος.

Δύο καιρίαι προσλαμβάνονται αὐτάρκεις τῷ μήκει, καὶ διπλοῦνται· καὶ αἱ μὲν ἀρχαὶ, κατὰ τὸν αὐτὸν τάσσονται τόπον· αἱ δὲ ἀγκύλαι ἀντὶ ἀλλήλων· εἶτα τότε τῆς μὲν καιρίας αἱ ἀρχαὶ κάτωθεν ἄνω ἀνασπῶνται· αἱ * δὲ ἄνωθεν
* Cod. εἰ. κάτω καθέλκονται, ὥστε φανῆναι κατὰ τὴν μεσότητα τὴν τοῦ βρόχου πλοκήν· παρεκάτερα δὲ, ἀρχαὶ δύο· οὗτος ὁ βρόχος ἰσότονος μέν ἐστι τῇ δυνάμει· ἥρμοκε δὲ οὐ μόνον πρὸς τὴν τάσιν τῶν καταρτιζομένων ὀστέων, ἀλλὰ καὶ πρὸς ἀπόσφιξιν περιτοναίου, ἀνασκευαζομένου τοῦ ἐντεροκοιλικοῦ πάθους, καὶ πρὸς ἀπόσφιξιν ἀγγείων αἱμοῤῥοούντων· σύνηθες δ' ἡμῖν ἐστι ταῖς ἀγκύλαις τοῦ βρόχου λίνα περιάπτειν ἁπλᾶ· ταῦτα δὲ τὰ λίνα ὁ ἰατρικὸς Ὅμιλος ὠνόμασε σχαστηρίας· οὐκ ἀσκόπως δὲ ταῖς σχαστηρίαις χρώμεθα, ἀλλ' ἵν' ὅταν θελήσωμεν τὴν σφίξιν ἀνεῖναι, μὴ διὰ τῶν ἀρχῶν τοῦ βρόχου, ἀλλὰ διὰ τῶν σχαστηρίων, τοῦτο πράσσωμεν.

## VIII. Πῶς πλέκεται ἡρακλεωτικὸν ἅμμα.

Ἕνεκα τοῦ ἡρακλεωτικοῦ ἅμματος ἡ καιρία προσλαμβάνεται· καὶ γίνεται καὶ ἐκ τῆς καιρίας δύο ἅμματα ἀπ' ἀλλήλων διεστῶτα· ἐντεῦθεν παρανα|κύπτει τὸ ἡρακλεωτικὸν ἅμμα P. 204.
παρεκάτερα· ὅπου μὲν ἀγκύλη, μία· ὅπου δὲ ἀρχαί, δύο· ἔστι δὲ ἰσότονος ὁ βρόχος οὗτος· εἴτις δὲ τὴν ἀντικειμένην τῆς ἀρχῆς ἀγκύλην μέσην διακόψειεν, εὑρήσει γεγονότα τὸν λύκον.

## IX. Πῶς πλέκεται βρόχος ὁ ἁπλοῦς καρχήσιος.

Ὁ ἁπλοῦς καρχήσιος ἰσότονος τῇ δυνάμει· πλέκεται δὲ οὕτως· καιρία προσλαμβάνεται διπλῆ· καὶ αἱ μὲν ἀρχαὶ τῇ εὐωνύμῳ χειρὶ διακρατοῦνται· ἡ δὲ ἀγκύλη διὰ τῆς δεξιᾶς χειρὸς ἀνακλασθεῖσα ταῖς ἀρχαῖς ἐπιτίθεται· καὶ τὰ μὲν μέσα τῆς καιρίας χαλάσματα κατὰ χιασμὸν χαλάσσονται· ἡ δὲ ἐπιτεθεῖσα ταῖς ἀρχαῖς ἀγκύλη ἄνωθεν κάτω διὰ μέσου τοῦ χιάσματος ἀνασπᾶται· ἐντεῦθεν ἀναφαίνεται μὲν ἡ μέση τοῦ βρόχου πλοκή· παρεκάτερα δέ, ὅπου μὲν ἀγκύλη, μία· ὅπου δὲ ἀρχαί, δύο.

## X. Πῶς πλέκεται διπλοῦς καρχήσιος.

Ὁ διπλοῦς καρχήσιος βρόχος ἐστίν, ἰσότονος μὲν τῇ δυνάμει, κατὰ πολὺ δὲ ἁπλοῦ καρχησίου εὐτονώτερος· πλέκεται δὲ ὅμως τρόπῳ τοιῷδε· καιρίαι προσλαμβάνονται διπλαῖ· καὶ αἱ μὲν ἀρχαὶ τῇ εὐωνύμῳ χειρὶ κρατοῦνται, τῇ δὲ ἀγκύλῃ ἡ παρειμένη ἐᾶται· καὶ ἀπὸ μὲν τοῦ ἀντικειμένου τῆς καιρίας χαλάσματος μικρὸν πλέκεται ἀγκύλιον, καὶ κατὰ τῆς ἀριστερᾶς τίθεται χειρός· διὰ μέσου δὲ τῶν ἀγκυλίων, τὸ ἕτερον τῆς καιρίας ἀνασπᾶται χάλασμα· εἶτ' ἐπιστρέφεται διὰ τῶν ἀγ-

©BIU Santé

κυλῶν ἡ πλοκή· καὶ κατὰ τῆς ἀριστερᾶς τίθεται χειρός· μετὰ δὲ τὴν στροφὴν πάλιν ἐκ τοῦ ἀντικειμένου τῆς καιρίας χαλάσματος ἕτερον πλέκεται ἀγκύλιον· καὶ κατὰ τῆς πλοκῆς τάσσεται· ἐπὶ τέλει * δὲ ἡ παρειμένη ἀγκύλη κάτωθεν ἄνω μέσης τῆς πλοκῆς ἀνασπᾶται· || ἐντεῦθεν γὰρ πάλιν μέση μὲν εὑρίσκεται ἡ τοῦ βρόχου πλοκή· παρεκάτερα δὲ, ὅπου μὲν ἀγκύλη, μία· ὅπου δὲ ἀρχαὶ, δύο.

* Cod. ἐπιτελεῖ.

P. 205.

## XI. Πῶς ἐκ τοῦ ἁπλοῦ διπλοῦς πλέκεται καρχήσιος.

Ἐπεὶ ὁ διπλοῦς καρχήσιος ποικίλως εἴωθεν ἀποτελεῖσθαι, ποτὲ μὲν ἀπ' αὐτοῦ πλεκόμενος, ποτὲ δὲ ἀπὸ τοῦ ἁπλοῦ καρχησίου, ἔσθ' ὅπη δὲ καὶ ἐκ περιθέσεως ἀπαρτίζεται, κατὰ τὸν εἰκότα λόγον ὑποδείξαντες πῶς ἐξ αὐτοῦ πλέκεται, νῦν διδάξαι βουλόμεθα πῶς ἐκ τοῦ ἁπλοῦ συντελεῖται· τοιγάρτοι δεῖ πρῶτον διαπλέξαι τὸν ἁπλοῦν καρχήσιον, καὶ τὰς ἀγκύλας ἀπ' ἀλλήλων διαστῆσαι· εἶτα τότε τὴν ὑποκειμένην ἀγκύλην κατὰ τῆς μετεώρου ἀγκύλης, καὶ διὰ μέσης τῆς διαστάσεως αὐτῶν τὴν ἀντικειμένην ταῖς ἀρχαῖς ἀγκύλην ἀνασπάσαι κάτωθεν ἄνω· οὕτως γὰρ πάλιν μέση εὑρίσκεται ἡ τοῦ βρόχου πλοκή· παρεκάτερα δὲ, ὅπου μὲν ἀρχαὶ, δύο· ὅπου δὲ μία, ἀγκύλη.

## XII. Πῶς ἐκ περιθέσεως ὁ διπλοῦς καρχήσιος γίνεται.

Ἐπεὶ πολλάκις ἐκ τῶν εὐτόνων σωμάτων σφοδρᾶς τῆς τάσεως γινομένης ἀπὸ μέρους αἱ τοῦ βρόχου ῥήγνυνται ἀρχαὶ, μηδέπω τῆς ῥήσεως ἀπαρτισθείσης, ἵνα μὴ χαλάσωμεν τὰς καταλελειμμένας τοῦ βρόχου ἀρχὰς, ἐκ περιθέσεως ἀποτελοῦμεν τὸν καρχήσιον βρόχον· διακρατοῦμεν γὰρ τῇ εὐωνύμῳ χειρὶ

©BIU Santé

τὴν ἀρχὴν τῆς κηρίας εἰς τρεῖς ἀγκύλας, ἀποτελοῦμεν τὲ τὸ καταρτιζόμενον κῶλον ἀπ' ἀλλήλων διεστῶσαν μὲν, διὰ χαλάσματος ἱκανοῦ· μετὰ δὲ ταῦτα τὴν πρώτην ἀγκύλην κατὰ τῆς τελευταίας τάσσομεν ἀγκύλης· καὶ ἅπαξ ἢ δὶς ἐπιστρέψαντες διὰ μέσης αὐτῶν τὴν μέσην ἀνασπῶμεν ἀγκύλην· πάλιν | γὰρ οὕτως περὶ μὲν αὐτὸ τὸ κῶλον τοῦ βρόχου γίνεται πλοκὴ· P. 206. παρεκάτερα δὲ, ὅπου μὲν ἀρχαὶ, δύο· ὅπου δὲ ἀγκύλη, μία.

## XIII. Πῶς πλέκεται βρόχος ὁ καλούμενος πλίνθιος ὁ τετράκυκλος.

Ἕνεκα τῆς πλοκῆς τοῦ πλινθίου βρόχου κηρία προσλαμβάνεται κεκρικοποιημένη, τουτέστιν ἀρχὴν οὐκ ἔχουσα, καὶ περιτίθενται ἀμφοτέρων τῶν χειρῶν κατὰ τὸν ἔνδον τόπον τοῖς ἀντιχείρισιν καὶ τοῖς μικροῖς δακτύλοις· περιτίθενται δὲ καὶ τοῖς λιχανοῖς, ἵνα πᾶσαι ἀγκύλαι γένωνται ἕξ, τρεῖς καθ' ἑκατέραν χεῖρα, κατὰ τοὺς μικροὺς δακτύλους, καὶ κατὰ τοὺς λιχανοὺς, καὶ κατὰ τοὺς ἀντίχειρας· μετὰ δὲ ταῦτα ἀπὸ μὲν τῶν ἀντιχείρων μεταφέρονται ἀγκύλαι ἐπὶ τοὺς παραμέσους δακτύλους· ἀπὸ δὲ τῶν μικρῶν ἐπὶ τοὺς λιχανούς· εἶτα διὰ μέσου τῶν πρώτων δακτύλων ὑπὸ τῶν ἀντιχείρων δακτύλων ἄνωθεν καὶ κάτω κατασπῶνται ὕστερον τῶν τοῖς λιχανοῖς ἐπιβληθεῖσαι ἀγκύλαι· ἡ ἐντεῦθεν γὰρ ἀναφέρεται, μέση μὲν στρομμοειδὴς ἡ τοῦ βρόχου, παρεκάτερα δὲ αἱ ἀγκύλαι δύο καὶ δύο· ἔστι δὲ ὁ βρόχος οὗτος ἰσότονος τῇ δυνάμει, καὶ δοκεῖ εὔχρηστος εἶναι, οὐ μόνον πρὸς τὴν τάσιν ἀλλὰ καὶ πρὸς τὸν ἀπευθυσμὸν τῶν τοῦ γενείου καταγμάτων· ἐνίοτε γὰρ διαστρεφομένου τοῦ κατὰ τὸ γένειον γεγονὸς κατάγματος κατὰ τὴν ἐπίδειξιν ἔξωθεν, οὕτω τῷ γενείῳ περιτίθεται ἡ ῥομβοειδὴς τοῦ βρόχου πλοκή· αἱ δὲ ἀγκύλαι διὰ παρειάδων ἐς τὰ με-

τέωρα ἀναφέρονται· καὶ κατὰ τὸν τῆς κορυφῆς τόπον πρὸς ἄλληλα ἁμματίζονται.

## XIV. Πῶς πλέκεται ἐπαγκυλωτὸς βρόχος.

Ἕνεκα τῆς πλοκῆς τοῦ ἐπαγκυλωτοῦ βρόχου καιρία προσ-
P. 207. λαμβάνεται, ἧς ἡ μὲν ἀρχὴ κατὰ τὸν τόπον || τῆς χειρὸς τάσσεται, μεταξὺ ἀντίχειρος καὶ λιχανοῦ· τὸ δὲ τῆς καιρίας χάλασμα ἔξωθεν περιειλεῖται τῷ μετακαρπίῳ, καὶ φέρεται εἰς τὸν ἐσώτατον τόπον, καὶ κατὰ τοὺς ἀντίχειρας τάσσεται· καὶ κρατεῖται ὑπό τε τοῦ μικροῦ καὶ τοῦ παραμέσου δακτύλου· ἕλκεται δὲ ἡ μὲν ἀρχὴ τῆς καιρίας διὰ τῆς δεξιᾶς χειρὸς, τὸ πέρας δὲ διὰ τοῦ μικροῦ παραμέσου δακτύλου· οὕτω γὰρ δύο μὲν ἀγκύλαι φαίνονται· μεταξὺ δὲ τῶν ἀγκυλῶν ἅμμα ἐπίσπαστον· εὐχρηστεῖ δὲ ὁ βρόχος οὗτος πρὸς τοὺς ἐν ταῖς χειρουργίαις σχηματιζομένου τοῦ σώματος· μεταξὺ γὰρ τῶν δακτύλων αἱ τοῦ πάσχοντος διεκβάλλονται χεῖρες· διὰ δὲ τοῦ λοιποῦ τῆς καιρίας χαλάσματος ἀσφαλίζεται τὸ σῶμα.

## XV. Πῶς πλέκεται ὁ καλούμενος ὦτα.

Ἕνεκα τῆς πλοκῆς τῶν ὤτων πλέξαι δεῖ πρῶτον τὸν καλούμενον ἐπαγκυλωτόν· ἐπίτηδες δὲ τὴν μίαν ἀγκύλην μείζονα δὴ ποιῆσαι· καὶ ἐκ ταύτης τὸν χιαστὸν ἀπεργάσασθαι βρόχον, ἵνα δύο μὲν φανῶσιν ἀγκύλαι· μεταξὺ δὲ τῶν ἀγκυλῶν διπλοῦν εὑρεθῇ τὸ τῆς καιρίας χάλασμα· εὐχρηστεῖ δὲ οὗτος ὁ βρόχος πρὸς τοὺς καταρτισμοὺς τῶν τῆς γένυος ὀλισθημάτων, καὶ πρὸς τὰς ἐναρθρήσεις τῶν τῆς κεφαλῆς κορωνῶν· τάσσονται γὰρ αἱ μὲν ἀγκύλαι παρὰ τοῖς τοῦ πάσχοντος κροτάφοις· τὸ δὲ μέσον τῶν ἀγκυλῶν διπλοῦν τῆς καιρίας χάλασμα κατὰ τοῦ μετώπου· καὶ τότε παραλαμβάνεται ἐπίδεσμος

ὁ λεγόμενος λαγωός· μετὰ τὴν ἐπίδεσιν, αἱ τῶν ὤτων ὑπὲρ κεφαλῆς τοῦ πάσχοντος ἀναφέρονται καὶ ἀποδίδονται, ἢ πρὸς κράτημα ἢ πρὸς ἀνάτασιν.

## XVI. Πῶς πλέκεται βρόχος ὁ καλούμενος διάγκυλος ὅντινα καταχρηστικῶς ἄγχοντα καλοῦσι.

Ὁ καλούμενος διάγκυλος βρόχος ἐκ δύο χιασμάτων | γίνεται, βρόχων διεστηκότων ἀπ' ἀλλήλων· εὐθετεῖ δὲ πρὸς σχηματισμὸν σώματος, ἀνασκευαζομένου πάθους τινὸς κατὰ τὴν ἕδραν· ὅταν γὰρ οἱ πήχεις ταῖς ἰγνύαις ὑποβληθῶσι, διὰ μὲν τῶν χιαστῶν βρόχων οἱ πήχεις σφίγγονται· τὸ δὲ μέσον τῶν βρόχων διπλοῦν τῆς καιρίας χάλασμα φέρονται ἐπὶ τὸν τένοντα τοῦ πάσχοντος· καὶ ἐντεῦθεν ὁ σχηματισμὸς τοῦ σώματος ἀποτελεῖται. P. 208.

## XVII. Πῶς πλέκεται βρόχος ὁ καλούμενος κυρίως ἄγχων.

Ὁ κυρίως καλούμενος ἄγχων πλέκεται ἐκ τοῦ ἁπλοῦ καρχησίου γινόμενος· πλέκεται πᾶς ἁπλοῦς καρχήσιος· καὶ αἱ μὲν ἀγκύλαι ἀπ' ἀλλήλων διΐστανται· εὐθετεῖ δὲ ἐφ' ὧν καὶ ὁ πρὸ αὐτοῦ ἀναγεγραμμένος· πάλιν γὰρ οἱ πήχεις μεταξὺ τῶν ἀγκυλῶν ἐκβάλλονται καὶ ἀποσφίγγονται· τὸ δὲ διπλοῦν τῆς καιρίας χάλασμα, ὃ δὴ καὶ μέσον τέτακται, ἐπὶ τὸν τένοντα τοῦ πάσχοντος ἀναφέρεται.

## XVIII. Πῶς πλέκεται βρόχος ὁ καλούμενος ὑπερβατός.

Ὁ λεγόμενος ὑπερβατὸς ἐκ τοῦ λεγομένου ναυτικοῦ γίνε-

©BIU Santé

ται βρόχου· πλέκεται γὰρ ὁ ναυτικὸς ὁ βρόχος καὶ περιτίθεται τῷ πήχει· καὶ αἱ μὲν ἀγκύλαι τοῦ βρόχου ἀπ' ἀλλήλων διίστανται· αἱ δὲ ἐπὶ τὸν τένοντα ἁμματίζονται· καὶ οἱ μὲν διὰ τῆς περιόδου εὔχρηστοι φανέντες βρόχοι οὗτοι εἰσίν.

## XIX. Ἐκ τοῦ Ἡλιοδώρου περὶ ἐπιδέσμων. (1)

P. 215. 1. Τῶν ἐπιδέσμων οἱ μὲν εἰσὶν εἱλιτοὶ, οἱ δὲ ῥαπτοὶ, οἱ δὲ ποικίλοι· εἱλιτοῖς ἐπιδέσμοις χρώμεθα ἐπὶ καταγμάτων· τὰ ἔσχατα αὐτῶν κηρωτῇ προσπλάσσοντες· οὐδὲ γὰρ θέλομεν ἅμματα ποιεῖν, φυλασσόμενοι τὴν ἐκ τούτων ἀνωμαλίαν· στενοῖς ἐπιδέσμοις εἱλιτοῖς χρώμεθα ἐπὶ δακτύλου καὶ καυλοῦ, τὰ τέλη αὐτῶν ῥάμματι ἢ λίνῳ μεταλαμβανόμενοι· εἱλιτοῖς ἐπιδέσμοις χρώμεθα ἐπὶ τῶν κώλων· ὧν τὰ πέρατα τῷ στενῷ τελαμῶνι διότῳ λεγομένῳ κατὰ λῆμμά τι συνέχομεν, ἢ οὕτως τὸ τοῦ ἐπιδέσμου πέρας εἰς δύο σκέλη ἐπιῤῥήξαντες· ἐναλλάξοντες δὲ τὰ σκέλη πρὸς ἄλληλα ἁμματίζομεν, συνοχῆς χάριν τῆς ὅλης ἐπιδέσεως· εἱλιτοῖς ἐπιδέσμοις χρώμεθα ἐπὶ θώρακος, νώτου, ὤμων, μασχαλῶν, ὀσχέου· καθ' ὅλων τῶν μέσων τοῦ σώματος τὰ πέρατα αὐτῶν εἰς δύο σκέλη ῥηγνύντες ἐπὶ τέλει τῆς ἐπιδέσεως· τὰς ἀρχὰς πρὸς ἀλλήλας ἁμματίζοντες, ἀσφαλείας χάριν, σχιστοῖς ὀθονίοις χρώμεθα· ἐφ' ὧν πρόκειται μιᾷ ἁπλῇ τοῦ ὀθονίου προθέσεις σκεπάσαι τὸν ἐπιδεόμενον τόπον· ὥσπερ ἐπὶ κεφαλῆς σιαγόνων ἄλλων τινῶν τοῦ σώματος μερῶν· τοῖς δὲ ῥαπτοῖς ἐπὶ μαστῶν γυναικείων ἕδρας, ὀσχέου· περὶ μὲν τῶν ἁπλῶν ἐπιδέσμων ταῦτα.

2. Μνησθήσομαι δὲ καὶ τῶν ἐν ταῖς καταβολαῖς, τῶν ἐν ταῖς

(1) Ἀπὸ τοῦ αὐτοῦ ἀναγεγραμμένου μονοβίβλου, μετὰ τὸ προοίμιον, καὶ τὰ ἐφεξῆς πάντα, μέχρι τοῦ γ ἀπὸ τῶν ὁμοίως ἐπιγεγραμμένων κεφαλαίων.

πλοκαῖς, τῶν ποικίλων ἐπιδέσμων ὀνομάτων, εὐσήμου διδασκα-
λίας χάριν, λέγεταί τις εὐθεῖα, πλατεῖα, λοξή· εὔδηλοι δ'
εἰσὶν αὗται ἀπὸ τῶν ὀνομάτων· καλεῖται τὶς παρειὰς κατὰ
τῆς παρειάδος, εὐθεῖα στεφανιαῖα ἡ περιστεφανοῦσα τὸ
βρέγμα· κυκλοτερὴς περιείλισις ἡ κροταφιαῖα, ἡ μετὰ κροτά-
φου λοξὴ καταβολή· | μετωπιαῖα, ἡ περὶ τὸ μέτωπον κυκλο- P. 216.
τερὴς περιείλισις· ταινίας, ἡ περὶ τὸ γένειον κυκλοτερὴς πε-
ριείλισις· σκέπαρνος, ἡ μηνοειδὴς ἐπαγωγὴ τῆς περιειλίσεως· ἐν
δὲ τοῖς ἀποτελέσμασι τῶν πλοκῶν λέγεται φόλις, στεῖρα, ἡ-
μιρόμβιον, ῥόμβος, ἑτερόσχιστμα, διαλίμματα· φόλις μὲν οὖν
ἐστιν ἡ διὰ δύο σκεπάρνων καταβολῶν ἀντικειμένων ἀλλή-
λαις, μέσον τὶ καταλιποῦσα διάστημα· στεῖρα δέ ἐστιν ἡ
ἐξ ἀντικειμένων λοξῶν καταβολῶν γιγνομένη τῆς ἐπιδέσεως
πλοκὴ, ὡμοιωμένη τῇ ἐν βίῳ λεγομένῃ στείρᾳ· ἡμιρόμβιον
δ' ἐστὶ τὸ δύο λοξὰς ἔχον καταβολὰς, καὶ μίαν πλαγίαν
τοῦ μέσου διαστήματος τῷ δέλτα στοιχείῳ ὡμοιωμένου· ῥόμβος
δ' ἐστὶν ὁ ἐκ τεσσάρων λοξῶν παραλλήλων καταβολῶν πλε-
κόμενος τοῦ μέσου διαστήματος ὡμοιωμένου ῥόμβῳ· τὰ δὲ λε-
γόμενα ἑτερόσχισμα, διαλίμματα, μέσα ἐστὶ τῶν καταβολῶν
διαστήματα, ὡρισμένα σχήματα οὐκ ἔχοντα. Τὴν τοῦ τόπου
τεχνολογίαν παραδοὺς, ἤδη βούλομαι ἐπὶ τὰς τῶν ἐπιδέσ-
μων πλοκὰς ὁρμῆσαι· τῆς δὲ ἀρίστης τάξεως ἐχόμενος, πρώ-
τους παραδώσω τοὺς ἐπὶ τῆς κεφαλῆς εὐθετοῦντας ἐπιδέσμους.

## XX. Σχιστὸς ὁ κατασκελὴς ἐπὶ κεφαλῆς.

Πρὸς τὴν τῆς ὅλης κεφαλῆς ἐπίδεσιν κατὰ πολλὰ μέρη θλασμάτων ἢ τραυμάτων γενομένων, μὴ βουλόμενοι ἅμμασιν ἀνωμάλοις σκληροῖς θλίβειν τὰ σώματα, σχιστῷ ἐπιδέσμῳ χρώμεθα ὀκτασκελεῖ· ὁ δὲ τρόπος τῆς ἐπιδέσεως τοιοῦτος ὀφείλει γίγνεσθαι· τελαμῶνα δεῖ λαβεῖν πλάτει καὶ μήκει ἱκανὸν

ἐξαρκέσαι πρὸς τὴν δηλουμένην ἐπίδεσιν· ἔπειτα αὐτῶν ἑκα-
τέρωθεν ἐπιῤῥῆξαι εἰς σκέλη τὰ πάντα ὀκτω, τέσσαρα καὶ
τέσσαρα πρὸς τὴν ἐπίδεσιν, τὸ μέσον αὐτοῦ μέρος ἐπιτίθε-
P. 217. ται τῇ κεφαλῇ πρὸς τὴν σκέπην· || ἔπειτα δύο σκέλη μέσα τὰ
κατὰ τὰ ὦτα ἐπιῤῥήγνυνται, ὧν αἱ ἀρχαὶ ὑπὸ τὸν ἀνθε-
ρεῶνα ἁμματίζονται· καὶ τότε ἐξόπισθεν ἀπὸ ἰνίου δύο τὰ ὀ-
πίσθια σκέλη περιάγεται ὑπεράνω τῶν ὤτων, ὡς ὑπὸ τὸ βρέγ-
μα· καὶ ὁ μὲν ὑποστέλλεται, ὁ δὲ ἐπάγεται· εἶτα ἄλλα δύο
σκέλη ἐμπρόσθια ἀπὸ μετώπου ὀπίσω φέρεται, ὡς ἐπὶ ἰνίον·
καὶ πάλιν ἐναλλάσσονται· ἧς μὲν, ὑποστελλομένης ἀρχῆς· ἧς
δὲ, κατὰ τῶν πρώτων σκελῶν· τὸ δὲ πέρας τοῦ τελευταίου σκέ-
λους καταῤῥάπτεται πρὸς τὴν ἐπίδεσιν· τούτῳ χρώμεθα τῷ
ἐπιδέσμῳ ὅλην ἐπιδέοντες τὴν κεφαλήν.

## XXI. Σχιστὸς ἑξασκέλης ἐπὶ κεφαλῆς.

Ἐπὶ τῆς κορυφῆς καὶ τῶν γειτνιώντων τῇ κορυφῇ τόπων, ἑξασκελεῖ ἐπιδέσμῳ χρώμεθα, ἐπιδέοντες τρόπῳ τούτῳ· τὸ μέσον τοῦ ὀθονίου μέρος τὸ συνεχὲς ἐπιτίθεμεν τῇ κορυφῇ· ἔπειτα δύο σκέλη τὰ μέσα ῥήξαντες, κατὰ τὰ ὦτα ἄγομεν αὐτῶν τὰς ἀρχὰς κάτω καὶ ὑπὸ τὸν ἀνθερεῶνα ἁμματιζόμενα· ἔπειτα μεσότητα στενοῦ ταινιδίου ὡς διδακτυλιαίου προστίθεμεν τῷ ἰνίῳ· τούτῳ δὲ τὸ χάλασμα ὑπεράνω τῶν ἐκπλαγίων τῆς κεφαλῆς ἄγοντες ἁμματίζομεν κατὰ τὰ ἀπολήγοντα μέρη τοῦ βρέγματος· τῶν δὲ λοιπῶν σκελῶν δύο τὰ ἐμπρόσθια ἄγομεν ὀπίσω, καὶ ὑπεράνω τοῦ ἰνίου προσάλληλα ἁμματίζομεν· καὶ δύο τὰ ὀπίσθια ἄγομεν ἔμπροσθεν, καὶ κατὰ τὰ ἀπολήγοντα τοῦ βρέγματος ὑπεράνω τοῦ πρώτου ἅμματος ἁμματίζεται.

©BIU Santé



## XXII. Σχιστὸς τετρασκέλης.

Ἐπὶ τοῦ μετώπου καὶ τοῦ πλησιάζοντος τοῦ βρέγματος σχιστῷ τετρασκέλει ἐπιδέσμῳ χρώμεθα· τούτου δὲ τοῦ ἐπιδέσμου μέσον μέρος τὸ συνεχὲς προστίθεμεν τῷ τόπῳ καὶ τῷ βρέγματι· | τῶν δὲ σκελῶν τὰ μὲν ἄνω, κάτω παρεῖμεν· τὰ P. 218.
δὲ κάτω, κατὰ τῶν παρειμένων ἀγαγόντες ἁμματίζομεν κατ' ἰνίου ὀπίσω· τὰ δὲ λοιπὰ δύο σκέλη ὑπεράνω τοῦ πρώτου ἅμματος προσάλληλα διαδέομεν· τῷ δὲ αὐτῷ ἐπιδέσμῳ καὶ ἐπὶ τοῦ ἰνίου χρώμεθα πᾶν· τὸ μὲν ἄσχιστον αὐτοῦ μέρος προστιθέντες τῷ ἰνίῳ· καὶ τὰ μὲν ἄνω σκέλη, ποιοῦντες χαλασθῆναι κάτω· τὰ δὲ κάτω, κατὰ τῶν πρώτων ἄγοντες καὶ ὑπὲρ ἄνω μετώπου ἁμματίζοντες, ἐπὶ τὰ λοιπὰ δύο σκέλη ὑπεράνω τοῦ πρώτου ἅμματος κατὰ τὸ βρέγμα προσάλληλα διαλαμβάνομεν· τούτοις σχιστοῖς ἁπλοῖς ἐπιδέσμοις ἐπὶ τῆς κεφαλῆς χρώμεθα. Ἐπὶ τοὺς ποικίλους μέτειμι.

## XXIII. Ὁ Ἱπποκράτους ῥόμβος.

Οὗτος ὁ ἐπίδεσμος εὐθετεῖ ἐπὶ τῶν κατὰ τὰς ῥαφὰς διαστημάτων· καὶ ἐφ' ὧν τραύματος ὄντος κατὰ τὸ βρέγμα τὰ γειτνιῶντα αὐτοῦ σώματα ἀφίσταται· ἠθέλησαν γὰρ οἱ τῷδε τῷ ἐπιδέσμῳ χρησάμενοι, τὰ μὴ ἀφεστῶτα ἐπιδῆσαι πρὸς παρακόλλησιν· τὸν δὲ τοῦ τραύματος τόπον, γυμνὸν ἐάσαι πρὸς τὴν τῶν ὑγρῶν ἔκκρισιν· πλέκεται δὲ ὁ ἐπίδεσμος οὗτος τρόπῳ τοιούτῳ· τῆς ἀρχῆς τοῦ τελαμῶνος ἐκ πλαγίων τῆς κεφαλῆς κρατουμένης, ἀπὸ ἰνίου ἄγεται λοξὴ, ὡς ἐπὶ τὸ βρέγμα, ἀφ' ἧς συντελεῖται παρειάς· εἶτα ἐπὶ τὸν ἀνθερεῶνα· ἀπὸ τοῦ ἀνθερεῶνος ἀντικειμένη παρειάς· εἶτα ἐπὶ τὸ βρέγμα λοξὴ, ἵνα γένηται χίασμα· ἀπὸ τοῦ βρέγματος ἐπ' ἰνίου· ἀπὸ ἰνίου λοξὴ ὡς ἐπὶ τὸ βρέγμα, διεστῶσα τῆς δευτέρας· καὶ πά-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 111 sur 544

λιν παρειάδες δύο, ἵνα γένηται δύο χιάσματα· ὧν ὁ ῥόμ-
βος ὁ κατὰ τὸ τραῦμα· καὶ πάλιν ἐπ' ἰνίου ἀπὸ ἰνίου κυκλο-
P. 219. τερὴς μετω||πιαῖα· ἡ δὲ νομὴ τῆς ἐπιδέσεως κατὰ τῶν ὤτων
αὐτοῦ γινομένου τοῦ ἅμματος ὑπεράνω μετώπου.

## XXIV. Ἐκ τῶν Διοκλέους σκαφεῖον ἢ θόλος.

Οὗτος ὁ ἐπίδεσμος δύο ἔχει κυκλοτερεῖς περιειλίσεις κεφαλὴν περιστεφούσας· μίαν μὲν τὴν κάτω, τὴν λεγομένην μετωπιαίαν· ἄλλην δὲ ὑπεράνω κατὰ τὸ βρέγμα, τὴν καλουμένην στεφανιαίαν· ἡ δὲ νομὴ τῆς ἐπιδέσεως γίνεται, τῆς μὲν κάτω πρὸς τὰ ἄνω· τῆς δὲ ἄνω, πρὸς τὰ κάτω· οὗτος ὁ ἐπίδεσμος εὐθετεῖ ἐφ' ὧν πλαγίας οὔσης τῆς κατὰ τὸ βρέγμα διαιρέσεως πρόκειται τὰ χείλη συνάγειν πρὸς τὴν κόλλησιν ὡς ἐπὶ περισκυθισμοῦ.

## XXV. Λαγωὸς χωρὶς ὤτων.

Τῆς τοῦ τελαμῶνος ἀρχῆς ἐκ πλαγίων τῆς κεφαλῆς διακρατουμένης, ἀπὸ ἰνίου ἄγεται λοξὴ ὑπὸ λόβον ὠτὸς τοῦ πλησίον ἐπὶ κροτάφου· ἀπὸ βρέγματος ἐπὶ ἰνίον· ἀπὸ ἰνίου λοξῆς καὶ ἐκ πλαγίων τῆς κορυφῆς ἐπὶ τὸ βρέγμα, ἵνα γένηται χίασμα· εἶτα ἐφ' ἕτερον κρόταφον καὶ τὸ ὑπὸ λόβον ὠτὸς τοῦ ἀντικειμένου· ἀπὸ δὲ τοῦ, ἐπὶ ἰνίον· ἀπὸ ἰνίου κυκλοτερὴς μετωπιαία περιείλισις, ἵνα γένηται διάστημα ἐμφερῶς τῷ δέλτα στοιχείῳ, τὸ λεγόμενον ἡμιρόμβιον· ἐπὶ τέλει δὲ τῆς ἐπιδέσεως τὸ ἅμμα γίνεται κατὰ τὰ ἀπολήγοντα τοῦ βρέγματος· οὗτος ὁ ἐπίδεσμος εὐθετεῖ ἐπὶ τῶν κατὰ τὰς ῥαφὰς διαστημάτων πρὸς τὴν τῶν διισταμένων ὀστέων συναρμογήν.

©BIU Santé

©BIU Santé



## XXVI. Λαγωὸς σὺν ὤτοις.

Πλέξαι δεῖ βρόχον ὃν καλοῦμεν ὦτα, οὗ τὴν πλοκὴν παραδέδωκα ἐν τῷ εἰσαγωγικῷ ὑπομνήματι τῆς ὀργανικῆς πραγματείας· ἔπειτα αὐτοῦ τὰς ἀγκύλας τάξαι κατὰ τοὺς κροτάφους· παρατετηρημένως δὲ ἀγκύλην τὴν κατὰ τὸ ἄμμα | ὅπου ἐστὶν ἡ βραχυτέρα ἀρχὴ, πλησίον τοῦ δεξιοῦ κροτάφου, πλησίον τοῦ μέσου διπλοῦ τῆς κηρίας διαστήματος κατὰ τὸ μέτωπον ὄντων· τούτων τε γενομένων, ἄγεται περιείλισις ἐπὶ τὸ ἰνίον ἀπὸ τοῦ δεξιοῦ κροτάφου ὡς ἐπὶ τὸν ἀριστερὸν· καὶ τότε τῷ ἄμματι τῆς τοπικῆς ἀγκύλης δύο ἢ τρεῖς περιειλίσεις γινέσθωσαν· εἶθ' ὑπονοστείτω ἡ κηρία, ὡς ὑπὸ τὸ ἰνίον ἀπὸ τοῦ ἰνίου λοξὴ ἀγέσθω καταβολὴ ὑπὸ λόβον ὠτὸς τοῦ πλησίον, καὶ κατὰ τοῦ δεξιοῦ κροτάφου· εἶτα ἐπὶ τὸ βρέγμα ἐπ' ἰνίον· ἀπὸ ἰνίου λοξὴ ἐπὶ τὸ βρέγμα· καὶ τότε ὑπειλίσθωσαν τῷ λόβῳ τοῦ ἀριστεροῦ ὠτὸς· εἶτ' ἐπ' ἰνίον ἀπὸ ἰνίου μετωπιαῖα· καὶ τὸ ἄμμα γινέσθω πλησίον τοῦ δεξιοῦ κροτάφου, ὅπου ἐστὶν ἡ βραχυτέρα ἀρχή· οὗτος ὁ ἐπίδεσμος εὐθετεῖ πρὸς κράτημα κεφαλῆς, καταρτιζομένης γενύος, ἢ ἄλλου τινὸς συμπτώματος μεθοδευομένου κατὰ πρόσωπον. P. 220.

## XXVII. Σχιστὸς ἐπίδεσμος ὁ ἐπὶ ὀφθαλμούς.

Προπαρασκευάσαι δεῖ δύο τελαμωνίδια μικρὰ ὡς διδακτυλιαῖα τῷ πλάτει, μήκει αὐτάρκει πρὸς τὴν χρείαν· καὶ ἄλλον τελαμῶνα μείζονα τῷ πλάτει καὶ τῷ μήκει, ἱκανὸν ἐξαρκέσαι πρὸς τὴν ἐπίδεσιν· οὗτος δὲ ὁ τελαμὼν κατὰ τὴν μίαν ἀρχὴν εἰς δύο σκέλη ῥήγνυται· ῥήγνυται δὲ κατὰ τὸ πλεῖον αὐτοῦ μέγεθος· πρὸς δὲ τὴν ἐπίδεσιν τῶν δύο σκελῶν τελαμωνίδιον ἓν τὸ ,στενότερον πλάγιον κατὰ τῆς κορυφῆς τίθεται· οὗ ἀρχαὶ ἔσονται παρειμέναι κάτω· καὶ τότε τοῦ με-



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 113 sur 544

©BIU Santé



γάλου τελαμῶνος τὸ συνεχὲς μέρος ἀπὸ κορυφῆς καὶ βρέγμα-
τος ἐπὶ μέτωπον, καὶ τὸν δεόμενον σκέπης ὀφθαλμόν· καὶ τότε
τὰ σκέλη τοῦ τελαμῶνος ὑπὸ τὴν σιαγόνα ἐνηνεγμένα διὰ τῶν
αὐχένων ἐπὶ ἰνίον ἄγεται, καὶ πρὸς τὰ ἄλλα ἀμματίζεται
P. 221. ἅμματι || ἁπλῷ· εἶθ' ὁμόσε αἱ ἀρχαὶ διάγονται· καὶ πρὸς
διακρατουμένην ἄσχιστον ἀρχὴν διπλοῖς ἅμμασιν ἀσφαλί-
ζονται· μετὰ δὲ τὸν ἀμμματισμὸν ἐναλλάσσονται αἱ ἀρχαὶ
τοῦ πλαγίου τελαμῶνος· λέγεται δὲ οὗτος ἀγκτὴρ, ἵνα τῇ τῶν
ἀρχῶν ἐναλλαγῇ ὡς τοπικοῦ ἅμματος κρατηθῇ ὁ τελαμών·
τούτων δὲ τῶν ἀρχῶν καθελκυσμένων, τοῦ πλατυτέρου τελαμῶ-
νος ἡ μεσότης προστίθεται τῷ ἰνίῳ, οὗ αἱ ἀρχαὶ ὑπεράνω
ὤτων ἄγονται· καὶ ἀμματίζονται πρὸς ἀλλήλας κατὰ τὰ ἄνω
μέρη τοῦ μετώπου· ἐπὶ τέλει δὲ τοῦ ἀγκτῆρος αἱ ἀρχαὶ κατὰ
τὴν κορυφὴν πρὸς ἀλλήλας διαδέονται· ἡ ἐπίδεσις ὡσεὶ ἐπὶ
ἑνὸς ὀφθαλμοῦ εἴρηται· ὡς ἐξ ἐπινοίας δὲ τῶν εἰρημένων, δυ-
νατὸν ἔσται ἀμφοτέρους ἐπιδῆσαι τοὺς ὀφθαλμούς· ὀθονίοις
σχιστοῖς ἐπιδέονται οἱ ὀφθαλμοί, ὡς ἱστόρησα ὑμῖν. Τῇ τάξει
ἐπὶ τοὺς εἰλιτοὺς μέτειμι.

## XXVIII. Ἁπλοῦς ὀφθαλμός· οἱ δέ φασιν Ἱπποκράτους ὀφθαλμόν.

Τελαμῶνος αὐτάρκους πρὸς τὴν χρείαν τῆς ἀρχῆς διακρατουμένης ἐκ πλαγίων τῆς κεφαλῆς, ἀπὸ ἰνίου ἄγεται λοξὴ ὑπὸ λοβὸν ὠτὸς τοῦ πλησίον· καὶ τότε κατὰ τοῦ ὀφθαλμοῦ τοῦ δεομένου σκέπης· εἶτ' ἐπὶ τὸ μέτωπον ἀνάγεται· ἀπὸ τοῦ μετώπου ἐπὶ τὸ βρέγμα· ἀπὸ τοῦ βρέγματος ἐπ' ἰνίον· ἀπὸ ἰνίου μετωπιαῖα κυκλοτερὴς περιείλισις ἐπὶ τέλει τοῦ ἅμματος γινομένου κατὰ τὰ ἀπολήγοντα τοῦ βρέγματος.

## XXIX. Διπλοῦς ὀφθαλμός.

Ἐπὶ τετελειωμένῳ τῷ ἁπλῷ ὀφθαλμῷ, χωρὶς τῆς μετωπιαίας περιειλίσεως, ὁ διπλοῦς ὀφθαλμὸς ἔχει ἀπὸ ἰνίου λοξὴν ἐπαγωγὴν ἐπὶ κορυφὴν καὶ βρέγμα, μέτωπον, ὀφθαλμὸν τὸν ἕτερον πρὸς τὴν σκέπην χιάσματος κατὰ τὸ μέτωπον γεγονότος· εἶθ' ὑπὸ λοβὸν ὠτὸς τοῦ πλησίον· καὶ τότε ἀπὸ | [P. 122.] ἰνίου ἐπὶ ἰνίον μετωπιαία κυκλοτερὴς περιείλισις πάλιν τοῦ ἅμματος γινομένου κατὰ ἀπολήγοντα τοῦ βρέγματος· οὗτος ὁ ἐπίδεσμος εὐθετεῖ πρὸς τὴν ἀμφοτέρων τῶν ὀφθαλμῶν ἐπίδεσιν.

## XXX. Ἀμύντου χάραξ.

Ἐπὶ τετελειωμένῳ τῷ ἁπλῷ ὀφθαλμῷ ἔχει ὁ τοῦ Ἀμύντου χάραξ περισσὴν κυκλοτερῆ περιείλισιν ἀπὸ ἰνίου γινομένην ὑπὸ λοβοὺς ὤτων, κατὰ μέσον τῆς ῥινὸς πέλει τοῦ ἅμματος κατὰ τα ἀπολήγοντα τοῦ βρέγματος γινομένου· εὐθετεῖ δὲ ἐφ' ὧν ὀφθαλμὸν ἅμα καὶ ῥῖνα ἐπιδῆσαι θέλομεν ἐπὶ τῶν πλαγίων τῶν τῆς ῥινὸς ὀστώδους, ἐφ' ὧν οἱ λεγόμενοι αἰγίλωπες καὶ ἀγχίνωπες· τοῦ ἑτέρου μέρους ἐπιδεομένου, ἐπιδέσει χρῶμαι τοιαύτῃ· δεῖ δὲ πρὸς τὴν ἐπίδεσιν τελαμωνίδιον λαβεῖν ὡς δακτυλιαῖον τῷ πλάτει μήκει ἱκανὸν ἐξαρκέσαι πρὸς τὴν ἐπίδεσιν· ἔπειτα τὴν ἀρχὴν τάξαι κατὰ τὸν τῆς κορυφῆς τόπον· ἀπὸ δὲ τῆς κορυφῆς καὶ τοῦ βρέγματος ἀγαγεῖν λοξὴν καταβολὴν ὡς ἐπὶ τὸ μέτωπον ἐκ πλαγίων τῶν τῆς ῥινὸς ὀστώδους· εἶτ' ἐπὶ χαλινὸν ἀπὸ τοῦ χαλινοῦ ὑπὸ τὸν ἀνθερεῶνα· ἀπὸ τοῦ ἀνθερεῶνος ἐπὶ τὸν αὐχένα· εἶτ' ἐπ' ἰνίον ἀπὸ τοῦ ἰνίου κυκλοτερῆ περιείλισιν ἐπέμβαλε, τὸ τοῦ τελαμωνιδίου πέρας, ἢ κάτωθεν ἄνω, ἢ ἄνωθεν κάτω· ἔπειτα τὰς ἀρχὰς ἁμματίσαι πρὸς ἀλλήλας κατὰ τὸν τῆς κορυφῆς τόπον.

©BIU Santé



## XXXI. Σχιστὸς ἐπὶ ῥινός.

Τελαμῶνα δεῖ ἑτοιμάσαι πλάτει καὶ μήκει αὐτάρκη πρὸς
τὴν δηλουμένην ἐπίδεσιν· καὶ πάλιν τοῦτον ὡς εἴρηται ἐπὶ
τοῦ ὀφθαλμοῦ κατὰ μίαν ἀρχὴν ῥῆξαι ἐπὶ τὸ πλεονάζον μέ-
P. 223. ρος τοῦ μήκους τούτου τοῦ λεγομένου· ἡ συνεχὴς ἀρχὴ τάσσεται ||
κατὰ τὸν τῆς κορυφῆς καὶ τοῦ βρέγματος τόπον· εἶτα ἄγεται
ἐπὶ τὸ μέτωπον καὶ τὴν ῥῖνα πρὸς τὴν σκέπην αὐτῆς· τῶν
δὲ τοῦ τελαμῶνος σκελῶν ἀπὸ τοῦ σφαιρίου παρειμένων κάτω
στενοῦ τελαμωνιδίου, ἡ μεσότης κατὰ τῶν σκελῶν τῷ ἄνω χεί-
λει ὑπὸ λοβοὺς ὤτων ἄγονται, κατὰ τα ὀπίσθια μέρη τῆς κο-
ρυφῆς πρὸς ἄλληλα ἁμματίζεται ἅμματι ἁπλῷ· ἔπειθ' ὁ-
μόσε πρὸς τὴν διακρατουμένην ἄσχιστον ἀρχὴν κατὰ τὴν
κορυφὴν καὶ τὸ βρέγμα διπλοῖς ἅμμασιν ἁμματίζονται· καὶ τὰ
παρειμένα σκέλη ἐναλλάσσονται πρὸς τὴν τῶν πτερύγων συν-
αγωγήν· ἔπειτα δι' ἀλλήλων ἀνάγεται, καὶ κατὰ τὸν τῆς κο-
ρυφῆς τόπον ἁμματίζεται πρὸς ἄλληλα· ἔπειτα δεῖ πρὸς
συνοχὴν ὅλης τῆς ἐπιδέσεως, τελαμωνιδίου ὡς διδακτυλιαίου· καὶ
ποσὸν στενοτέρου ἡ μεσότης τῇ ῥινὶ προστίθεται· οὗ τὸ χά-
λασμα δι' ἀλλήλων ὑπὸ λοβοὺς ὤτων ἄγεται· αἱ δὲ ἀρ-
χαὶ κατ' ἰνίον ἐναλλαγεῖσαι ὑπεράνω ὤτων φέρονται, κατὰ
τὰ ἀπολήγοντα τοῦ βρέγματος πρὸς ἀλλήλας ἁμματίζονται·
τούτῳ δὲ μάλιστα τῷ ἐπιδέσμῳ χρώμεθα ἐπί τε πολύπων
μετὰ τὴν χειρουργίαν, καὶ ἐπὶ τῶν αἱμοῤῥαγούντων μυξωτήρων,
ἐπί τε ἄλλων τῶν ἐν τοῖς πόροις γινομένων παθῶν.

## XXXII. Μεταγωγεὺς Ἡλιοδώρου.

Τοῦ μυκτῆρος εἰς τὰ πλάγια μέρη διεστραμμένου, ἔδο-
ξέ μοι μετὰ τὸν διαπλασμὸν καὶ τὴν τῶν ἐλλυχνίων μότων
ἔνθεσιν καὶ στηριζόντων τὸν μυκτῆρα ἅμα καὶ τοὺς ὠοβραχοῦς

©BIU Santé



ἐρίου ἐσκεπακότος τὴν ῥῖνα, χρήσασθαι ἐπιδέσει πρὸς τὴν τοῦ διαπλασμοῦ ἀσφάλειαν· πολὺ πρότερον διεχρήσατο τῇ μεταγωγῇ ὁ ἀρχαῖος Ἱπποκράτης διὰ τοῦ καρχηδονίου ἱμάντος· ἱμάντα ἑτοιμάσας αὐτάρκη πρὸς τὴν χρείαν, τὴν μίαν αὐτοῦ ἀρχὴν τὴν πλατυτέραν | ἀπογλύψαι λεπτοτέραν γενομένην, ταυροκόλλῃ καταχρίσας ἐκ πλαγίων τῷ μυκτῆρι προσέθηκεν· ἔπειθ' ἐπειλίσας δηλονότι τοῖς πτερυγίοις καὶ τῷ κίονι, ἤγαγεν ὑπὸ λοβὸν ὠτὸς τοῦ πλησίον· καὶ τὴν κεφαλὴν ἐπιστρέψας ἐξ ἐπεμβολῆς τοῦ πέρατος ἠσφαλίσατο τὴν ἐπίδεσιν· ἡ μὲν ἐπίνοια αἱρετὴ συνεργῆσαι δυναμένη τῇ μονῇ τοῦ διαπεπλασμένου μυκτῆρος, οὐκ ἐπὶ κεφαλῆς δὲ, ἐπείπερ εἴωθεν χαλατονεῖν· ὁρμηθεὶς δὲ ἀπὸ τῆς ἐπινοίας τοῦ θαυμασιωτάτου Ἱπποκράτους, ἐπιδέσμῳ ἐχρησάμην τοιούτῳ· στενοῦ τελαμωνιδίου, ὡς διδακτυλιαίου τῷ πλάτει, τὴν ἀρχὴν τάξας κατὰ τὴν κορυφὴν καὶ τὸ βρέγμα, ἤγαγον εὐθεῖαν κατὰ τοῦ μετώπου, ἀφ' ἧς ἐκ πλαγίων τῆς ῥινὸς ὑπὸ τὸν μυκτῆρα ἀπευθύνουσαν τὴν διαστροφήν· εἶθ' ὑπὸ λοβὸν ὠτὸς τοῦ πλησίον· ἀπὸ δὲ τούτου τοῦ τόπου ὑπ' ἰνίον· ἀπὸ ἰνίου κυκλοτερῆ περιείλισιν ὑπὸ λοβοὺς ὤτων καὶ τῆς ῥινὸς, πλησίον τοῦ σφαιρίου, ἅμα μὲν πρὸς κράτημα τῆς εὐθείας, ἅμα δὲ συναπευθύνουσα τὸν διαστραφέντα μυκτῆρα· μετὰ δὲ ταύτην, ἄλλην συντελέσας περιείλισιν, τοῦ τελαμωνιδίου πέρας ἐπεμβαλλόμενος τῇ κατ' ἰνίον κυκλοτερεῖ περιειλίσει, τὰς ἀρχὰς ἡμμάτισα πρὸς ἀλλήλας κατὰ τὸν τῆς κορυφῆς τόπον. P. 224.

## XXXIII. Κράτημα Ἡλιοδώρου.

Τοῦ τῆς ῥινὸς ὀστώδους ἀποτεθραμμένου καὶ διεστραμμένου μετὰ τὸν τοῦ κατάγματος διαπλασμὸν ὅλῃ τῇ ῥινὶ ἐπιτιθέντες πλησίον καταγματικῆς δυνάμεως ἢ ἄλλου τινὸς ἐπιθέματος δοκιμασθέντος τοῦ ἑκατέρωθεν τοῦ ὀστώδους προσπτυγματίοις παρα-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 117 sur 544

©BIU Santé



πεπληρωμένων, εἴωθεν ἐπιδέσει συνέχειν τὸ ἡρμοσμένον κά-
ταγμα· στενοῦ τελαμωνιδίου τὴν ἀρχὴν τάσσω κατὰ τὴν κο-
ρυφὴν καὶ τὸ βρέγμα· εἶτ' ἄγω λοξὴν κατὰ τὸ μέτωπον ἐκ
P. 225. πλαγίων || τοῦ τῆς ῥινὸς ὀστώδους· ἀπὸ δὲ τούτων, ἐπὶ τὸν πλη-
σίον τῶν χειλῶν χαλινόν· εἶτα ὑπὸ τὴν σιαγόνα ὑπὸ τὸν
ἀνθερεῶνα· ἀπὸ τοῦ ἀνθερεῶνος ἐπὶ ἰνίον· ἀπὸ ἰνίου ἄγω λο-
ξὴν ἐπὶ κορυφὴν καὶ τὸ βρέγμα ἀντικειμένην τῇ πρώτῃ· καὶ
πάλιν κατὰ τὰ πλάγια τοῦ ὀστώδους ὡς ἐπὶ τὸν ἕτερον χα-
λινόν· εἶθ' ὑπὸ τὸν ἀνθερεῶνα ἐπὶ τὸν αὐχένα καὶ τὸ ἰνίον·
καὶ ἀπὸ τοῦ ἰνίου μετωπιαῖα κυκλοτερὴς περιείλισις· καὶ πάλιν
ἐπ' ἰνίον ἀπὸ ἰνίου κατὰ μέσης τῆς ῥινὸς ὑπεράνω μυκτῆρος
πλησίον τοῦ ὀστώδους ὑπὸ τοὺς λοβοὺς τῶν ὤτων· εἶτα ἄλλη
μετωπιαῖα· καὶ πάλιν τὸ τοῦ δεσμιδίου πέρας ἐπεμβάλλεται ταῖς
κατ' ἰνίον κυκλοτερέσι περιειλίξεσιν· ἔπειτα πρὸς τὴν δια-
κρατουμένην ἀρχὴν ἁμματίζεται, καὶ κατὰ τὸν τῆς κορυφῆς
τόπον. Ἀπὸ τῆς ῥινὸς γινόμενος, ἐπὶ τὰ χείλη μέτειμι.

## XXXIV. Χειλοφύλαξ Ἡλιοδώρου.

Ἀγκτῆρα δεῖ τάξαι κατὰ τὸν τῆς κορυφῆς τόπον· ἔπει-
τα τελαμωνιδίου στενοῦ τὴν μεσότητα τῷ ἰνίῳ προσενεγκεῖν,
οὗ τὸ χάλασμα κατ' ἐναλλαγὴν ἐπὶ τὸ χεῖλος ἀγαγεῖν· καὶ
τότε διὰ τῶν σιαγόνων παρὰ τὰ μῆλα πλησίον τῶν ὤτων τὰς
ἀρχὰς ἀγαγεῖν ὑπεράνω ἰνίου, ὡς ἐπὶ τὰ ὀπίσθια τῆς κο-
ρυφῆς, ἃς καὶ ἐναλλάξαι, καὶ μετὰ τὸ χίασμα ὑπεράνω ὤτων
ἀγαγεῖν, καὶ κατὰ τὰ ἀπολήγοντα τοῦ βρέγματος ἁμμα-
τίσαι· ἐπὶ τέλει δὲ τὰς τοῦ ἀγκτῆρος ἀρχὰς ἁμματίσαι,
καὶ πρὸς ἀλλήλας διαδῆσαι· ἐπὶ δὲ τοῦ κάτω χείλους ἀγκ-
τῆρα δεῖ πλάγιον τάξαι κατὰ τὸν τῆς κορυφῆς, οὗ τὰς ἀρ-
χὰς ἐάσαι χαλασθῆναι κάτω· καὶ τότε μεσότητα τελαμῶνος
στενοῦ προσθεῖναι τῷ ἰνίῳ· ἔπειτα κατ' ἐναλλαγὴν εἰσα-

©BIU Santé



γαγεῖν τῷ χείλει· καὶ τότε ἐπὶ τὸ ἰνίον ἐνεγκεῖν· ἀπὸ δὲ τοῦ ἰνίου ὑπεράνω τῶν ὤτων, ὡς ἐπὶ τὰ ἀπολήγοντα τοῦ βρέγματος, καὶ κατὰ τοῦ μετώπου | ἁμματίσαι αὐτά· καὶ νῦν εἰ δὲ συνοχῆς χάριν τῆς ὅλης ἐπιδέσεως προκαταβεβλημένου ἀγκτῆρος τὰς ἀρχὰς κατὰ τὸν τῆς κορυφῆς τόπον ἁμματίσαι. P. 226.

## XXXV. Σχιστὸς ἐπὶ γενείου.

Τελαμῶνα δεῖ λαβεῖν αὐτάρκη ὄντα πρὸς τὴν ἐπίδεσιν· ἑκατέρωθεν ἐπιρρῆξαι κατὰ τὰ πλείονα μέρη εἰς σκέλη τέσσαρα· ἔπειτα τοῦ τελαμῶνος τούτου τὴν μεσότητα προσθεῖναι τῷ γενείῳ· καὶ τὰ ἄνω σκέλη διὰ τῶν σιαγόνων ἐπὶ ἰνίον ἀναγεῖν, καὶ ἁμματίσαι ἅμματι ἁπλῷ· τὰ δὲ κάτω σκέλη ἔμπροσθεν τῶν ὤτων διὰ τῶν κροτάφων ἐπὶ τὸ βρέγμα ἀναγεῖν, καὶ πάλιν πρὸς ἄλληλα ἁμματίσαι ἅμματι ἁπλῷ· ἔπειτα αὐτῶν ἐνηλλαγμένας τὰς ἀρχὰς κατὰ τὸν τῆς κορυφῆς τόπον διπλοῖς ἅμμασιν.

## XXXVI. Σχιστὸς ἐπὶ σιαγόνος ἀνθερεῶνος παρειῶν.

Ἐπίδεσμον δεῖ λαβεῖν ἑξασκελῆ· οὗ τὸ συνεχὲς μέρος ὑποθῇ τῷ ἀνθερεῶνι· δι' αὐτοῦ δὲ ἅμα καὶ τὰς παρειὰς ὅλας σκεπάσαι καὶ τὰς σιαγόνας· ἔπειτα δύο σκέλη τὰ ἐμπρόσθια ἔμπροσθεν τῶν ὤτων διὰ τῶν κροτάφων ἀναγεῖν ἐπὶ τὸ βρέγμα, καὶ πρὸς ἄλληλα ἁμματίσαι ἅμματι ἁπλῷ· ἁμματίων τὰς ἀρχὰς ἐνηλλαγμένας πρὸς ἀλλήλας διαδῆσαι τοῖς διπλοῖς ἅμμασιν· ἐπὶ τέλει δὲ δεῖ τὰ ὀπίσθια σκέλη ἀπὸ τοῦ ἰνίου κατ' ἐναλλαγὴν ὑπεράνω τῶν ὤτων ἀναγεῖν· καὶ κατὰ τὸ μέτωπον ἁμματίσαι· τούτῳ τῷ ἐπιδέσμῳ συνεχέστατα χρώμεθα ἐπί τε παρωτίδων καὶ χοιράδων καὶ τῶν ἄλλων τοπικῶν παθῶν.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 119 sur 544

### XXXVII. Φορβαὶ ἀπὸ γένυος καθ' ἓν μέρος ἐξαρθρηκυίας καὶ ἐπὶ τῶν κυνικῶς σπωμένων.

Εἰλίσαι δεῖ τὸν ἐπίδεσμον ἀπὸ δύο ἀρχῶν ἕως τῆς με-
σότητος· εἶτα αὐτοῦ μεσότητα προσθεῖναι τῷ ἰνίῳ· καὶ τότε
P. 227. τῷ ὑπηρέτῃ προσδοῦναι τὸ ἓν τοῦ || τελαμῶνος εἴλιμα· ἔπειτα
ἀπὸ τοῦ ἰνίου ἐκ τοῦ ἑτέρου εἰλίματος λοξὴν ἀναγεῖν καταβολὴν
ἐπὶ τὸ βρέγμα· ἀπὸ τοῦ βρέγματος εἰς εὐθεῖαν ἐπιτελέσαι·
παρειὰς δὲ ἀπευθύνουσαν γένυν· εἶτ' ἐπὶ τὸν ἀνθερεῶνα· ἀπὸ
τοῦ ἀνθερεῶνος ἀντικειμένην παρειάδα ἀποτελέσαι· καὶ τότε
ἐπὶ τὸ βρέγμα λοξὴν· εἶτ' ἐπ' ἰνίον· καὶ ταύτην μετὰ τὴν ἀρ-
χὴν προσδοῦναι τινὶ διακρατῆσαι· ἐκ δὲ τοῦ ἑτέρου εἰλίματος
τὴν μετωπιαίαν καὶ τὴν γενειάδα συντελέσαι· ἵνα καὶ αὗται
αἱ κυκλοτερεῖς περιειλίσεις ἀναλογίσασαι τῇ πρώτῃ παρειά-
δι, ἀπευθύνωσι τὴν στροφήν.

### XXXVIII. Φορβαία ἡ κυρίως ἀπὸ δύο ἀρχῶν πλεκομένη.

Ἀπὸ τῶν δύο ἀρχῶν εἰλιμένου τοῦ ἐπιδέσμου, ἡ τοῦ τελαμῶνος μεσότης ὑποτίθεται τῷ ἀνθερεῶνι· ἀπὸ τοῦ ἀνθερεῶνος ἀνάγονται δύο παρειάδες ἐπὶ τὸ βρέγμα, ἔνθα γίνονται δύο λοξαὶ χιαζόμεναι· εἶτ' ἐπ' ἰνίον· ἀπὸ ἰνίου δύο μετωπιαῖαι ἐναλλασσομένων τῶν ἀρχῶν, καὶ δύο γενειάδες· εἶτ' ἐπ' ἰνίον· καὶ τότε αἱ ἀρχαὶ κατὰ τὸν εἰρημένον τρόπον ἁμματίζονται· αὕτη ἡ ἐπίδεσις εὐθετεῖ ἐφ' ὧν κατὰ ἀμφότερα τὰ μέρη γένυς ἐξήρθρηκε, καὶ ἐπὶ τῶν ὅλον τὸ πρόσωπον κυνικῶς σπωμένων.

### XXXIX. Διεζευγμένος.

Οὗτος ὁ ἐπίδεσμος λέλεκται ἐκ τοῦ κυρίως ἀπὸ τῶν δύο

©BIU Santé



ἀρχῶν συντελουμένης φορβαίας ἐπιδέσεως, χωρὶς τῆς γενειάδος· εὐθετεῖ δὲ ἐπὶ τῆς κάτω γένυος καταγείσης.

## XL. Ἀπολλωνίου θηρὸς μόνῳ.

Τῆς ἀρχῆς τοῦ τελαμῶνος ἐκ πλαγίων τῆς κεφαλῆς δια-
κρατουμένης, ἀπὸ ἰνίου ἄγεται λοξὴ ὑπὸ λοβὸν ὠτὸς τοῦ πλη-
σίον· ἔπειτα κατὰ τοῦ ὀφθαλμοῦ τοῦ δεομένου σκέπης· ἀπὸ δὲ
τούτου ἐπὶ τὸ μέτωπον καὶ τὸ βρέγμα ἄγεται· εἶτα ἐπὶ ἰνίον·
ἐπὶ τέλει δὲ ἅμματα γίνεται κατὰ τὰ ἀπολήγοντα τοῦ βρέγ-
ματος· ὁ ἐπίδεσμος οὗτος εὐθετεῖ πρὸς ἐπίδεσιν τῶν ἐκ πλα-
γίων τῆς γένυος τοῦ | κατὰ τὴν σιαγόνα γεγονότος κατάγμα- P. 228.
τος· ἀλλὰ δὴ καὶ πλησίον τοῦ ὀφθαλμοῦ δεομένου σκέπους.

## XLI. Ἡμίτομος.

Πάλιν τῆς ἀρχῆς τοῦ ἐπιδέσμου ὡσαύτως κρατουμένης κατὰ τὰ ἀντικείμενα μέρη τοῦ ἰνίου, ἀπὸ ἰνίου ἄγεται λοξὴ ἐπὶ κορυφὴν καὶ βρέγμα, ἀφ' ἧς παρειὰς γίνεται· εἶθ' ὑπὸ τὸν ἀνθερεῶνα ὁ τελαμὼν ἄγεται· ἀπὸ δὲ τοῦ ἀνθερεῶνος λοξὴ πλησίον τοῦ χαλινοῦ ἐκ πλαγίων τῆς τῆς ῥινὸς ὀστώδους· καὶ τὸ ἐπὶ τὸ μέτωπον καὶ τὸ βρέγμα· εἶτ' ἐπὶ ἰνίον· ἀπὸ ἰνίου μετωπιαῖα κυκλοτερὴς περιείλισις· καὶ πάλιν ἐπ' ἰνίον· ἀπὸ ἰνίου γενειάς· εἶτ' ἐπ' ἰνίον· τὸ δὲ ἅμμα γίνεται κατὰ τα ἀπολήγοντα τοῦ βρέγματος· οὗτος ὁ ἐπίδεσμος ἀναγέγραπται ἐπὶ τῶν κυνικῶς σπωμένων, καθ' ἓν μέρος ἐξηρθρηκυίας γένυος.

## XLII. Ἐπάνεσις.

Ἐπὶ προπλακέντι τῷ λαγωῷ ἐπιδέσμῳ χωρὶς τοῦ ἀμματισμοῦ, ἐκείνη ἐπάνεσις· ἀπὸ ἰνίου λοξὴν ἐπὶ κορυφὴν καὶ βρέγ-

μα· ἔπειτα δὲ δύο παρειάδες· καὶ τότ' ἐπ' ἰνίον, πάλιν τοῦ ἅμματος ἐπὶ τέλει τοῦ ἐπιδέσεως, κατὰ τὰ ἀπολήγοντα τοῦ βρέγματος γινομένου· εὐθετεῖ δὲ ἡ ἐπίδεσις αὕτη ἐπὶ τοῦ κάτω γένυος καταγείσης, καὶ ἐπὶ τῶν κατὰ τὰς ῥαφὰς διαστημάτων.

## XLIII. Φάλαραι.

Ἐπὶ τετελειωμένῃ τῇ ἐπανέσει, οὗτος ὁ ἐπίδεσμος ἔχει περισσὴν ἀπὸ ἰνίου κυκλοτερῆ περιείλισιν ἀγομένων κατὰ τοῦ γενείου· εὐθετεῖ δὲ ἐφ' ὧν ἡ ἐπάνεσις σπουδαζόντων ἡμῶν συνεπιδῆσαι τὸ γένειον.

## XLIV. Γλαυκίου ῥόμβος φάλαρα.

Τοῦ τελαμῶνος ἀπὸ τῶν δύο ἀρχῶν εἰλιμένου, ἡ μεσότης αὐτοῦ προστίθεται τῷ ἰνίῳ· ἔπειτα ἀπάγονται δύο λοξαὶ ὑπὸ λοβοὺς ὤτων κατὰ τῶν ὀφθαλμῶν ὡς ἐπὶ τὸ βρέγ-
P. 229. μα· καὶ ἔνθα δὲ γίνεται χίασμα· εἶτ' ἐπ' ἰ||νίον· ἀπὸ ἰνίου δύο κυκλοτερεῖς, μετωπιαῖα καὶ γενειάς· πάλιν δὲ τὸ ἅμμα ὑπεράνω μετώπου γίνεται· οὗτος ὁ ἐπίδεσμος εὐθετεῖ πρὸς ἐπίδεσιν τῶν σιαγόνων καὶ τῶν ὀφθαλμῶν.

## XLV. Στάχυς.

Ὁ ἐπίδεσμος οὗτος πλέκεται τρόπῳ τούτῳ· ἀρχὴ τοῦ τελαμῶνος ἐπερρηγυῖα εἰς ἀρχὰς δύο, ὅταν ἁμματίζηται· καὶ ἐπίδεσις τάσσεται ὑπὸ τὴν ἀντικειμένην μασχάλην, ὡς ἐπὶ τὸν μασθόν· εἶτα ἐξόπισθεν ἄγεται λοξὴ καταβολὴ κατὰ τοῦ νώτου, ὡς ἐπὶ ὠμοπλάτην, σφαγὴν, κλεῖδα τὴν κατὰ τὸ πάσχον μέρος· εἶθ' ὑπειλεῖται τῇ μασχάλῃ· ἀπὸ τῆς μασχάλης, ἀνάγεται ὡς ἐπὶ ὠμοπλάτην, καὶ κλεῖδα τὴν αὐτὴν ὡς ἐπὶ

©BIU Santé

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 122 sur 544

τὸ στῆθος, καὶ τὴν ἀντικειμένην μασχάλην· χιάσματος γεγονότος κατὰ τὴν σφαγήν· ἡ δὲ τῆς ἐπιδέσεως νομὴ κατὰ τῶν αὐτῶν γίνεται πρὸς τὴν τῶν γυμνῶν σκέπην· ἐπὶ τέλει δὲ μία κυκλοτερὴς δοκιμάζεται περιείλισις κατὰ τοῦ νώτου καὶ τοῦ στήθους· τὸ δὲ πέρας τοῦ τελαμῶνος ἐπιρρήγνυται· καὶ τότε αἱ ἀρχαὶ πρὸς ἀλλήλας κατὰ τὸ στῆθος ἁμματίζονται· οὗτος ὁ ἐπίδεσμος εὐθετεῖ πρὸς ἐπίδεσιν νώτου ὠμοπλάτης, σφαγῆς, κλειδὸς, μασχάλης.

## XLVI. Γερανίς.

Ἐπιτετελειωμένῳ τῷ στάχυϊ ἐπιδέσμῳ, χωρὶς τῆς κατὰ τοῦ νώτου καὶ τοῦ στήθους κυκλοτεροῦς περιειλίσεως, ἔχει ἡ γερανὶς ἐπίδεσις ἀπὸ τῆς ἀντικειμένης μασχάλης κυκλοτερῆ περιείλισιν μεταγομένην κατὰ τοῦ βραχίονος, συνέχουσαν τὸν βραχίονα πρὸς τὰς πλευράς· εὐθετεῖ δὲ ἐπὶ τοῦ ἐξηρθρηκότος ὤμου κατηρτισμένου πρὸς τὴν τοῦ ἄρθρου συνοχὴν καὶ ἐπὶ καταγείσης κλειδός· εἴωθε δὲ τὴν αὐτὴν ἐπίδεσιν ἀσφαλέστερον πλέκειν· μετὰ γὰρ τὴν κυκλοτερῆ περιείλισιν, ἀπὸ ἀντικειμένης μασχάλης | λοξὴν ἄγων κατὰ τοῦ νώτου, ὠμοπλάτης, σφαγῆς, κλειδός· εἶθ' ὑπειλῶ τὴν μασχάλην συνέχων τὴν εἰρημένην κυκλοτερῆ περιείλισιν· καὶ τότε πάλιν φέρων ἐπὶ ὠμοπλάτην, σφαγὴν, κλεῖδα τὴν αὐτήν· εἶτ' ἐπὶ στῆθος καὶ τὴν ἀντικειμένην μασχάλην· ἐπὶ τέλει δὲ κυκλοτερῆ περιείλισιν ἐργασάμενος κατὰ τὸ στῆθος ἁμματίζω τὰς ἀρχάς. P. 230.

## XLVII. Θώραξ.

Ἡ τοῦ τελαμῶνος ἀρχὴ τάσσεται ὑπὸ τὴν ἀντικειμένην τῆς ἀριστερᾶς μασχάλης, καὶ ἐπάγεται λοξὴ κατὰ τοῦ νώτου, ὠμοπλάτη, σφαγὶς κλειδὸς δεξιᾶς· καὶ ὑπειλεῖται τῇ μασ-

©BIU Santé

©BIU Santé



χάλῃ, καὶ ἄγεται κατ' αὐτῶν, ὡς ἐπὶ τὸ στῆθος καὶ τὴν ἀντικειμένην μασχάλην· ἀπὸ τῆς μασχάλης ἄγεται λοξὴ καταβολὴ κατὰ τῆς ἀριστερᾶς ὠμοπλάτης· εἶτ' ἐπὶ τὴν κατὰ κλεῖδα φέρεται κατὰ τοῦ στήθους ὑπὸ τὴν δεξιὰν μασχάλην· ἀφ' ἧς ἀνάγεται λοξὴ κατὰ τοῦ νώτου ἐπ' ἀριστερὰν ὠμοπλάτην, σφαγὴν, κλεῖδα, μασχάλην· ἵνα γένηται χιάσματα τέσσαρα· ὧν δύο μὲν κατὰ τὰς κλεῖδας· τῶν δὲ λοιπῶν δύο τὸ μὲν ἐμπρόσθιον κατὰ τὸ στῆθος, τὸ δὲ ὀπίσθιον κατὰ τὸν νῶτον· ἡ δὲ αὐτὴ τῆς ἐπιδέσεως γινέσθω νομὴ πρὸς τὴν τῶν γυμνῶν σκέπην· ἐπὶ τέλει δὲ μία ὀφείλει δοκιμασθῆναι κυκλοτερὴς περιείλισις, ἵνα κατὰ τὸ στῆθος γένηται τὰ ἅμματα· εὐθετεῖ δὲ ὁ ἐπίδεσμος οὗτος πρὸς ἐπίδεσιν ὤμων, κλειδῶν, μασχαλῶν, στήθους.

## XLVIII. Στηθόδεσμις.

Δύο τελαμωνίδια δεῖ λαβεῖν· ἔπειτα τούτων, τὰ μὲν
ἐπιθεῖναι σφαγαῖς· εἶτα κλεῖς, καὶ ὠμοπλάτῃ· τὰς δὲ ἀρχὰς χα-
λασθῆναι ἐάσαι κάτω· καὶ τότε τῷ εἰλιτῷ ἐπιδέσμῳ εἰλίσαι, καὶ
σκεπάσαι τὸν νῶτον καὶ τὸν θώρακα· ἔπειτα ἁμματίσαι αὐ-
τοῦ τὰς ἀρχάς· ἢ τὸ πέρας καταῤῥάψαι πρὸς τὰς κυκλοτρεεῖς
P. 231. περιειλίσεις· καὶ τότε τὰς τῶν || τελαμωνιδίων ἀρχὰς ἀγαγεῖν, καὶ
κατὰ τὰς σφαγὰς ἁμματίσαι· οὗτος ὁ ἐπίδεσμος εὐθετεῖ πρὸς
ἐπίδεσιν νώτου τε καὶ θώρακος.

## XLIX. Ῥαπτὸς ἀνάδεσμος ἐπὶ μασθοῦ.

Τελαμῶνα λαβόντες πλάτει μήκει ἱκανὸν ἐξαρκέσαι πρὸς τὴν ἐπίδεσιν, διπλώσαντες αὐτὸν κατὰ μέσα συῤῥάπτομεν ἀπὸ τῆς διπλόης κάτω λοξὸν σχῆμα· ἔπειτα τὸ ἐπὶ τὴν συῤῥαφὴν αὐτοῦ μέρος ἀποψαλίσαντες, ἵν' εὐρυχωρία γένηται πι-

©BIU Santé



λοειδὴς δυναμένη χωρῆσαι τὸν μαστὸν σὺν τοῖς σκεπάσμασι· τούτου τὰς ἀρχὰς εἰς τέσσαρα ῥήξαντες δύο καὶ δύο, τῷ ἀντικειμένῳ μέρει τῆς συῤῥαφῆς τῷ ὡσανεὶ χείλει τοῦ ὀθονείου, τελαμῶνα ὡσανεὶ διδακτυλιαῖον τῷ πλάτει παρὰ μέρος προσραπτομένῳ, τὴν μὲν μακροτέραν ἔχοντα ἀρχὴν, τὴν δὲ κολοβωτέραν· ὁ δὲ τελαμὼν οὗτος ζώνη λέγεται μέν· παρασκευῇ τοιᾷδε περιτίθεται τῷ μαστῷ· τὸ τοῦ ἀναδέσμου χώρημα πρὸς τὴν σκέπην αὐτοῦ· ἔπειτα τὸ μακρότερον μέρος τῆς ζώνης ἐπὶ τὴν ῥάχιν ἄγεται· καὶ ἐπὶ τὸν ὑγιῆ μαστὸν πρὸς τὴν κολοβωτέραν ἀρχὴν ἐμματίζεται· τῶν δὲ σκελῶν, δύο τὰ ἐμπρόσθια ἀνάγεται· καὶ τῷ τένοντι κατ' ἐναλλαγὴν παρειλεῖται· τὰ δὲ λοιπὰ δύο πρὸς τὰς παρειμένας ἀρχὰς ἁμματίζεται.

### L. Εἱλιτὸς ἐπίδεσμος ἐπὶ μαστῶν.

Μακροτέρου τελαμῶνος τῷ πλάτει αὐτάρκους ὄντος πρὸς τὴν χρείαν, ἡ μία ἀρχὴ ῥήγνυται εἰς δύο σκέλη· τάσσεται δὲ κατὰ τὸν ἀντικείμενον πλησίον τοῦ ὑγιοῦς μαστοῦ· εἶτα ἀπὸ ῥαχέως ἄγεται λοξὴ κατὰ τοῦ πεπονθότος μαστοῦ, καὶ τῷ ὑγιεῖ ὑπειλεῖται· εἶτ' ἐπὶ ῥάχιν ἀπὸ ῥαχέως ἐπὶ τὸν πεπονθότα μαστὸν ἄνω, ὡς ἐπὶ τὰ ὑγιῆ λοξὴ, ἵνα γένηται χίασμα κατὰ τὸ μεσομάζιον· ἀπὸ τούτου ἐπὶ ῥάχιν αἱ ἐπινομαὶ | κατὰ τῶν αὐτῶν πρὸς τὴν τῶν γυμνῶν σκέπην· τὸ δὲ πέρας τοῦ τελαμῶνος ῥήγνυται· καὶ τότε τὰ σκέλη πρὸς ἄλληλα ἁμματίζεται· οὐ μὲν ἅμματος ὑπὸ τὸν ὑγιῆ μαστὸν γινομένου, οὐδὲ ὑπεράνω τούτου. P. 232.

### LI. Ἐπὶ τοῦ ἀγκῶνος.

Εἱλιτῷ ἐπιδέσμῳ τοιούτῳ χρώμεθα· τοῦ τελαμῶνος τὴν ἀρχὴν προστεθέντος τοῦ βραχίονος κατὰ τὰ ἀπολήγοντα μέρη τὰ πλησιάζοντα τῷ ἀγκῶνι, κυκλοτερῆ περιείλισιν ἐργα-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 125 sur 544

©BIU Santé



ζόμενοι τοπικὴν λοξὴν ἄγομεν καταβολὴν κατὰ τὸν ἐμπρόσθιον τόπον τοῦ ἀγκῶνος, καθ᾽ ὃν αἱ φλεβοτομίαι γίνονται· καὶ τῷ πήχει ὑπειλοῦντες ἀνάγομεν λοξὴν ὡς ἐπὶ τὸν βραχίονα, ἵνα γένηται χίασμα κατὰ τὸν ἐμπρόσθιον τόπον τοῦ ἀγκῶνος· ἡ δὲ τῆς ἐπιδέσεως νομὴ κατὰ τῶν αὐτῶν ὀφείλει γενέσθαι πρὸς τὴν τῶν γυμνῶν σκέπην, ἀεὶ τοῦ ἅμματος ἐκ πλαγίων τοῦ ἀγκῶνος γενομένου· κοινότερον δὲ ὅ τε βραχίων καὶ ὁ πῆχυς, πάντα τε τὰ κῶλα, ταῖς κυκλοτερέσι περιειλίσεσι ἐπιτελεῖσθαι ὀφείλει· μεθ᾽ ὧν ἔσθ᾽ ὅτε καὶ ταῖς ἐπαγομέναις γλωσσίαις καταβολαῖς πρὸς τὴν τῆς ἐπιδέσεως ἀσφάλειαν· τουτέστι τοῦ ἐπιδέσμου τοῦ πέρατος ἢ καταῤῥαπτομένου ἢ στενοῦ τελαμωνιδίου καταλαμβανομένου ἢ ῥηγνυμένου, ἵνα τὰ δύο σκέλη ἐνηλλαγμένα κατὰ τὸ ἕτερον μέρος τοῦ κώλου ἁμματισθῇ.

## LII. Ἔξακρος Μενεκρίτου.

Ἡ ἀρχὴ τοῦ ἐπιδέσμου τάσσεται κατὰ τὰ ἀπολήγοντα
τοῦ πήχεως πλησίον καρποῦ· καὶ μετὰ μίαν τοπικὴν κυκλοτερῆ
περιείλισιν ἄγεται λοξὴ κατὰ τοῦ μετακαρπίου· εἶθ᾽ ὑπειλεῖται
τῷ κοίλῳ τῆς χειρός· ἀφ᾽ οὗ ἀνάγεται λοξὴ ἀντικειμένη τῇ
P. 233. πρώτῃ, ἵνα χίασμα γένηται κατὰ τὸ μετακάρπιον· || ἀπὸ δὲ
τοῦ μετακαρπίου, ἐπὶ τὸν καρπόν· πάλιν δὲ ἡ τῆς ἐπιδέσεως
νομὴ, κατὰ τὸν αὐτὸν γίνεται πρὸς τὴν τῶν γυμνῶν σκέπην·
οὗτος ὁ ἐπίδεσμος εὐθετεῖ πρὸς ἐπίδεσιν τοῦ καρποῦ καὶ τοῦ
μετακαρπίου.

## LIII. Καρκίνος.

Στενοῦ τελαμωνιδίου ὡσεὶ διδακτυλιαίου ἀρχὴ προστίθεται τῷ καρπῷ καὶ τῷ κοίλῳ τῆς χειρός· ἔπειτα ἄγεται λοξὴ ἔσωθεν ἔξω ὡς ἐπὶ τὸν μέγαν δάκτυλον· εἶτ᾽ ἔξωθεν ἄλλη λο-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 126 sur 544

ξὴ κατὰ τοῦ δακτύλου, ὡς ἐπὶ τὸν καρπὸν ἀντικειμένη τῇ πρώ-
τῃ, ἵνα γένηται χίασμα κατὰ τὰ ἔξω μέρη τοῦ ἀντίχειρος δακ-
τύλου· κατὰ δὲ τῶν αὐτῶν ἡ ἐπίδεσις πρὸς τὴν τῶν γυμνῶν
σκέπην· ἐπὶ τέλει δὲ μία γίνεται κυκλοτερὴς περιείλισις περὶ
τὸν καρπὸν ὅπου καὶ τὸ ἅμμα· οὗτος ὁ ἐπίδεσμος εὐθετεῖ πρὸς
ἐπίδεσιν τοῦ μεγάλου δακτύλου τοῦ ἀντίχειρος λεγομένου.

## LIV. Ἁπλοῦς βουβωνίσκος, ὃν τινες καρκίνον ἐπὶ βουβῶνος προσηγόρευσαν.

Ἡ ἀρχὴ τοῦ ἐπιδέσμου κατὰ τὴν ἀντικειμένην λαγόνα
τάσσεται· ἔπειτα ἀπὸ τῆς ὀσφύος ἄγεται λοξὴ κατὰ τοῦ βουβῶνος
τοῦ δεομένου σκέπης· καὶ τότε ὑπειλεῖται τῷ ἀκρισχίῳ· ἀπὸ τοῦ ἀκρισ-
χίου ἀνάγεται ἐπὶ τὸν αὐτὸν βουβῶνα καὶ τὸ ἦτρον, ἵνα γένη-
ται χίασμα· ἀπὸ τοῦ ἤτρου ἐπὶ τὴν ἀντικειμένην λαγόνα· ἡ δὲ
τῆς ἐπιδέσεως νομὴ κατὰ τῶν αὐτῶν γίνεται πρὸς τὴν τῶν γυμ-
νῶν σκέπην· καὶ τότε μία κυκλοτερὴς περιείλισις δοκιμάζεται
περὶ τὴν ὀσφύν· καὶ τὸ ἦτρον τῶν ἁμμάτων γινομένων κατὰ τὸ
ἦτρον· οὗτος ὁ ἐπίδεσμος εὐθετεῖ πρὸς ἐπίδεσιν βουβῶνος.

## LV. Διπλοῦς βουβωνίσκος.

Ἐπιτετελειωμένῳ τῷ ἁπλῷ βουβωνίσκῳ, χωρὶς τῆς κυκλο-
τεροῦς, ὁ διπλοῦς ἔχει ἀπὸ τῆς ὀσφύος λοξὴν καταβολήν, ὡς
ἐπὶ τὸ ἦτρον καὶ τὸν ἕτερον βουβῶνα· εἶτα ὑπὸ τὸ ἀκρίσχιον·
ἀπὸ τοῦ ἀκρισχίου | ἐπὶ τὸν αὐτὸν βουβῶνα· ἵνα καθέτερον φαί- P. 234.
νηται χίασμα· εἶτ' ἐπὶ τὴν ὀσφύν· ἡ δὲ δευτέρα πλοκὴ κατὰ τῶν
αὐτῶν γίνεται πρὸς τὴν τῶν γυμνῶν σκέπην· οὗτος ὁ ἐπίδεσ-
μός ἐστιν ἐπιτήδειος πρὸς τὴν τῶν δύο βουβώνων ἐπίδεσιν, ἐπὶ
τέλει τῆς πλοκῆς τῆς κυκλοτεροῦς περιειλίσεως δοκιμαζόμενος.

©BIU Santé

## LVI. Βουβωνοφύλαξ.

Εἰλιτοῦ ἐπιδέσμου πρὸς μίαν ἀρχὴν ὡς ἐπὶ τριπαλαί-
στου διαστήματος, εὐθὺς τελαμὼν προσράπτεται, πηχῶν δύο τὸ
μέγεθος ἔχων· τούτου τοῦ ἐπιδέσμου ἡ ἀρχὴ τάσσεται κατὰ τὴν
ἀντικειμένην λαγόνα· ἔπειτα εὐθὺς τελαμὼν ἐξόπισθεν ἀπὸ
τῆς ὀσφύος καὶ τοῦ γλουτοῦ ὑπάγεται τῷ περιναίῳ· ἀπὸ τοῦ περι-
ναίου ἄγεται ἐπὶ βουβῶνα τὸν δεόμενον σκέπης· τούτου δὲ τοῦ τε-
λαμῶνος ἀνατεινομένου, ἀπὸ δὲ τοῦ εἰλιτοῦ ἐπιδέσμου ἐπάγονται
δύο ἢ τρεῖς κυκλοτερεῖς περιειλίσεις· καὶ τότε ὁ τελαμὼν καθ-
έλκεται δι' αὐτοῦ, ὡς ὑπὸ ἅμματος, ἅμα ταῖς κυκλοτερέσι
περιειλίσεσι πιεζομένου τοῦ βουβῶνος· εἶθ' ὑπειλεῖται τῷ ἀκρισ-
χίῳ· ἀπὸ δὲ τούτου ἀνάγεται ἐπὶ τὸν αὐτὸν βουβῶνα καὶ τὸ
ἦτρον· καὶ τότε ἐκ τοῦ εἰλιτοῦ ἐπιδέσμου ἢ τοῦ ἁπλοῦ βουβω-
νίσκου γίνεται πλοκὴ τῶν ἁμμάτων συντελουμένων κατὰ τὸ ἦτρον·
ἄριστός ἐστιν ὁ ἐπίδεσμος οὗτος ἐπὶ βουβωνοκήλης τῆς χειρουρ-
γίας ὑπέρθεσιν ἐχούσης.

## LVII. Ῥαπτὸς ἐπὶ ἕδρας.

Τελαμῶνα δεῖ λαβεῖν πλάτει μήκει ἱκανὸν, πρὸς τὴν δη-
λουμένην ἐπίδεσιν· πρὸς μίαν ἀρχὴν ἄλλος πλάγιος στερεώ-
τερος τελαμὼν προσράπτεται, ὡς τριδακτυλιαῖος τῷ πλάτει·
ζώνη δὲ οὗτος καλεῖται· ἀπὸ διαστήματος τῆς ζώνης ὡς ἐπὶ
σπιθαμιαίου, ἄλλος πλάγιος τελαμὼν προσράπτεται ὁμοιοπλα-
P. 235. τὴς τῇ ζώνῃ· οὗ τα ἑκατέρωθεν μέρη καλεῖται πα||ρασκέλια·
τὸ δὲ ἕτερον πέρας τοῦ εὐθέως τελαμῶνος τὸ τῇ συῤῥαφῇ ἀντι-
κείμενον, εἰς δύο ῥήγνυται σκέλη· τῇ ζώνῃ περιχάσκων ζώννυ-
ται ὁ πάσχων· καὶ τότε εὐθὺς τελαμὼν ἀπὸ τῆς ὀσφύος ἄγεται
ἐπὶ τὴν ἕδραν καὶ τὸ περιτόναιον· οὗ τὰ σκέλη διὰ τῶν βου-
βώνων ἀναχθέντα ἐπεμβάλλεται τῇ ζώνῃ· καὶ τότε παρασκέ-

λια ἀνάγεται τεταμένα· καὶ τότε τῇ αὐτῇ ζώνῃ ἐπεμβληθέντα πρὸς τὰς τῶν σκελῶν ἀρχὰς ἁμματίζεται. Τούτῳ (1) τινὲς τῷ ἐπιδέσμῳ χωρὶς τῶν παρασκελίων ἐπὶ τῶν λελιθοτομημένων ἐχρήσαντο· ἡμεῖς δὲ αὐτὸν παραιτούμεθα διὰ τὰς ἐκ τῶν ῥαμμάτων ἀνωμαλίας, ἵνα μὴ θλίβηται τὸ ἦτρον· πιεζομένη γὰρ ἀνωμάλως ἡ κύστις, εἰς φλεγμονὴν περιίσταται· χρώμεθα δὲ ἡμεῖς ἐπὶ τῶν λελιθοτομημένων ἐπιδέσμῳ τῷ μικρῷ πρόσθεν ἐπὶ βουβωνοκήλης ἱστορημένῳ, κολοβώτερον εὐθὺ τελαμῶνα συῤῥάπτοντες, καὶ κατὰ τὸ πέρας δύο σκέλη ῥηγνῦντες, οἷς κατὰ πολὺ ἔστι τοῦ ἑδρικοῦ αἱρετώτερος· τῷ γὰρ εἰλιτῷ ἐπιδέσμῳ κατὰ κύκλον περιειλημένῳ, σκέπεται ὅλον τὸ ἦτρον καὶ ἡ ὀσφὺς, οὗ τὸ πέρας καταῤῥάπτεται πρὸς τὰς κατὰ τὸ ἦτρον κυκλοτερεῖς περιειλίσεις· καὶ τοῦ εὐθέως τελαμῶνος τὸ συνεχὲς μέρος ἀπὸ τῆς ὀσφύος ἄγεται ἐπὶ τὴν ἕδραν καὶ τὸ περίναιον· καὶ τότε καὶ τὰ σκέλη διὰ βουβώνων ἀχθέντα προσράπτεται ταῖς κυκλοτερέσι περιειλίσεσι· σπουδαῖον ἐστὶν ὁ ἐπίδεσμος οὗτος ἐπὶ τῶν λελιθοτομημένων.

## LVIII. Σχιστὸς ἐπὶ ὀσχέου.

Τελαμῶνα δεῖ λαβεῖν πλάτει μήκει ἱκανὸν, δυνάμενον ἐξαρκέσαι πρὸς τὴν δηλουμένην ἐπίδεσιν· ἔπειθ' ἑκατέρωθεν αὐτὸν ῥῆξαι εἰς σκέλη τέσσαρα καὶ τέσσαρα, ὀκτὼ τὰ πάντα, τῶν δεδηλωμένων σκελῶν· ἃ μὲν κολοβώτερα γινέσθω, ἃ δὲ μακρότερα· ὑπὸ δὲ μέσοις τοῖς κολοβωτέροις σκέλεσιν, ὁ τελαμὼν ἐκκοπτέσθω | ἐκκοπῇ ἀναλογούσῃ τῇ τοῦ καυλοῦ περιοχῇ P. 236.
πρὸς τὴν χρείαν· ζώνῃ δὲ περιζωννύσθω ὁ πάσχων· καὶ τότε τοῦ τελαμῶνος δύο τὰ μέσα κολοβώτερα σκέλη ἐπεμβληθέντα τῇ ζώνῃ ἁμματιζέσθω πρὸς ἄλληλα· τὰ δὲ λοιπὰ δύο σκέ-

(1) Ἀπὸ τοῦ αὐτοῦ λόγου.



©BIU Santé

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 129 sur 544

λῃ τῇ αὐτῇ ζώνῃ ἐπεμβληθέντα ἐάσθω παρειμένα· ἔπειθ᾽ ὁ καυλὸς διὰ τῆς ἐκκοπῆς ἐκλαμβανέσθω· ὁ δὲ ὅλος ὀσχέος τῷ συνεχεῖ μέρει τοῦ τελαμῶνος σκεπέσθω· καὶ τότε τῶν κάτω παρειμένων, τῶν μακροτέρων σκελῶν δύο τὰ ἔξω κατ᾽ ἐναλλαγὴν παρειλιθέντα τῷ ὀσχέῳ τῇ αὐτῇ ζώνῃ ἐπεμβληθέντα, ὡς τὰ πρῶτα ἐάσθω παρειμένα· τὰ δὲ λοιπὰ δύο τὰ μέσα πάλιν τῷ ὀσχέῳ κατ᾽ ἐναλλαγὴν ὑπειλιθέντα, διὰ τῶν ἀκρισχίων ἀναγέσθω· καὶ τῇ αὐτῇ ζώνῃ ἐπεμβληθέντα πρὸς τὰς παρειμένας ἀρχὰς τῶν πρώτων σκελῶν ἁμματιζέσθω.

## LIX. Πρὸς κράτημα κώλου ἐν καταρτισμοῖς.

Ἁπλοῦς ἐπίδεσμος ἀναγέγραπται τοῦ κώλου, ὡς τοῦ βραχίονος ἀσφαλιζομένου πρός τι, ὡς πρὸς κλιμάκιον καὶ μῆκος ἢ διάπηγμα στασίμου ὀργάνου ἢ ἄλλου τινὸς τῶν ὁμοίων, ἡ ἀρχὴ τῆς κηρίας ἄνω τάσσεται· ἄγεται λοξὴ κατὰ τοῦ κώλου, καὶ τῷ διαπήγματι ὑπειλεῖται· εἶτα ἄνω ἄγεται ἄνωθεν κάτω λοξὴ ἀντικειμένη τῇ πρώτῃ· δὶς ἢ τρὶς αὐτὰ γίνεται· καὶ τότε ἄνω τὸ ἅμμα.

## LX. Εὔκυλος, οἱ δὲ Ἱπποκράτους εὔκυκλος. (1)

Οὗτος ὁ δεσμὸς ἐπί τινος κώλου κυκλοτερέσι περιειλίσεσιν ἐπαγόμενος συντελεῖται· κατὰ ταῦτα δὲ καὶ οὗτος εὐθετεῖ πρὸς κράτημα κώλου ἐν καταρτισμοῖς· μᾶλλον δὲ δεδοκίμασται πρὸς παρακόλλησιν ἀφεστώτων σωμάτων τῇ τεχνικῇ παρατηρήσει τῆς ἐπιδέσεως γινομένης· κάτω μὲν γὰρ ὄντος τοῦ στομίου καὶ τῶν ἀφεστώτων, ἄνωθεν κάτω ἡ τῆς ἐπιδέσεως γίνεται νομή· ἵνα τὰ μὲν
P. 237. ὑγρὰ ἐκκρίνηται, τὰ δὲ ἀφεστῶτα προσπίπτῃ || πρὸς τὴν πα-

(1) Ita bis εὔκυκλος heic et in summariis capitum.

©BIU Santé



ρακόλλησιν· κάτω δὲ τοῦ στομίου ὄντος, κάτωθεν ἄνω ἐκκρίνηται ἡ ἐπίδεσις· ὅταν δὲ ἢ τὰ πλάγια ἀφεστῶτα σώματα, ἀπ' αὐτῶν ἄγονται περιειλίσεις, ὡς ἐπὶ τὸ στόμιον πρὸς τὴν τῶν ὑγρῶν ἔκκρισιν.

## LXI. Ἰσοσκελὴς ῥόμβος.

Οὗτος ὁ ἐπίδεσμος ἐπὶ τοῦ μηροῦ ἀναγέγραπται, τραύματος ὄντος κατά τι τοῦ μηροῦ μέρος καὶ τῶν πλησίον σωμάτων· συντελεῖται δὲ τρόπῳ τοιούτῳ· κατὰ τὰ κάτω μέρη τοῦ ἕλκους ὑπὲρ τὸ γόνυ γίνεται κυκλοτερὴς περιείλισις, ἀφ' ἧς ἀνάγεται λοξὴ ἐκ πλαγίων τοῦ ἕλκους· καὶ πάλιν ἄνω γίνεται κυκλοτερὴς περιείλισις, ἀφ' ἧς ἀνάγεται λοξὴ κάτω, ἵνα γένηται χίασμα· ἔπειτ' ἐκ διαστήματος συμμέτρου παρὰ τὸ ἕλκος ἄλλαι δύο λοξαὶ, ἡ μὲν κάτωθεν ἄνω, ἡ δὲ ἄνωθεν κάτω· ἵνα γένηται δύο χιάσματα μέσος ῥόμβος κατὰ τὸ ἕλκος· ὥστε διὰ τοῦ μέσου διαστήματος γεγυμνωμένου τοῦ τόπου, τὴν τῶν ὑγρῶν ἔκκρισιν γίνεσθαι· ἡ δὲ νομὴ κατὰ τῶν αὐτῶν ὀφείλει γίνεσθαι πρὸς τὴν τῶν γυμνῶν σκέπην· ὥστε τὰ μὲν ἀφιστάμενα διὰ τῆς ἐπιδέσεως πειθηνίως ἄγεσθαι πρὸς παρακόλλησιν· γεγυμνωμένου δὲ τοῦ ἕλκους, τὰ συλλεγόμενα ὑγρὰ ἐκκρίνεσθαι.

## LXII. Ἀνισοσκελὴς ῥόμβος.

Ἐπιτετελειωμένῳ τῷ προσκειμένῳ ἐπιδέσμῳ ἔχει ὁ ἐπίδεσμος οὗτος, καὶ κατὰ τοῦ ἕλκους ἀγομένας λοξὰς καταβολάς· τούτῳ δὲ ἐχρήσαντο ἅμα βουληθέντες σκεπάσαι τὸ ἕλκος.

## LXIII. Σκέπαρνος.

Οὗτος ὁ ἐπίδεσμος ἀναγέγραπται ὑπὸ τῶν χρησαμένων



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 131 sur 544

αὐτῷ, ἐφ' ὧν ἕλκους ὄντος κατά τι μέρος τοῦ μηροῦ, τὰ γειτ-
νιῶντα μέρη προσαφίσταται· γίνεται δὲ τρόπῳ τοιούτῳ· ὑπὸ
τὸ ἕλκος ἐνσκέπαρνος γίνεται καταβολὴ μὲν περίκυρτον ἔχου-
σα ἐσχηματισμένον κάτω· τὸ δὲ σιμὸν ἄνω· εἶτα ἄλλην ἀν-
P. 238. τικειμένην ταύτῃ ὑπὲρ τὸ ἕλκος· ἡ δὲ τῆς ἐπιδέσεως νομὴ |
συντελεῖται πρὸς τὴν τῶν γυμνῶν σκέπην· τῆς μὲν κάτω, πρὸς
τὰ ἄνω· τῆς δὲ ἄνω, πρὸς τὰ κάτω· ἔσθ' ὅτε δὲ καὶ κατὰ τοῦ
ἕλκους πρὸς τὴν τοῦ ἕλκους σκέπην.

## LXIV. Πλάγιος χιασμός.

Πρώτη γίνεται κυκλοτερὴς περιείλισις, καὶ κατὰ τὰ ἀπο-
λήγοντα τοῦ μηροῦ πλησίον τοῦ γόνατος, ἀφ' ἧς ἄγεται λοξὴ
ἀντικειμένη τῇ πρώτῃ, ἵνα γένηται χίασμα ἐκ πλαγίων τοῦ
γόνατος· ἡ δὲ νομὴ τῆς ἐπιδέσεως κατὰ τῶν αὐτῶν γίνεται τό-
πων· οὗτος ὁ ἐπίδεσμος εὐθετεῖ ἐπὶ παρηρθρηκότος γόνατος
εἰς τὰ πλάγια, μετὰ τὸν καταρτισμὸν δοκιμαζόμενος, τῶν
χιασμάτων γινομένων κατὰ τοῦ παραρθρήματος τόπον.

## LXV. Χελώνη.

Ὑπὲρ τὸ γόνυ γίνεται κυκλοτερὴς περιείλισις, ἀφ' ἧς ἄ-
νωθεν κάτω ἄγεται λοξὴ κατὰ τῆς ἐπιγονατίδος ἕως ἐπ' ἰγ-
νύαν· εἶτ' ἄλλη γίνεται κυκλοτερὴς περιείλισις ὑπὸ τὸ γόνυ
ἀντικειμένη τῇ πρώτῃ, ἵνα γένηται χίασμα κατὰ τὴν ἐπι-
γονατίδα· καὶ τότε μετάγεται μέση κυκλοτερὴς περιείλισις
περὶ τὴν ἰγνὺν καὶ τὴν ἐπιγονατίδα· ἡ δὲ νομὴ τῆς ἐπιδέσεως
κατὰ τῶν αὐτῶν γίνεται· οὗτος ὁ ἐπίδεσμος ἀναγέγραπται
ἐπὶ παντὸς γόνατος παραρθρήματος.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 132 sur 544

## LXVI. Περὶ σφυρῆς.

Ὑπὲρ τὸ σφυρὸν γίνεται κυκλοτερὴς περιείλισις, ἀφ' ἧς ἄγεται λοξὴ κατὰ τοῦ ταρσοῦ· εἶθ' ὑπειλεῖται τῷ πέλματι· ἀπὸ τοῦ πέλματος ἀνάγεται λοξὴ ἀντικειμένη τῇ πρώτῃ, ἵνα γένηται χιάσματα κατὰ τῶν ταρσῶν· ἡ δὲ νομὴ κατὰ τῶν αὐτῶν· ὁ ἐπίδεσμος οὗτος εὐθετεῖ πρὸς τὴν τοῦ σφυροῦ ἐπίδεσιν· ὅταν οὖν συνεπιδέηται τῷ σφυρῷ τὸ πεδίον (1) ἅμα τῇ εἰρημένῃ πλοκῇ, κυκλοτερεῖς γίνονται περιειλίσεις.

## LXVII. Περὶ πτέρνης.

Περὶ τὸ σφυρὸν γίνεται κυκλοτερὴς περιείλισις, ἀφ' ἧς ὀπίσω λοξὴ ἐκ πλαγίων τοῦ πλατονεύρου ἀντικειμένη τῇ πρώτῃ· καὶ τότε ὑπειλεῖται τῇ πτέρνῃ· ἀπὸ δὲ τῆς || πτέρνης ἐπὶ P. 239.
τὸν ταρσόν· ἡ δὲ νομὴ κατὰ τῶν αὐτῶν γίνεται· ὁ ἐπίδεσμος οὗτος εὐθετεῖ πρὸς τὴν τῆς πτέρνης ἐπίδεσιν.

## LXVII. Στάχυς ἐπὶ ἴχνους.

1. Κυκλοτερὴς γίνεται περιείλισις περὶ τὸν μέγαν δάκτυλον, ἀφ' ἧς ἄγεται λοξὴ κατὰ τοῦ πεδίου, καὶ τῷ σφυρῷ περιειλεῖται· ἀπὸ τοῦ σφυροῦ ἄγεται * λοξὴ κατὰ τοῦ πεδίου, ἵνα γένηται χίασμα, ὡς ἐπὶ τὸν μικρὸν δάκτυλον· εἶθ' ὑπειλεῖται τῷ στήθει τοῦ ποδός· ἡ δὲ νομὴ τῆς ἐπιδέσεως κατὰ τῶν αὐτῶν γίνεται· οὗτος ὁ ἐπίδεσμος ἀναγέγραπται τοῖς προγενεστέροις πρὸς τὴν τοῦ μεγάλου δακτύλου ποδὸς

* Cod. λέγεται.

(1) Πεδίον ἐστὶ τὸ μέρος τὸ ἐκ πέντε ὀστῶν συγκείμενον πρὸ τῶν δακτύλων τοῦ ποδός· ὡς εἶναι αὐτὸ μεταξὺ ταρσοῦ καὶ δακτύλων· τὸ δὲ ὑποκείμενον τῷ πεδίῳ, λέγεται στῆθος ποδός.

ἐπίδεσιν· καί μοι δοκεῖ περίεργος εἶναι τοῦ δακτύλου τῷ πεδίῳ συνεπιδεομένου· διό μοι δοκεῖ τοπικὴν ἐπιτελεῖν τὴν τοῦ δακτύλου ἐπίδεσιν, συνεπιδεομένου τοῦ πεδίου, καὶ τοῦ στήθους τοῦ ποδὸς κατὰ τὰ πρὸς τοῖς δακτύλοις μέρη, ὡς ἐπὶ τῆς χειρὸς εἴρηται.

2. Παραδοὺς τοὺς ἐπιδέσμους, ἔτι βούλομαι ἐπὶ τέλει τοῦ ὑπομνήματος περὶ τῶν ἁμμάτων διαστείλασθαι· ἀκολουθήσω δὲ Ἱπποκράτους τῇ λέξει ἐν τῷ κατ' ἰητρεῖον δεδηλωμένῃ, δι' ἧς ἔφη. — Ἀρχὰς βάλλεσθαι μὴ ἐπὶ τὸ ἕλκος, ἀλλ' ἔνθα ἢ ἔνθα τὸ ἅμμα· τὸ δὲ ἅμμα μήτ' ἐν τρίβῳ μήτ' ἐν ἔργῳ μήτ' ἐκεῖσε ὅπου μὴ ἐνὸν ᾖ· οἱ δὲ οὕτως ὅπη μὴ κενεὸν ᾖ· καὶ ἀμφότερα δὲ σημαίνει τὸ ἄπρακτον. — Τρίβον δὲ ἐξηγήσαντο οἱ ἐξηγησάμενοι τὸν ἄνδρα τὸ πέλμα, ἐπείπερ ἐν τῷ περιπάτῳ τρίβεται· οὐ δεῖ δὲ ἐν τῷ πέλματι ποιεῖν τὸ ἅμμα διὰ τὴν ἀνωμαλίαν· ἔστω μέχρι οὕτως· ἔχεται δὲ ἡ ἀπόδοσις κοινὴν τὴν ἔκδοσιν, ὥστ' εἶναι τρίβον πάντα τόπον τὸν τριβόμενον· ἢ ἐν περιπάτῳ ἢ ἐν καθέδρᾳ ἢ ἐν κατακλίσει· ὥσπερ γὰρ ἐπὶ τὸ πέλμα ἅμμα ποιεῖν οὐ δεῖ, οὕτως οὐδὲ κατ' ἰσχίον διὰ τὴν ἐφ' ἕδραν· οὐδὲ κατὰ νῶτον ἢ ῥάχιν διὰ τὴν ἐν τῷ ὑπτίῳ σχήματι κατάκλισιν, μηδὲ ἐν ἔργῳ· πάλιν ἔργον ἐξηγήσαντο οἱ ἄλλοι τὰς χεῖρας τὰ κοῖλα τῶν χειρῶν· διὰ γὰρ τῶν χειρῶν γίνεται τὰ ἔργα· προσδεκτέον μέντοι τὴν ἀπόδοσιν· κοινὸν | δὲ πᾶν ἔργον νοείσθω ἄρθρον διὰ
P. 240. τὴν κίνησιν· οὔτε γὰρ κατὰ ὦμον ἢ μασχάλην ἅμμα δεῖ ποιεῖν, οὐδὲ κατὰ ἀγκῶνα, οὐδὲ κατὰ βουβῶνα (1) ἢ ἰγνύαν ἢ ἄλλο τὶ ἄρθρον· μηδὲ μὴν ἐκεῖ ὅπου ἄπρακτον ἔσται· διὰ τοῦτο ἡμεῖς ὡς ὅτι μάλιστα τὰ κῶλα ἐπιδέοντες, λίνον ποιοῦμεν κατὰ τὴν ἀρχὴν τῆς ἐπιδέσεως. Τετελείωταί μοι διὰ τοσούτων τὸ περὶ τῶν ἐπιδέσμων ὑπόμνημα.

---

(1) Ἀπὸ τοῦ αὐτοῦ λόγου.

©BIU Santé

©BIU Santé



# ΟΡΙΒΑΣΙΟΥ

## ΙΑΤΡΙΚΩΝ ΣΥΝΑΓΩΓΩΝ

## ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ΜΘ.

### I. Ἐκ τῶν Ἡλιοδώρου περὶ διαφορᾶς καταρτισμῶν. P. 241.

Τρεῖς εἰσὶν αἱ γενικαὶ ϗ ὡσανεὶ ὁλοσχερεῖς διαφοραὶ τῶν καταρτισμῶν· οἱ μὲν γὰρ αὐτῶν λέγονται παλαιστρικοὶ τρόποι, τὸ πλεῖστον διὰ ψιλῶν χειρῶν τελειούμενοι, ἀσθενεῖς ὄντες, εὐθετοῦσιν ἐπὶ τῶν εὐαφῶν σωμάτων παιδικῶν τε ϗ γυναικείων· ἐπὶ ἀῤῥενικῶν τε τῶν ἔτι τούτων ἰσχυροτέρων ὅταν ἔτι ᾖ πρόσφατα ὀλισθήματα· οἱ δὲ μεθοδικοὶ καταρτισμοὶ διὰ τῶν κοινῶν τοῦ βίου ἐργαλείων συντελούμενοι, τῶν παλαιστρικῶν τρόπων εἰσὶν ἰσχυρότεροι· εὐθετοῦσι δὲ ἐπὶ πάντων ἀνδρῶν· θηλειῶν ἐπ' ἀῤῥένων τῶν ἤδη ἰσχυροτέρων· ἐπί τε τῶν νεανικῶν σωμάτων ϗ τῶν ἤδη κατὰ ποσὸν κεχρονικότων ὀλισθημάτων· οἱ δὲ ὀργανικοὶ καταρτισμοὶ τούτων εἰσὶ πρακτικώτεροι· ϗ γὰρ ἐπὶ τῶν χρονίων εὐθετοῦσι, ϗ ἐπὶ τῶν ἀθλητικῶν σωμάτων· πάντα τε ὅσα θεραπευτὰ ὀλισθήματα μὴ δύνανται οἱ μεθοδικοὶ τρόποι καταρτίσαι, ταῦτα διὰ τῶν ὀργάνων καταρτίζεται.

### II. Περὶ διαφορᾶς ὀργάνων.

Τῶν ἰατρικῶν ὀργάνων διαφοραὶ εἰσὶν ὁλοσχερεῖς ϗ ὡσανεὶ γενικαὶ, κατὰ μὲν τοὺς ἄλλους ὡς ἐπὶ τὸ πλεῖστον ἀριθμῷ τρεῖς· εἴπερ τὰ μὲν αὐτῶν ὑπὸ τόνια, ἃ δὲ στάσιμα, ἄλλα δὲ μηχανήματα· κατὰ δὲ ἡμᾶς ἐστὶν αὐτῶν τὰ μὲν τόνια, τὰ δὲ μηχανήματα, ἃ δὲ στάσιμα, ἃ δὲ ἐφέδρανα· τόνια

©BIU Santé



μὲν οὖν ἐστὶν ὅσα μικρὰ καὶ εὐσταλῆ ὄντα ταῖς κατασκευαῖς τάσιν μόνον ἐπαγγέλλεται· δεῖται δὲ τινῶν ἐπεισάκτων, ἵνα ἐνεργήσῃ, ὡς βάθρου, κλίνης, κλίμακος, καθ' αὐτὰ ἐνεργῆσαι μὴ δυνάμεναι· διὰ δὲ τοῦτο καὶ πρόσδετα· ἔτι τὲ ἐπίπεδα καλεῖται· ὅταν ἐν ἀγρῷ ἢ ἐρήμῳ τινὶ τόπῳ καταρτίζωμεν, καὶ μήτε βάθρον ἔχωμεν, μήτε κλίνην, μήτε κλίμακα, ἐπὶ τοῦ ἐδάφους καταπήξαντες, πρὸς αὐτὸ ἀσφαλιζόμεθα τὸ τόνιον·
P. 242. μηχανήματα δέ ἐστιν ὄρ|γανα, ὅσα μείζονα ὄντα τῶν τονίων, μικρότερα δὲ τῶν ἄλλων ὀργάνων, οὐ μόνον τάσιν, ἀλλὰ καὶ μοχλείαν ἐπαγγέλλεται, προηγουμένως ἐπί τινων μελῶν κατεσκευασμένα· στάσιμα δὲ ὄργανα ἐστὶν ὅσα εἰς ὕψος ἀνατεταμένα ἔχοντα τὰς κατασκευάς, οὐ μόνον τάσεις, ἀλλὰ καὶ μοχλείας ἐπαγγέλλεται· ἑφέδρανα δέ ἐστιν ὄργανα ὅσα κεκλιμένας ἔχοντα τὰς κατασκευάς, περιέχει ἐν αὐτοῖς τοὺς στατικοὺς καὶ μοχλευτικοὺς τρόπους· ὥστε ἐπικαθημένους αὐτοῖς τοὺς πάσχοντας καταρτίζεσθαι· εἰσὶ δέ τινες αὐτῶν ἴδιαι παραλλαγαὶ κατασκευῶν.

## III. Ἐξ ὧν ὀφείλει τὰ ὄργανα κατασκευάζεσθαι.

Βάσεις, σκέλη, πλευρὰ, διαπήγματα, ἀγκῶνες, χελῶναι, παρασκέλια, πάντα ταῦτα ὅσα μεγάλα ἐστὶν ἐν τοῖς ὀργάνοις κατασκευάσματα, ξύλινα ὀφείλει γίνεσθαι ἐκ τῆς εὐτονωτάτης ὕλης τῆς πρινίνης· ἐν δευτέρᾳ δὲ τάξει καὶ τῆς μηλίνης· εὐτονωτάτην δὲ εἶναι δεῖ τὴν ὀργανικὴν ὕλην, ἵνα δύνηται ὑπομένειν τὰς τῶν καταρτισμῶν βίας, καὶ μάλιστα ἐπὶ τῶν στασίμων ὀργάνων· στροφώματα δὲ καὶ ῥίζαι τύλοι τὲ καὶ κόρακες λυσιτελεῖς ταῖς σκυτάλαις, πάντα ὅσα ἐστὶ μικρά· καὶ μᾶλλον τὰ ἐν τοῖς ἐνεργητικοῖς ὀφείλει γίνεσθαι χαλκᾶ ἢ σιδηρᾶ· ἵνα τὸ ἐλλειπὲς διὰ τὴν μικρότητα τῆς κατασκευῆς, ἀπαρτίζηται τῇ τῆς ὕλης εὐτονίᾳ· ἐζήτηται καὶ περὶ τοῦ πότερον

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 136 sur 544

χαλκᾶ δεῖ κατασκευάζειν ἢ σιδηρᾶ· οἱ δὲ τὸν χαλκὸν τοῦ σιδήρου προκρίναντες, ἔφασαν αὐτὸν λειότερον (1)· εὐπινέστερον δυσίωτόν τ' εἶναι τοῦ σιδήρου· οἱ δὲ τὸν σίδηρον τοῦ χαλκοῦ προκρίναντες διὰ τὴν δύναμιν αὐτοῦ, ἐπῄνεσαν τὴν ὕλην· δυνατώτερος γὰρ καὶ ἰσχυρότερός ἐστιν ὁ σίδηρος τοῦ χαλκοῦ· ὡς μὲν οὖν ὁ σίδηρος τοῦ χαλκοῦ ἐστὶν εὐτονώτερος, συμπεφώνηται· τὸ δὲ περισσὸν τῆς ἰσχύος παρέλκει, ὅταν αὐτοῦ ἡ ἐνέργεια μὴ ἔχῃ· δυνατὸν γὰρ εὐθετεῖν τὰ χαλκᾶ κατασκευάσματα ὄντα εὐπινῆ καὶ αὐτάρκη || δύναμιν ἔχοντα· δύνανται δὲ καὶ τὰ σιδηρᾶ· ἀλλ' ἐὰν μὲν χαλκᾶ γίγνηται, ἐξ ἐλατοῦ κατασκευαζέσθω· ὁ γὰρ χυτὸς λεγόμενος εὔθρυπτός ἐστι καὶ εὔρηκτος· καὶ ἔστιν αἱρετώτερον μᾶλλον τῷ σιδήρῳ ἢ τῷ χυτῷ χαλκῷ χρῆσθαι· ἀλλ' ἐπεὶ ἰσοῦται ταχέως ὁ σίδηρος, διὰ τοῦτο συνεχέστατα λιπαίνειν διά τινων ἡμερῶν καὶ χειροτριβεῖν, χάριν τοῦ μὴ ἰοῦσθαι αὐτόν, ἐρεῖ τίς· ἐὰν δὲ καταλειπόμενος ὁ σίδηρος ἀτημέλητος ἰούμενος φθείρεται, ἔσται ἡ τοῦ ἐγκλήματος ἀναφορὰ ἐπὶ τὸν κεκτημένον τὸ ὄργανον. P. 243.

## IV. Ἐκ τίνων κατεσκεύασται τὰ ὄργανα, καὶ τίνες αὐτῶν χρεῖαι.

1. Πᾶν ὄργανον κατεσκεύασται οὐκ ἐκ πάντων ὧν λέγω, ἀλλ' ἔκ τινων τῶν καταριθμουμένων τῶνδε· ἐκ βάσεων, σκελῶν, διαπηγμάτων, ἀγκώνων, ἀξόνων, κανόνων, χελωνῶν, κοχλιῶν, τυμπάνων, τύλων, τριαγωνίδων, σκυτάλων, ἐπιτονίων, ἀντηρείδων, σφηνοειδῶν, τροχῶν, τροχιάλων, καπετῶν (2), πωμάτων, στροφωμάτων, περονῶν, ῥιζῶν, κερά-

---

(1) Ἀντὶ τοῦ εὐεικτότερον, εὐγνωμονέστερον.

(2) Τοὺς τῶν ξύλων σωληνισμοὺς καπετοὺς προσηγόρευσεν Ἱπποκράτης, ὡς προϊόντες ἐν τῷ κζ κεφ. τὸν Ῥοῦφον εὑρήσομεν λέγοντα τὸ Ἱπποκράτους βάθρον ἐξηγούμενον.

κων, ἐλύσεων, ψαλίδων, ἐφεδράνων, πριασίσκων· ἅμα δὲ καὶ τῶν
λεγομένων περικοχλίων, σφηνίσκων, ἰνίσκων, περιστέων ἐργάτου σχε-
δόν τι ταῦτα ἐστὶν, ἐξ ὧν τὰ ὄργανα κατασκευάζεται· δεῖ δέ
με τούτων ἑπομένως τὰς χρείας διδάξαι ἑκάστου αὐτῶν.

2. Αἱ βάσεις προηγουμένως κατεσκευάσθησαν, πρὸς τὸ ἐπ'
αὐτῶν βεβηκέναι τὰ στάσιμα ὄργανα· σκέλη δ' ἐν ὀργάνοις
λέγεται καὶ πλευρά· ἀλλ' ἐν μὲν τοῖς στασίμοις ὀργάνοις· κυ-
ρίως μὲν τὰ σκέλη, καταχρηστικῶς δὲ πλευρὰ καλεῖται· ἐν δὲ
τοῖς τονίοις, κυρίως μὲν πλευρά· καταχρηστικῶς δὲ σκέλη κα-
λεῖται· κοινῶς δὲ ταῦτα κατεσκεύασται ἐπὶ τῶν ὀργάνων πρὸς
συνοχὴν τῶν ἐν αὐτοῖς μηχανημάτων· ἰδίως δὲ ἐπὶ τῶν στασί-
μων ὀργάνων· εὖ καὶ καλῶς τὰ σκέλη μεμετρημένα, εὐθετεῖ
πρὸς τὸν λεγόμενον κατὰ ὑπεραιώρησιν καταρτισμόν· τὰ δὲ
διαπήγματα, ὥσπερ καὶ αὐτὸ δηλοῖ τοὔνομα, γέγονε πρὸς τὸ
P. 244. διαπηγνύειν τὰ σκέλη | καὶ τὰ πλευρά· ἡ μὲν ἀπότακτος αὐ-
τῶν χρεία, καὶ προηγουμένη ἐστὶν αὕτη· κατὰ δέ τι παρεπό-
μενον τὰ διαπήγματα γεγονέναι, καὶ πρὸς συνοχὴν μηχανη-
μάτων ὡς τροχίλων ἀγκώνων, ἄλλων τινῶν· οἱ δὲ ἀγκῶνες
ἐν τοῖς ὀργάνοις γεγόνασι πρὸς τοὺς κατ' ἀνάτασιν καταρ-
τισμούς· ὥσπερ ἔστιν ἰδεῖν ἐπί τε τοῦ Τέκτονος καὶ τοῦ Ανδρέου
ὀργάνου· διὰ γὰρ τοῦ ἄνω διαπήγματος κατενηνεγμένοι ἀγ-
κῶνες, ἐπιβεβήκασι τῇ χελώνῃ, ὡς τῆς χελώνης ἀναβιβαζομέ-
νης οἱ κατὰ ἀνάτασιν γίγνονται καταρτισμοί.

3. Κεκλήκασι δὲ οἱ ὀργανικοὶ, τα μὲν ἄνω μέρη τῶν ἀγ-
κώνων τὰ πλατέα, πτερώσεις· τὰ δὲ κάτω τετράγωνα,
πτέρνας· κυρίως μὲν οὖν ἀγκῶνες λέγονται· ἐν καταχρήσει
δὲ ὑπό τινων σπάθαι ἐπενοήθησαν πρὸς μοχλείαν εἰσὶ χρή-
σιμοι· ἡ δὲ ἐν τῷ Τέκτονος καὶ Ανδρέου σπάθη πρὸς τὴν κατ-
εξελκυσμένην μοχλείαν ἐπὶ τοῦ ὀπίσω τοῦ μηροῦ διαφορὰς τέ-
τακται· εἰσὶ δὲ καὶ ἄλλαι σπάθαι ἐν ὀργάνοις τισὶ πρὸς ἄλ-
λας μοχλείας κατεσκευασμέναι· ῥίζαι δὲ καὶ περόναι ἐν τοῖς

ὀργάνοις πλείστας ἔχουσι χρείας· εὐθέως μέν τοι ῥίζα καὶ περόνη συνέχει πρὸς τὴν χελώνην τὴν ἐκ τοῦ Τέκτονος ὀργάνου σπάθην· ἐν δὲ τῇ χελώνῃ ἐστὶν ἡ ῥίζα· αὕτη δὲ ἡ σπάθη καθ' ὃ μέρος ἐστὶ τετράγωνος, μέσην ἔχει ἐγκοπήν· καὶ εἰς τὴν ἐγκοπὴν ἔγκειται ἡ ῥίζα· εἶτα ἐκ πλαγίων κατακλείεται περόνη εἰς τετρημένην τὴν σπάθην καὶ τὴν ῥίζαν, ἥτις τοῦ συνοχῆς αἰτία ἐστίν· ἰδίως δὲ αἱ ῥίζαι γεγόνασι πρὸς ἐμπτώσεις κοράκων καὶ πρὸς ἄλλας τοιαύτας χρείας· αἱ δὲ περόναι, χάριν τοῦ τὰ μηχανήματα εἶναι ἀκίνητα, ὥσπερ ἄξονας ἀκινήτους φυλάττουσιν· αἱ δὲ ἁλύσεις γεγόνασι χάριν τοῦ ἐξ αὐτῶν κρεμασθῆναι τὰς περόνας, ἵνα μένωσιν ἐν τοῖς ὀργάνοις καὶ μὴ διαπίπτωσιν· οἱ δὲ κόρακες πρὸς ἀκινησίαν τῶν κινουμένων μηχανημάτων γεγόνασιν ὡς ἀξόνων· ἵνα ῥίζες ἐπεμπίπτοντες, στήσωσι τινὰ || τῶν ὀργάνων μηχανήματα. P. 245.

4. Τὰ δὲ στροφώματα γέγονε πρὸς τὰς πλείστας χρείας, ἵνά τινα τῶν ὀργάνων ἀκινητοῦντα, δι' αὐτῶν κινῆται, ὥσπερ τὰ σκέλη τοῦ Ανδρέου ὀργάνου· ἐπὶ ὀργάνου τὰ σκέλη πλάγια διαπέπρισται καὶ συνέχηται στροφώμασι καὶ περόναις, ἵνα ποτὲ μὲν ἡνωμένη, ποτὲ δὲ διὰ τῶν στροφωμάτων καμπτομένη τὴν κατὰ περίσφαλσιν μοχλείαν ἐμποιῇ· ἐν ποίᾳ δὲ κατασκευῇ τοῦ Ανδρέου ὀργάνου τὰ τοῦ πλινθίου πλησίον τῆς βάσεως διαπέπρισται· καὶ πάλιν τοῖς στροφώμασι συνέχεται· ἵνα ποτὲ μὲν ᾖ ὄρθιον ἡνωμένον ἢ τὸ στάσιμον ὄργανον δια τῶν στροφωμάτων ἐπὶ τὰ παρασκέλια κινῆται· καὶ τὴν τοῦ ἐφεδράνου ὀργάνου χρείαν ἐπιτελῇ· τοιαῦται εἰσὶν αἱ τῶν στροφωμάτων τοῖς ὀργάνοις χρείαι.

5. Ἄξονες δὲ ἐν ὀργάνοις γεγόνασι, πρὸς τὰς τῶν σωμάτων ἀγωγάς, λέγω δὲ τὰς τάσεις· τῶν δὲ ἀξόνων οἱ μὲν εἰσὶν ἔκθετοι αὐτοκίνητοι· οἱ δὲ κρυπτοὶ ὑπὸ ἑτέρων μηχανημάτων κινούμενοι· ἔκθετος ἐστὶν ἄξων ὡς ἔν τε τοῦ Νειλέως πλινθίῳ, καὶ οἱ ἐν τῷ Ἱπποκράτους βάθρῳ ἄξονες· κρυπτοὶ δὲ οἱ ἐν τῷ Ἀπέλλιδος τρισπάστῳ, καὶ οἱ ἐν τῷ Νυμφοδώρου

γλωσσοκόμῳ· οἱ μὲν οὖν ἔκθετοι ἄξονες αὐτόθεν διὰ τῶν χει-
ρῶν στρέφονται· οἱ δὲ κρυπτοὶ διά τινων ἑτέρων μηχανη-
μάτων, ὡς οἱ ἐν τῷ Νυμφοδώρου γλωσσοκόμῳ διὰ τυμπά-
νων καὶ φακωτοῦ κοχλίου· οἱ δὲ ἐν τῷ τρισπάστῳ διὰ καλῶν
ἐμφύσεως· τύλοι οἱ τοῖς ἄξοσιν ἐγκαθηλωμένοι ὠφελοῦσι πρὸς
τὴν περίθεσιν τῶν κώλων ἢ τῶν καιρίων ἢ τινῶν ἄλλων τῶν
πρὸς τάσιν ἐπιτηδείων ὄντων· περιαγωγίδες δὲ, καὶ ἐπιτόνια,
καὶ σκυτάλαι, ταῦτα πάντα μηχανήματα γέγονε πρὸς κίνη-
σιν ἀξόνων καὶ κοχλίων· αἱ δὲ περιαγωγίδες σκυτάλαι δευτέ-
P. 246. ραν ἔχουσι τάξιν· | ἧσσον δὲ τούτων ἐνεργεῖ τὰ ἐπιτόνια· τὰ
γὰρ πλεῖστα αὐτῶν τὰ μικρότερα, μιᾷ χειρὶ στρέφεται· οἱ
δὲ χηνίσκοι ἐπενοήθησαν πρὸς συνοχὴν ἀξόνων, ὡς ἐν τῇ λύ-
ρᾳ· μὴ παρόντων δέ· χηνίσκοι εἰσὶ διαφορώτερον τῆς νοήσει·
κατὰ γὰρ τὴν δύναμιν τὴν τῶν σκελῶν ἔχουσι χρείαν· τῆς δὲ
εὐπρεπείας χάριν ἐκ διαγλυφῆς χηνίσκων προτομαὶ μεμόρ-
φωνται ξύλιναι· φλιαὶ δὲ ἐν ὀργάνοις ἐπενοήθησαν πρὸς τὴν
τῶν ἐνθέτων ἀξόνων συνοχήν· ὥσπερ ἐν τῷ Ἱπποκράτους βά-
θρῳ, καὶ ἐν τῷ ἡμετέρῳ· ἔστι δέ τις ἄλλη ἐν Ἱπποκράτους
ὀργάνῳ μέση πιοειδὴς φαιά, πρὸς τὴν κατ' ἐξελκυσμὸν μοχ-
λείαν ἐπινενοημένη, ἐπὶ τῆς μηροῦ διαφορᾶς.

6. Τρόχιλοι δὲ γεγόνασιν ἐν τοῖς ὀργάνοις πρὸς διαδρομὰς
ἀκωλύτων κώλων, ὥσπερ ἐν τῷ τοῦ Τέκτονος ὀργάνῳ· τρόχιλος
δέ ἐστι διπλοῦς ἐπάνω διὰ πήγματος ὁ τῆς χελώνης κινητικός·
κἀν τῷ ἡμετέρῳ δὲ ὀργάνῳ πάλιν εἰσὶ τρόχιλοι, διὰ κώλων ἐν-
δέσεως ἀναβιβάζοντες τοὺς ἄξονας· κοινῶς δὲ τρόχιλοι γεγόνασι
πρὸς διαδρομὰς ἀκωλύτως κώλων καὶ κηριῶν· ἅμα καὶ πρὸς
* Ita videtur in cod. τὰς μετὰ κατάλην· * οἱ δὲ τροχοὶ πρὸς εὐκινησίαν τῶν τροχίλων
ἐπενοήθησαν· ἀκίνητοι δ' ὄντες καὶ ὑπ' αὐτῶν μεσολαβού-
μενοι, ὡς ἐν τῇ Δημοσθένους ἀστράβῃ, καὶ πρὸς συνοχὴν κώ-
λων ὡς ἐν τῷ Ἀπελλίδος τρισπάστῳ σφηνοειδές· τοῦτο προη-
γουμένως κατεσκεύασται ἐπὶ τῆς εἰς τὴν μασχάλην τοῦ ὤμου

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 140 sur 544

διαφορᾶς· κατὰ δέ τι παρεπόμενον, καὶ πρὸς ἄλλας χρείας αὐ-
τῷ χρώμεθα· τὸ δὲ μηνοειδὲς εὐθετεῖ ἐπὶ τὰ ἔμπροσθεν καὶ τὰ
ὀπίσω τοῦ ὤμου διαφορᾶς, πόλος λέγεται· ἔστι δὲ οὗτος ὁ
πόλος ξύλον ἐπιπηγὸς τοῖς ἄνω ἄκροις τῶν τοῦ ὀργάνου σκελῶν·
ἔστι δὲ ὁ πόλος οὗτος ἐν τῷ τοῦ Φιλιστίωνος ὀργάνῳ· πρός τι
δὲ ἐπὶ τοῦ ὤμου ἐξαρθρήματα ἐπιτεινο||μένης τῆς χειρὸς, ὁ πό- P. 247.
λος ἀντιβαίνει τῷ αὐχένι τοῦ καταρτιζομένου.

7. Τὸ δὲ ἐπίπωμα τὸ λεγόμενον ἐπίπηγμα, ἔστι πιοειδὲς ἐπὶ
τῶν ξύλων κατὰ συμπηγίαν γεγονὸς ἀντιθέτῳ τῷ πνεύματι στοι-
χείῳ, ἐπιπηγνύμενον τῷ ὀργάνῳ ἐν ποίᾳ κατασκευῇ τοῦ λεγομένου
ἑρμοῦ· γέγονε δὲ τοῦτο ἵνα μὴ ὑπὸ τῆς προτομῆς τοῦ ἑρμοῦ παρα-
τρίβηται τὰ σώματα, ὡς ἐν τῇ κατασκευῇ τοῦ ὀργάνου δηλω-
θήσεται· καλάθιον καὶ σκυτάλιον, ταῦτα κοινῶς ἐπιτεχ-
νάσθησαν χάριν τοῦ βαστάζειν ἐπίπηγμα· ἔστι δὲ τὸ μὲν σκυ-
τάλιον ξύλον ἐξαδακτυλιαῖον περιφερὲς, στενοτέρᾳ βάσει κε-
χρημένον ὡμοιωμένον καλαθίῳ· εἰσὶ δέ τινες καὶ πριστοῖς ἐν
ὀργάνοις ἐκ διαφλυγῆς ὡμοιωμέναι * πριστέων μορφαῖς, εὐ-
πινίας χάριν, γεγονυῖαι· αὗται δὲ αἱ πρίστεις γεγόνασι πρὸς
τὸ ἄλλο βαστάζειν ἐπίπηγμα· τύμπανα δὲ ἐν τοῖς ὀργάνοις
ἐγένετο χάριν τοῦ δι' αὐτῶν ἠρέμα κινεῖσθαι ἐνεργητικά τινα
μηχανήματα, ὡς ἄξονάς τε καὶ κοχλίας· ἔστι δὲ τὸ τύμπα-
νον κυκλοτερὲς κατασκεύασμα ὀδοντισμένον δελφιοὺς, ἐπι-
πίπτει ὀδοῦσιν ἀκίνητα φυλάσσουσι τὰ μηχανήματα· τὴν δ'
αὐτὴν χρείαν καὶ κόρακες ἐπιτελοῦσι.

8. Χελῶναι ἐν ὀργάνοις ἐπινοήθησαν πρὸς ἠρεμαίαν καὶ
ἀσπάρακτον τάσιν τῶν καταρτιζομένων σωμάτων· ὥσπερ
γὰρ τὰ ζῶα χελῶναι, οὕτως καὶ τὰ μηχανήματα αὐ-
τοῖς ὡμοιωμένα βραδυπορεῖ· τῶν δὲ χελωνῶν αἱ μὲν ἐοί-
κασι διαπήγματι, αἱ δὲ ὑπομήκεις· ἄλλαι δὲ κυβοει-
δεῖς διαπήγματι ἐοίκασιν ἐν τῷ τοῦ Ἀνδρέου ὀργάνῳ καὶ
ἐν τῷ τοῦ Τέκτονος· εὐμήκης δ' ἔστιν ἡ ἐν τῷ τετραγώνῳ

* Cod ὠ-
μοιωμένα.

©BIU Santé



κίονι τῷ λεγομένῳ Ἑρμῇ· κυβοειδὴς μέντοι ἡ ἐν τῷ στρογγύλῳ κίονι τοῦ ἐφεσίου Ἡρακλείδου· ἔτι δὲ τῶν χελωνῶν ἀναβιβάζουσιν ἀγκῶνας καὶ σπάθας· ἄλλαι δὲ μηνοειδεῖς καὶ
P. 248. σφηνοειδεῖς τι ἐπίπηγμα· | ἔνιαι δ' αὐτῶν μηδὲν ἀναβιβάζουσαι, πρὸς μόνην τάσιν ἐπενοήθησαν ἀγκῶνας ἀναβιβάζειν, ἡ ἀνωφερὴς χελώνη τοῦ Ἀνδρέου ὀργάνου· ἀγκῶνας δὲ καὶ σπάθας ἐν τῷ Τέκτονος ὀργάνῳ χελώνη· μηνοειδὲς δὲ καὶ σφηνοειδὲς ἐπίπηγμα ἀναβιβάζει ἡ ἐν τῷ Ἑρμῇ χελώνη· οὐδὲν δὲ ἀναβιβάζει, ἀλλὰ πρὸς μόνην στάσιν γέγονεν, ἡ ἐν τῷ στρογγύλῳ κίονι τοῦ ἐφεσίου Ἡρακλείδου· ὡσαύτως δὲ καὶ ἡ κατωφερὴς χελώνη ἡ ἐν τῷ τοῦ Ἀνδρέου ὀργάνῳ· καὶ αἱ ἐν τῷ ὀργάνῳ πτέρυγες δράκοντες καθηλωμέναι χελῶναι, τύλων χρείας ἐπέχουσιν· ἰδίως δὲ οἱ δράκοντες ὅσον ἐπὶ τῇ ὕλῃ ἀντὶ ἐπαγωγίδων ἐτεχνάσθησαν.

9. Ἐπεὶ δὲ κατὰ τὸ πλεῖστον αἱ χελῶναι ὑπὸ κοχλίων κινοῦνται, ἑπομένως τὰς τῶν κοχλίων κατασκευὰς καὶ τὰς ἐνεργείας δηλώσω· κοχλίαι δὴ ὀργάνοις ἐτεχνάσθησαν πρὸς κίνησιν ἄλλων μηχανημάτων ὡς τυμπάνων καὶ χελωνῶν, ἵνα ἀσπάρακτοι καὶ ἠρεμαῖαι αὐτῶν γένωνται αἱ στάσεις· τῶν δὲ κοχλίων οἱ μέν εἰσι τετράγωνοι (1), οἱ δὲ φακωτοί· τὰ δὲ σχήματα αὐτὰ ὠνόμασται πρὸς τὰς ἕλικας οὐ πρὸς τὴν τοῦ τύλου κατασκευήν· πᾶς μὲν γὰρ κοχλίας ἐστὶ στρογγύλος, τετορνευμένος εἰς τὸ περιφερὲς σχῆμα· διαφέρουσι δ' αὐτῶν οἱ κοχλίαι ταῖς ἕλιξι· δισσοὶ μὲν τετράγωνοι λέγονται, οἱ δὲ φακωτοί· τετράγωνος ἐστὶ κοχλίας ὁ τετραγώνους ἔχων τὰς ἕλικας, τὴν κοίλην ἕλικα καὶ τὴν ὑπερέχου-

(1) Τετράγωνοι μέν εἰσι κοχλίαι, οὓς οἱ χρυσοχόοι διαπλάττουσιν ἐν τοῖς τῶν γυναικῶν λεγομένοις ψελίοις· φακωτοὶ δὲ οἷς οἱ κναφεῖς χρῶνται πρὸς τὴν τῶν ἱματίων πίλησίν τε καὶ ἐπίθλιψιν, παρὰ τὸ ἐοικότως κόκκοις τοῦ ἐδωδίμου φακοῦ κατὰ ἀλλήλων συντεθεμένοις.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 142 sur 544

σαν· τοιοῦτοι δὲ εἰσὶν οἱ κοχλίαι τοῦ Ἀνδρέου ὀργάνου· φακωτοὶ δ' εἰσὶν οἱ τὰς μὲν κοίλας ἕλικας στενὰς ἔχοντες κατὰ τὰ βάθη, εὐρείας δὲ κατὰ τὰ ἄνω· τὰς δὲ ὑπερεχούσας, πλατείας μὲν κατὰ τὰς βάσεις, μεμυουρισμένας δὲ κατὰ τὰς κορυφὰς, ἐοικυίας ἡμιτόμῳ φακῷ· ἀπό γε τοιούτου σχήματος ὁ τοιοῦτος κοχλίας φακωτὸς ὠνομάσθη· τοιοῦτοι δὲ ὄντες οἱ τετράγωνοι καὶ || P. 249. οἱ φακωτοὶ κοχλίαι γεγόνασι πρὸς κίνησιν διαφόρων μηχανημάτων· οἱ μὲν γὰρ τετράγωνοι χελώνας κινοῦσιν· οἱ δὲ φακωτοὶ προηγουμένως μὲν τύμπανα, ποτὲ δὲ καὶ χελώνας ἐν τοῖς λεγομένοις περικοχλίοις.

## V. Πῶς τετράγωνος κοχλίας κινεῖ χελώνην.

1. Ἔστω οὕτως ἔχουσα ἡ κατασκευὴ ὥσπερ ἐν τῷ τοῦ Ἀνδρέου ὀργάνῳ χελῶναι· ἑκάστη δ' αὐτῶν τέτρηται, καὶ διὰ τοῦ τρήματος διενήνεκται ὁ κοχλίας· ἔνδοθεν δὲ κατὰ τὸ τρῆμα σιδηροῦν ἢ χαλκοῦν ἐλασμάτιον προσήλωται τῇ χελώνῃ· τὸ δὲ ἐλασμάτιον τοῦτο κέκληται ὀδούς· οὗτος ἤδη ὁ τῆς χελώνης ὀδοὺς εἰς τὴν τοῦ κοχλίου ἕλικα κατακέκλεισται· λοιπὸν δὲ συμβαίνει τῇ ποιᾷ τοῦ κοχλίου συστροφῇ εἱλούμενον τὸ ἐλασμάτιον τὸ λεγόμενον ὀδοντάριον περὶ τὸν κοχλίαν ἐν αὐτῇ τῇ κοίλῃ ἕλικι συνεχόμενον κινεῖν τὴν χελώνην· αὐτῶν δὲ τούτων τῶν τετραγώνων, οἱ μὲν εἰσὶν ἁπλοῖ, οἱ δὲ διπλοῖ· ἁπλοῦς ἐστι κοχλίας ὁ μιᾷ ἕλικι συντετμημένον καὶ μίαν κινῶν χελώνην· δεύτερος τοιοῦτος ἐστι κοχλίας ὁ δυσὶν ἕλιξι διατετμημένος καὶ δύο κινῶν χελώνας· τοιοῦτος δ' ἐστὶ κοχλίας ἐν τῷ μεγάλῳ πλινθίῳ τῷ Ἀνδρέου ὀργάνῳ· ἀπὸ γὰρ τῆς μεσότητος τὸ ξύλον ἐκ τῶν διαπηγμάτων ἀντιθέτοις ἕλιξι τέτμηται ὥστε κατὰ ποίαν τοῦ κοχλίου συστροφὴν ἤτοι ἀπὸ τῆς μεσότητος ἐπὶ τὰ διαπήγματα ὁρμᾷν τὰς χελώνας· ἢ ἀπὸ τῶν διαπηγμάτων εἰς τὸν μέσον τόπον συντρέχειν.

2. Ἔστι δὲ καὶ ἄλλος διπλοῦς κοχλίας ἐν τῷ λεγομένῳ κηρυκίῳ ἄνωθεν ἀπὸ τῆς ἀρχῆς ἕως τοῦ πέρατος ἀντιθέτοις ἕλιξι τετμημένος, πάλιν καὶ αὐτὸς κινῶν δύο χελῶνας ὡς ἐν αὐτῇ τῇ τοῦ ὀργάνου κατασκευῇ· ὁ γὰρ φακωτὸς κοχλίας κινεῖ τύμπανον· αἱ παρέλικες τοῦ κοχλίου ἐπιβαίνουσαι τοῖς ὀδοῦσι τοῦ τυμπάνου,
P. 250. στρέ|φουσι τὸ μηχάνημα, ὥσπερ κοχλίας διὰ τοῦ περιτονίου, ἢ τῆς περιαγωγίδος στρεφόμενος καὶ ἐπεμπίπτων τοῖς ὀδοῦσι τοῦ τυμπάνου κινεῖ τὸ μηχάνημα· κινεῖ δέ ποτε ὁ αὐτὸς κοχλίας χελώνην, ἀλλ' οὐκέτι διὰ τένοντος, ὥσπερ ὁ τετράγωνος, ἀλλ' ἐν τῷ λεγομένῳ περικόχλῳ, συνεχόμενος ὁ περίκοχλος ἐν αὐτῇ τῇ τῆς χελώνης γίνεται κατασκευῇ· αὐτὸ γὰρ τὸ τῆς χελώνης τρῆμα τὸ παραδεχόμενον τὴν κοχλίαν, ἀντιθέτοις ἕλιξι τοῦ φακωτοῦ κοχλίου περιέσκεπται· ὥστε τὰς περιεχούσας ἕλικας τοῦ φακωτοῦ κοχλίου, κατακεκλεῖσθαι εἰς τὰς τοῦ περικόχλου κοιλίας, καὶ παραδεδέχθαι εἰς τὰς τοῦ περὶ τοῦ κόχλου ἐξοχάς· συμβαίνει δὲ ἐν τῇ τοῦ κοχλίου συστροφῇ τῶν κοχλίων ἐν ταῖς ἕλιξιν εἱλουμένων τὴν τῆς χελώνης κίνησιν γίγνεσθαι, ποτὲ μὲν ἄνω, ποτὲ δὲ κάτω· μᾶλλον δὲ πλεονάζουσιν αἱ τοιαῦται κατασκευαὶ ἐν τοῖς πιεστηρίοις ὀργάνοις· ἐγένοντο γὰρ χάριν τοῦ κλειομένων τῶν ὀργάνων ἐφ' ἑαυτῶν ἐφεδράζεσθαι τοὺς καταρτιζομένους τὰ παρὰ ἐφ' ἕδραν ὄργανα, ὅσα κεκλιμένους ἔχει τὰς κατασκευάς, οὕτω κατεσκεύασται· ὥστε ἢ καθημένους ἐπ' αὐτῶν ἢ κεκλιμένους τοὺς πάσχοντας καταρτίζεσθαι.

3. Πριαπίσκος λέγεται ὁ αὐτὸς καὶ στυλίσκος, ἔτι τε σκαλμός· ὅπου τὸ ἐφέδρανον, ἐκεῖ καὶ τὸν πριαπίσκον εὑρήσεις· γέγονε γὰρ οὗτος πρὸς ἀντέρεισιν τοῦ περιναίου τῆς ἐν τοῖς καταρτισμοῖς γενομένοις· ἔστι δὲ ὁ πριαπίσκος ξύλον ὀκτωδακτυλιαῖον περιφερὲς κατὰ τὸ πλεῖον αὐτοῦ μέγεθος, κατὰ δὲ τὸ λοιπὸν μέρος εἰς τετράγωνον· ἡ σιονειδὴς ἐκκοπὴ τοῦ ἐφεδράνου ἐνίζηται· τὸ δὲ λοιπὸν τὸ ἄνω μέρος ἀντερείδηται τῷ

©BIU Santé

περιτοναίῳ τι * σιδηροῦν γέγονε προσπηγνύμενον τοῖς διαπήγ- * Ita cod.
μασι, ἀσφαλοῦς χάριν συνεχείας τοῦ πριαπίσκου· ἐν δὲ || τῷ ἡ- P. 251.
μετέρῳ ὀργάνῳ εὑρεθήσεται μέγα σίδηρόν τι πρὸς ἄλλην
χρείαν κατεσκευασμένον· πρὸς τὴν κατείπωσιν μοχλείαν τῶν τοῦ
ῥαχίως ὑβωμάτων· τὰ δὲ λεγόμενα πώματα χάριν τοῦ ὑπ' αὐ-
τῶν κρύπτεσθαι τὰ μηχανήματα, πρὸς τῷ μὴ τοῖς ἰδιώταις
φανερὰ γενέσθαι, οὕτως ἐκκείμενα ἀσκέπαστα· οἱ δὲ κρίκοι
γεγόνασιν ἐν τοῖς τονίοις, τῆς προσθέσεως χάριν· ἐν ἄλλοις δὲ
ὀργάνοις εἰσὶ πρὸς συνοχὴν μηχανημάτων τετεχνασμένοι, ὥσ-
περ ἐν τῷ τοῦ Μενεκρίτου βικρανίῳ ἡ τὸν ἄξονα συνέχουσα· καὶ
ἐν ἄλλοις χάριν τῆς αὐτῆς χρείας παρελήφθησαν ψαλίδες· ἐν
δέ τισιν ὀργάνοις πρὸς ἀσφαλῆ συμπηγίαν σκελῶν πρὸς δια-
πήγματα ψαλίδας χαλκᾶς εὑρίσκομεν προσηλωμένας· παρα-
σκέλια δὲ ἐπὶ τῶν στασίμων ὀργάνων ἐγένετο, χάριν τοῦ κλι-
νόμενα τὰ ὄργανα καὶ τὴν τῶν ἐφεδράνων χρείαν ἐπιτελοῦντα,
ἐπ' αὐτῶν στηρίζεσθαι.

4. Παραδοὺς ἐξ ὧν πάντα τὰ ὄργανα κατεσκεύασται,
καὶ ἃς χρείας ἕκαστον τῶν ἐν αὐτοῖς μηχανημάτων ἐ-
πιτελεῖ, ἑξῆς βούλομαι διδάξαι, τίνα τῶν ἐν τοῖς ὀρ-
γάνοις ἀκίνητα ὄντα ἐνεργεῖ, τίνα κινούμενα, καὶ τῶν κι-
νουμένων τίνα ἐν τῷ αὐτῷ τόπῳ μένοντα κινεῖται, καὶ τίνα
ἀμείβοντα ἐνεργεῖ· πάλιν τε τῶν ἀκινητούντων τίνα ἀεὶ καὶ εἰς
ἅπαν μένει ἀκίνητα, καὶ τίνα ἐξαιρούμενα ἑτέρας χρείας ἐπι-
τελεῖ· ἀκίνητα δέ ἐστιν ἐν τοῖς ὀργάνοις ταῦτα, βάσεις,
σκέλη, πλευρὰ, διαπήγματα σφηνοειδῆ, μηνοειδῆ, ἐφέδρα-
να, πριαπίσκοι, ἄλλα τινὰ πλεῖστα· κινούμενα δὲ ἐνεργεῖ,
στροφώματα, κόρακες, ἄξονες, τύμπανα, ἀγκῶνες, κοχλί-
αι, χελῶναι, | ἄλλα τε πλεῖστα τούτοις ἀνάλογα· ἀλλ' ἐν P. 252.
μὲν τῷ αὐτῷ τόπῳ μένοντα κινεῖται τὰ τοιαῦτα στροφώ-
ματα, κόρακες, τύμπανα, κοχλίαι· οἱ πλεῖστοι ἄξονες τό-
πον ἐκ τόπου ἀμείβουσι, χελῶναι, ἀγκῶνες· τῶν δὲ ἀκινητούν-



©BIU Santé
Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 145 sur 544

©BIU Santé



των ἐν τοῖς ὀργάνοις ἃ μὲν ἀεὶ καὶ εἰς ἅπαν ἀκίνητα μένει· ἃ δέ ἐστιν ἐξαίρετά τε καὶ ἔνθετα· ἀεὶ μὲν οὖν ἀκίνητα μένει τὰ τοιαῦτα, βάσεις, σκέλη, πλευραὶ, διαπήγματα, ῥίζαι, ἐφέδρανα μηνοειδῆ· ἐξαίρετα δὲ ἐπὶ τινων ὀργάνων κινητὰ ὄντα σφηνοειδῆ· ὡσαύτως δὲ καὶ οἱ πριαπίσκοι πρὸς ἑτέρας χρείας ἔνθετοί τε καὶ ἐξαίρετοι γίγνονται.

## P. 253. VI. Ἐκ τῶν Ἡλιοδώρου Νειλέως πλινθίου. (1)

1. Τὸ τοῦ Νειλέως πλινθίον κατεσκεύασται ἐκ τῶν λεγομένων τετραγώνων ὑπομήκων τονίων· πλευρὰ γὰρ ἔχει δύο, μήκει τετραπαλαιστιαῖα, πάχει δακτυλιαῖα, συμπεπηγότα προσάλληλα κατὰ τὰ πέρατα τοῖς λεγομένοις διαπήγμασι· τὰ δὲ διαπήγματα ταῦτα ἰσοπλατῆ μέν ἐστι καὶ ἰσοπαχῆ ταῖς πλευραῖς, τῷ δὲ μήκει παλαιστιαῖα· τοιγαροῦν κατὰ λόγον τῶν τετραπαλαιστιαίων μὲν ὄντων, παλαιστιαίων δὲ τῶν διαπηγμάτων, ἐγένετο συμπηγία τοῦ τονίου τετράγωνος ὑπομήκης· ἐξέσται δὲ τῷ βουλομένῳ κατάπλευρα κολοκύντερα τοῦ ἱστορημένου μέτρου ποιῆσαι· ἐπείπερ ἑνὶ ἄξονι ἐνεργεῖ τὸ ὄργανον· ἐν δὲ μέσοις τοῖς πλευροῖς ἐκκεκομένοις στρογγύλοις καὶ διανταίοις τρήμασιν· ἐξ ὧν ἐστιν ἔκθετος μέσον ἔχων τύλον· κατὰ δὲ τὰς ἐκθέτους ἀποτορνώσεις σκυτάλας, τῇ μὲν ὕλῃ χαλκᾶς ἢ σιδηρᾶς, δεκαδακτυλιαίους δὲ τῷ μεγέθει· ἔχει δὲ καὶ κρίκους τέσσαρας τὸ τόνιον τοῖς πλευροῖς καθηλωμένους, δύο ἄνω καὶ δύο κάτω.

---

(1) Περὶ τῆς μεταληπτικῆς κινήσεως ἐν τῷ ζ τῆς περὶ χρείας μορίων πολὺν ποιεῖται λόγον· ὁ γὰρ διαλεγόμενος περὶ τῶν τὴν λάρυγγα κινούντων μυῶν· καὶ φησὶν ὅτι καταχέχρηνται αὐτῷ οἱ ἀρχιτέκτονες ἐν τοῖς μηχανήμασι· καὶ πρὸ ἐκείνων φησὶ, καὶ παραδείγματι χρῆσθαι τῇ κινήσει τοῦ παρόντος μηχανικοῦ γλωττοκόμου, μεταληπτικὴν λέγων εἶναι κίνησιν τὴν ἄλλων διὰ μέσων ἄλλων κίνησιν· μετὰ δὲ τὸ ἑξῆς κεφάλαιον καὶ ὁ Ἡλιόδωρος περὶ αὐτοῦ διαλέγεται.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 146 sur 544

©BIU Santé



2. Ἡ ἀρχαία καὶ κατ' αὐτὸν τὸν Νειλέα τοῦ νειλέως κατασκευὴ ἐστὶν αὕτη· γενόμενος δέ τις Ἡρόδοτος ἀνὴρ ὀργα|νικὸς τὰ διαπήγματα καὶ τὰ ἔμπροσθεν μέρη κατὰ μεσό- P. 254.
τητας ἐκοίλανε σιγμοειδῶς· ἵνα διὰ τῶν τεινομένων σωμάτων κηρίαι καταφερόμεναι ἐπὶ τὸν τύλον τοῦ ἄξονος, μὴ προστρίβωνται ἐκθέτοις οὔσαις ταῖς γωνίαις, ἀλλὰ κατάλληλοι αὐτῶν ἄγονται· τοιοῦτος καὶ Ἡρόδοτος (καθάπερ δὲ ἡμεῖς παρειλήφαμεν, τὴν ἱστορίαν ταύτην, κατὰ ταῦτα παραδίδομεν) λέγεται Πασικράτην τὸν ὀργανικὸν γενόμενον ἐν τῇ Σιδῶνι τεθεωρηκέναι τὸ τόνιον τοῦτο ὑπὸ ἀνδριάντος διακρατούμενον, κατασκευῇ διαφόρων κεχρημένον· τῆς γὰρ αὐτῆς οὔσης συμπηγίας, εἶχεν ἐκεῖνο τὸ τόνιον κατὰ τὰς ἐκθέτους τοῦ ἄξονος ἀποτορνώσεις, χαλκῶν δρακόντων ἐμπλοκὰς κατ' ἰθὺ προκειμένων τῶν κεφαλῶν καὶ τῶν οὐρῶν· οὗτοι δὲ οἱ δράκοντες τίνος χάριν ἐγένοντο; ὅτι ἀντὶ τῶν σκυτάλων κατεσκευάθησαν, πρὸς τὴν τοῦ ἄξονος στροφήν· ἐπεὶ τὸ ἐν τῇ Σιδῶνι ὄργανον, μέσα τὰ διαπήγματα εἶχε τετρημένα στρογγύλοις τρήμασι καταλλήλοις τῷ τύλῳ τοῦ ἄξονος· δῆλον δὲ ὅτι τῶν τρημάτων ἐστὶν ἡ αὐτὴ χρεία ἡ κατὰ τὸν Ἡρόδοτον, ἵνα διὰ τῶν τρημάτων κατάλληλοι ἄγωνται ἐπὶ τὸν τύλον αἱ ἀπὸ τῶν γινομένων σωμάτων κηρίαι.

3. Ἔτι ὁ Πασικράτης ἱστόρησε καὶ τῷ ἄξονι περικείμενα τέσσαρα τύμπανα περιτεθειμένα χαλκᾶ πλησίον τῶν πλευρῶν, δύο μὲν ἔνδοθεν, δύο δὲ ἔξωθεν· ἐτέτρητο γὰρ καὶ τὰ πλευρὰ κατὰ τὴν τῶν ὀργάνων τάξιν· τούτων δὲ εὐχρηστία αὕτη· ἵνα μετὰ τὴν αὐτάρκη τάσιν ἐντιθέμεναι περόναι, εἰς τὰ μεταξὺ τῶν ὀδόντων διαστήματα στηρίζωσι τὸν ἄξονα πρὸς τὴν ἐν τοῖς καταρτισμοῖς χρείαν· οἱ δὲ μεταγενέστεροι τὰ μὲν τύμπανα παρῃτήσαντο· ἐμέτρησαν δὲ ἀντία τὰ πλευρὰ κατὰ τὰ ἐμπρόσθια μέρη· ἔτρησαν δ' ἅμα κατὰ κύκλον ἐκ διαστημάτων τινῶν καὶ αὐτὰς τὰς τοῦ ἄξονος



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 147 sur 544

©BIU Santé



ἀποτορνώσεις, ἵνα πρὸς τὴν δεδηλωμένην χρείαν περόναι ἐν-
P. 255. τι||θέμεναι ἀκίνητον φυλάξωσι τὸν ἄξονα· ἐγὼ δὲ ἐπείπερ
διαπίπτουσιν αἱ περόναι, τῆς ἱστορημένης εὐχρηστίας χάριν, κό-
ρακας ἐκτιλώσας τοῖς πλευροῖς, αὐτάς γε τὰς τοῦ ἄξονος ἐ-
πιτορνώσεις, σὺν τοῖς τῶν πλευρῶν κατὰ κύκλον ἐκ διαστημά-
των συμμέτρων ἔτρησα τρήμασι παραλλήλοις· ἵνα ὁπότε βου-
ληθείη ἐν καταρτισμῷ ἀκινητεῖν τὸν ἄξονα, κατακλείσω τὸν
κόρακα εἰς τὸ κατάλληλον τρῆμα· ἡ κοινὴ τοῦ τονίου πλινθίου
κατασκευὴ ἐστὶν αὕτη.

4. Ἐγὼ δὲ καὶ ἄλλως τὸ πλινθίον κατεσκεύασα· τῶν γὰρ αὐτῶν ὄντων μέτρων τῶν πλευρῶν, τὸ κάτω διάπηγμα ἄνω ἀναβέβηκα, τὰ κάτω τῶν πλευρῶν πέρατα ἐπὶ παλαιστιαῖα ὑπὲρ τὸ διάπηγμα καταλιπών· τὸν δὲ ἄξονα ἔταξα ἐν μέσῳ τῶν διαπηγμάτων λεγομένων φωτὶ· καὶ βάθρον δέ τι τῶν σχολήκων κατὰ τὸ ἓν πέρας τῆς σανίδος ἐξέκοψα τετραγώνοις ὑπομήκεσιν ἐκκοποῦσιν, ἵνα τὰ δεδηλωμένα τῶν πλευρῶν πέρατα ἐναρμόζηται εἰς τὰς ἐκκοπάς· αὐτὰ δὲ τὰ πλευρὰ κατὰ τὰ πέρατα ἔτρησα ἐκ τῶν πλαγίων εἰς τὰ πλάγια διαντιαίοις τρήμασιν· ἵνα ἐντιθεμένη περόνη εἰς τὰ τρήματα, συνάγῃ τὸ πλινθίον· αὕτη τοῦ ὀργάνου κατασκευή. Ἑξῆς δὲ ἐπὶ τὴν κίνησιν αὐτῶν πάρειμι.

## VII. Περὶ κινήσεων τονίων.

1. Ἐπεὶ τὰ τόνια ὄργανα ἐστὶν ἐλλιπῆ καθ' ἑαυτὰ ἐνεργῆσαι μὴ δυνάμενα, ἀλλὰ προσδεῖται ἑτέρῳ, ὡς κλίμακι, κλίνῃ, βάθρῳ· ὅ τε καταρτισμὸς μηδενὸς τούτων παρόντος, ἐπὶ τοῦ ἐδάφους γίνεται εἰς τὴν γῆν· καλῶς ἔχειν μοι δοκεῖ ὡς ἐν σχολικῇ παραδόσει, πρὸς τὴν παροῦσαν διδασκαλίαν ἐπὶ κλίμακος παρεσκευασμένης τὴν τοῦ ὀργάνου κίνησιν δηλῶσαι· ἡτοιμάσθω κλίμαξ μία τῶν κοινῶν, μὴ ἐκείνη ἡ πλα-

τεῖα μὲν καὶ λοξὰ τῇ θέσει ἔχουσα κλιμάκια· τὰ γὰρ τοιαῦτα τῶν κλιμακίων πρὸς τὸν | καταρτισμὸν ἐστὶν ἀνεπιτήδεια· P. 256. ἀλλ' ἔστω κλίμαξ ἰσοπαχὴς, ἔχουσα τετράγωνα τὰ κλιμάκια· χάριν δὲ τοῦ τὰ σώματα μὴ παρατρίβεσθαι ὑπὸ τῶν γωνιῶν, ἔστωσαν αἱ γωνίαι αὐτῶν ἀποτελειωμέναι εἰς τὸν στρογγύλον τρόπον ἐξεσμέναι· ὅταν δὲ μὴ ᾖ τοιαῦτα κλιμάκια τῆς κλίμακος ἐρίοις περιειλήθω εὐαφείας τῶν σωμάτων χάριν.

2. Ἄρξομαι δὲ τῆς παραδόσεως ἀπὸ τῆς εἰς τὴν μασχάλην τοῦ ὤμου διαφορᾶς· δεῖ δὲ ὅταν καταρτίζηται τὸ ἐξάρθρημα τοῦτο αἱρεῖσθαι σφηνοειδὲς τὸ ἐκ τῶν κλάδων ἠρτημένον· τοῦτο δὲ τὸ σφηνοειδὲς κατάκλιμα, καὶ ἐκ τοῦ ἐπιτηδείου πρὸς τὴν τῆς χειρὸς ὑπέρθεσιν, ὥσπερ ὑπέδειξα, τιθέσθω, καὶ διὰ τῶν κάλλων πρὸς αὐτὸ ἀσφαλιζέσθω· ἐπιτήδειον δ' ἔστι κλιμάκιον πρὸς τὸν καταρτισμὸν· ἐκεῖνο ὃ ἔφθην μετὰ τὴν τῆς χειρὸς ὑπέρθεσιν καὶ κατάτασιν· κρεμασθῇ τε ὁ πάσχων ἀφεστὼς τοῦ ἐδάφους ὡς διὰ παλαιστιαῖον μέτρον· τὸ δὲ σφηνοειδὲς μὴ διαφόρως ἀλλὰ παρατετηρημένως τῷ κλιμακίῳ ἀσφαλῶς προστιθέσθω· ὥστε τὸ μὲν ἀμβοειδὲς (1) αὐτοῦ μέρος σχηματίζεσθαι πρὸς τὸν βραχίονα· τὸ δὲ περίκυρτον αὐτοῦ, πρὸς τὰς πλευράς· ἀπὸ δὲ διαστήματος τοῦ σφηνοειδοῦς εἰς τὰ κάτω, ὡς μετὰ δύο ἢ τρία κλιμάκια τὸ ὄργανον ἀσφαλίζεσθαι πρὸς τὴν κλίμακα, διὰ τῶν προσόντων αὐτῷ κρίκων καὶ κάλλων ἢ κηρίων, ἢ ἄλλων τινῶν διεκβαλλομένων· προσδείσθωσαν δὲ τῇ κλίμακι καὶ αὐτῇ ἀσφαλῶς καταπεπηγυῖαι εἰς τὸ ἔδαφος εἰς τὸ ἀκινητοῦσαν ἐν ταῖς κατατάσεσιν ἑδραίαν καὶ ἀκλινῆ μένειν· τρόχιλοι δὲ τέσσαρες μονόξυλοι ἢ δίξυλοι, σπουδαιότεροι ἔστωσαν· δύο μὲν ἄνω ἐκ τοῦ ἄνω κλιμακίου ἀνηρτημένοι νεύον-

(1) Ἀντὶ τοῦ κεκυρτωμένον καὶ ὑπερέχον· τί δ' ἔστιν ἄμβων, ἐν τοῖς ἔμπροσθεν ἐγὼ διεσάφησα.

©BIU Santé

τες κάτω· δύο δὲ κάτω, τῷ κάτω κλιμακίῳ προσδεδεμένοι, νεύοντες ἄνω.

P. 257. 3. Γενομένης δὲ || οὕτω τῆς σκευῆς, φέρειν πρὸς καταρτισμὸν τὸ σφηνοειδές· ἐρίῳ δὲ μαλακῷ λεπτῷ σκέπειν· ἐπεὶ γὰρ ἐστὶν ἀπηνὲς τὸ ξύλον, τὸ ἔριον περιτιθέμενον αὐτῷ ὡς μάλαγμα παραλαμβάνεται· καὶ δι' ἑτέραν δὲ αἰτίαν τοῦτο γίγνεται· ἰδίως γὰρ ἱδρῶτες ἐπιγίγνονται ἐν τῇ μασχάλῃ πολυθερμῇ οὔσῃ, καὶ μᾶλλον διὰ τὴν τοῦ καταρτιζομένου δειλίαν καὶ πόνον· τούτους τοὺς ἱδρῶτας ἀναρπάζοι τὸ περιειλούμενον τῷ σφηνοειδεῖ ἔριον· καὶ αὕτη δὲ ἡ κλίμαξ ἤτοι ἀπὸ τῶν παρόντων ἀσφαλῶς διακρατείσθω· εἶτα κατὰ τὰ τῶν μερῶν πέρατα εἰς τὸ ἔδαφος καταπεπήχθω μετὰ σφηνώσεως ὡς πρόκειται· δῆλον δ' ὅτι μήκους εὖ ἔχειν δεῖ τὴν κλίμακα, καὶ εἶναι μετὰ τὸ εἰς τὴν τρίτην καταπεπῆχθαι τὸ ὑπερκείμενον αὐτῆς μέτρον, αὔταρκες ἀεὶ πρὸς τὸ τοῦ καταρτιζομένου μέγεθος· ἐστηριγμένης δὲ τῆς κλίμακος ὑπὸ ποδὶ αὐτῇ παρατιθέσθω· ἐφ' ᾧ ἐπιβεβηκὼς ὁ πάσχων ὑπερτιθέτω τὴν χεῖρα ὑπὲρ τὸ κλιμάκιον, ἵνα τὸ σφηνοειδὲς εὐαρμόστως ἐντεθῇ εἰς τὴν μασχάλην· ἔπειτα διπλῆς σκληρίας μεσότης τασσέσθω μεταξὺ τοῦ σφηνοειδοῦς καὶ τοῦ βραχίονος· ἧς αἱ ἀρχαὶ ἔστωσαν ἔξω παρειμέναι.

4. Μετὰ δὲ ταῦτα βρόχος ὁ καρχήσιος λεγόμενος ἢ ἄλλος τις ἰσότονος περιτιθέσθω τῷ βραχίονι, ἀλλὰ μὴ κατὰ μέσου, ἵνα μὴ ὁ μῦς σφίγγηται· ὑπεράνω δὲ τοῦ μυὸς πάχος, ἢ ὑπὸ τὸν μῦν· νῦν γὰρ ἡ ἐκ τοῦ ἀγκῶνος ἀνωμαλία κωλύει τὸν βρόχον ὑποχωρῆσαι· καὶ μᾶλλον οὕτω συμφέρει· τὰ γὰρ ἐκ πολλοῦ διαστήματος γιγνόμενα σώματα εὐχερῶς ἀνίεται· τὰ δὲ σύνεγγυς εὐχερῶς τεινόμενα δυσχερῶς χαλᾶται· μετὰ δὲ τὴν τοῦ βρόχου περίθεσιν τῆς κηρίας, αἱ τοῦ βρόχου ἀρχαὶ ἀγέσθωσαν κάτω, καὶ ἀποδιδόσθωσαν κατ' εὐθὺ τοῦ τύλου τοῦ ἄξονος· εἶτα τότε διὰ τῆς σκυτά-

©BIU Santé

λων ἢ αὐτόθεν ἢ διὰ χειρῶν ὁ ἄξων στρεφέσθω, ἵνα ἐπὶ τοῦ ἄξονος συστροφὴ γένηται· καὶ | κατάτασις εὐθύπορος· ἅμα δὲ τῇ κατατάσει, ἤδη τοῦ τάσεως προκοπτούσης, ὑφελκέσθω τὸ ὑποπόδιον, ἵν' ἐκ τοῦ κλίμακος κρεμασθῇ ὁ πάσχων πρὸς τῷ κατὰ ὑπεραιώρησιν καταρτισμῷ· κρεμαμένου δὲ τοῦ καταρτιζομένου, ὁ ὑπηρέτης * ἐξόπισθεν πλησίον αὐτοῦ ἢ ἐπίτονος τραχήλου ἑστὼς, ἀμφοτέρας τὰς χεῖρας αὐτοῦ συνημμένας καθαπτέτω κατὰ τοῦ αὐχένος τοῦ καταρτιζομένου, καὶ ἀντιμεταγέτω βίᾳ τὸν τράχηλον· προστιθέσθω δ' ἅμα τῇ καταψίᾳ καὶ τῇ ὑπεραιωρήσει· ἀνίεται γὰρ τὰ περικείμενα τῷ ἀνθρώπῳ πλήγματα· τοῦ δὲ τάσεως αὐτάρκους γιγνομένης, παρεστὼς ὁ καταρτίζων, συλλαβὼν τὴν τοῦ κηρίας ἀρχὴν, δι' αὐτῆς ἑλκέτω τὴν βραχίονος κεφαλὴν· ἢ τὸν ἀγκῶνα ἀντιμετάγων εἰς τὰ κλιμάκια· τοῦ δὲ ἐξελκυσμοῦ γενομένου, ἀνίεται ἡ τάσις, καὶ σφάλμα ἐπαγέσθω πρὸς τὴν ἐνάρθρωσιν· τοιοῦτος ἐστὶν ὁ τρόπος τοῦ εὐθυπόρου κατατάσεως· συμφέρει δὲ πρὸς τὸν ἀσφαλῆ καταρτισμὸν, πρὸ τοῦ κατατάσεως ἀσφαλίζεσθαι κηρίαις τὰ σκέλη προσάλληλα· καὶ τὴν ὑγιῆ χεῖρα παρατεταμένην πρὸς τὰς πλευρὰς δεῖν, ἵνα μὴ ἐκ τοῦ καταρτισμοῦ ἀλγηδόνα, ἤ τοι ἐπιβαίνῃ τοῖς κλιμακίοις ὁ καταρτιζόμενος, ἢ τῇ χειρὶ τὰς ἀρχὰς τοῦ βρόχου συνέχῃ. P. 258. * Cod. ὑπερόπτης.

5. Ἐξέσται δέ τινι καὶ κατὰ μετάληψιν καὶ κατά τινας· τίς δὴ ὁ τρόπος τῆς κατὰ μετάληψιν κατατάσεως ὑποδείξω· πάντων τῶν αὐτῶν γεγονότων ἐπὶ τῆς εὐθυπόρου κατατάσεως τῶν δεδηλωμένων, αἱ τοῦ βρόχου ἀρχαὶ διὰ τῶν κάτω τροχίλων μεταλαμβανέσθωσαν ἔσωθεν ἔξω· διδόσθω δὲ τῷ τύλῳ τοῦ ἄξονος ἢ ἔξωθεν ἔσω, καὶ περιτιθέσθωσαν ταῖς τάλαις τοῦ ἄξονος· ἵνα συνεπιστρεφομένου τοῦ ἄξονος κατὰ μετάληψιν γένηται κατάτασις· δύναται δὲ διὰ τοῦ αὐτῆς || παρασκευῆς καὶ ἡ ἀντικαταμετάληψιν τάσις γίγνεσθαι· δηλῶ δὲ τοῦτο πῶς αἱ τοῦ βρόχου ἀρχαὶ ἄγονται κάτω P. 259.

καὶ διεκβάλλονται· καὶ διὰ τῶν ἄνω τροχίλων ἐπιτελεῖ τὰ κα-
ταφέροντα, καὶ ἀποδίδονται ταῖς σκυτάλαις τοῦ ἄξονος, κίνη-
σις ἡ κατὰ ἀντιμετάληψιν καὶ κατάτασις γενήσεται· πάλιν
μετὰ τὴν αὐτάρκη τάσιν αἱ ἀκόλουθοι μοχλεῖαι ἐκκρίνονται
ἐπὶ τῆς εὐθυπόρου τάσεως· δεδηλωμένοι οἱ ἐκ κατατάσεως τρό-
ποι εἰσὶν οὗτοι· δεῖ δὲ μετὰ τὸν καταρτισμὸν πλησίον τῆς κλί-
μακος τὸ ὑποπόδιον τιθέναι, ἵν' ἐπιβῇ αὐτῷ ὁ καταρτιζό-
μενος· καὶ τότε αὐτὸν ἀπὸ τοῦ σφηνοειδοῦς παράγειν· χωρίζειν
δὲ ἀπὸ τῆς κλίμακος ἔχοντα τὸν βραχίονα, ὡς προεῖπον.

6. Ἐπεὶ δὲ διὰ τοῦ αὐτοῦ ὀργάνου ἀνάτασις τοῖς πρώην ἡμῶν
ἱστορήθη γίγνεσθαι, ὀφείλω κἀγὼ κατὰ τὸ ἀκόλουθον καὶ τοὺς τῆς
ἀνατάσεως τρόπους ὑμῖν δηλῶσαι· ὥσπερ οὖν ἔφην ἠθέλησαν
οἱ προγενέστεροι καὶ τοὺς κατὰ ἀνάτασιν καταρτισμοὺς, ἔτι
τε καὶ τοὺς κατὰ διάτασιν, εἰσηγήσασθαι· μάλιστα δὲ
τῇ ἀνατάσει ἐχρήσαντο· ἐφ' ὧν οὐ μόνον ἐξάρθρημα,
ἀλλὰ καὶ κάταγμα τοῦ βραχίονος ἐγένετο· ἴδωμεν οὖν
τοὺς τρόπους καθ' οὓς ἔδοξεν αὐτοὺς καταρτίζειν ἐπὶ τοῦ
κατὰ ἀνάτασιν τρόπου· τῆς ἄλλης τοίνυν κατασκευῆς τοῦ κλιμα-
κίου τῆς αὐτῆς οὔσης, οὐκέτι τὸ σφηνοειδὲς ἐπηρτισμένον τῷ κλι-
μακίῳ πρὸς αὐτὸ ἀσφαλίζεται, ἀλλ' αὐτὸ μόνον ἐπιτίθεται
αὐτῷ· αἱ δὲ τῶν κάλλων ἀρχαὶ μακρόταται οὖσαι, διὰ τῶν ἄνω
προσδεδεμένων τροχίλων διεκβάλλονται ἔσωθεν ἔξω· εἶτα ἄ-
γονται κάτω, καὶ ἀποδίδονται ταῖς σκυτάλαις τοῦ ἄξονος οἱ
τύλοι· τούτων οὕτως γενομένων τότε πλησίον τῆς κλίμακος ὑ-
ποπόδιον, ᾧ ἐπιβεβηκὼς ὁ πάσχων ὑπερτίθησι τὴν χεῖρα, ἵνα
P. 260. πάλιν τὸ σφηνοειδὲς εἰς τὴν μασχάλην· | ἔπειτα βρόχος ὁ
καρχήσιος ἢ ἄλλος τὶς ἰσότονος περιτίθεται τῷ βραχίονι,
οὗ αἱ ἀρχαὶ ἄγονται κάτω καὶ ἀποδίδονται κλιμακίῳ ἔν τι
κλίμακος πρὸς κράτημα· γενομένου δὲ τοῦ κρατήματος, κα-
θὼς ἐδηλώθη, στρέφεται ὁ ἄξων ὅτε καταλαμβάνει τῇ τοῦ ἄξο-
νος στροφῇ διὰ τοῦ κάλλου κατὰ μετάληψιν ἀνελκόμενον τὸ

©BIU Santé

σφηνοειδὲς τὴν ἀνάτασιν ἐπιτελεῖ· μετὰ δὲ τὴν αὐτάρκη τάσιν ἡ κατ' ἐξελκυσμὸν μοχλεία διὰ διπλῆς κηρίας γίγνεται· τὸ δὲ σφάλμα διὰ χειρῶν.

7. Τούτῳ ἐγὼ τῷ καταρτισμῷ οὐ συναρέσκομαι, διότι αἰωρούμενον τὸ σφηνοειδὲς περιτρέπεται· ὅταν δὲ μὴ μένῃ ἐν τῇ μασχάλῃ, οὐ γίγνεται οὐδὲ τοῦτο τοῦ καταρτισμοῦ τέλος· καὶ μάλισθ' ὅταν θέλῃ τίς κρεμαμένου τοῦ πάσχοντος κατὰ ὑπεραιώρησιν καταρτίζειν· ἀσφαλὴς δὲ γίγνεται ἡ κατάτασις βεβιωκότος τοῦ σφηνοειδοῦς τῶν κλιμακίων, καὶ διὰ τῶν κάλλων ἠσφαλισμένου, ὡς πρόσθεν ἐδηλώθη· πῶς δὲ καὶ κατὰ ἀνάτασιν ἡμεῖς ἐνεργοῦμεν ἀσφαλῶς, εἴσεσθε μετ' ὀλίγον ἐν τῇ παραδόσει τῶν κεκλιμένων καταρτισμῶν· ὁ δὲ κατὰ διάτασιν τρόπος γίγνεται, τῶν ἄλλων μὲν πάντων συντελουμένων, τῶν δὲ τοῦ βρόχου ἀρχῶν οὐκέτι ἀσφαλιζομένων πρὸς τὸ κλιμάκιον, ἀλλὰ τῷ τύλῳ τοῦ ἄξονος αὐτόθεν προσδεδεμένων· ἢ κατὰ μετάληψιν πρότερον διὰ τῶν κάτω τροχίλων μεταλαμβανομένων, καὶ τότε τῷ ἄξονι ἀποδιδομένων· ἐγκλήματα δὲ ταῦτα καὶ νῦν κομιζέσθω τὰ τῆς διατάσεως τὰ μικρῷ πρόσθεν ἐπὶ τῆς ἀνατάσεως εἰρημένα· ἀεὶ γάρ μοι ἀρέσει ἄρθρου τοῦ πάσχοντος καταρτιζομένου, μόνῃ τῇ κατατάσει ἐνεργεῖν. Περὶ τῆς εἰς τὴν μασχάλην διαφορᾶς λόγον ποιησάμενος, ἀκολούθως βούλομαι καὶ τῆς ἔμπροσθεν ἔτι καὶ τῆς ὀπίσω διαστεῖλασθαι διαφορᾶς. ||

## VIII. Περὶ τῆς ἔμπροσθεν καὶ τῆς ὀπίσω τοῦ ὤμου διαφορᾶς. P. 261.

1. Ἐπὶ τῆς ἔμπροσθεν καὶ ὀπίσω τοῦ ὤμου διαφορᾶς, τοῦ κλιμακίου κατὰ ταῦτα καὶ ὡσαύτως παρεσκευασμένου ἢ ἐσχηματισμένου, προσδεδεμένου δὲ τοῦ τονίου καὶ τῶν τροχίλων, καθάπερ προείρηται, πάλιν πρὸς τὸν καταρτισμὸν ὑποπόδιον δεῖ τιθέναι

πλησίον τῆς κλίμακος· καὶ πρὸς τὸν καταρτισμὸν ἐπιτήδειον
κλιμάκιον ἐρίῳ ἢ ὀθονίῳ περιειλεῖν· ἔπειθ' ὑπερτιθέναι τὴν
χεῖρα, ἵνα κατὰ τοῦ κλιμακίου προπεριειλημένου ὡς ὑπεδείχθη
στηριχθῇ ἡ μασχάλη· καὶ τότε τῷ βραχίονι τὸν καρχήσιον
βρόχον, ἢ ἄλλον ἰσότονον περιτιθέναι, καθὼς εἴρηται· τοῦ βρόχου
τὰς ἀρχὰς ἄγειν κάτω ἐπὶ τὸ τόνιον δεῖ· καὶ ἀποδιδόναι τῷ
ἄξονι τὴν κατ' εὐθὺ μετάληψιν, ὡς προιστόρηται ἐπὶ τῆς
εἰς τὴν μασχάλην διαφορᾶς· ἵνα πάλιν τῇ τοῦ ἄξονος στρο-
φῇ, τοιάδε κατάτασις γένηται· ἅμα δὲ τῇ κατατάσει πά-
λιν ὀφείλει τι ἐξόπισθεν παρεστὼς καθάπτειν ἑαυτοῦ τὰς
χεῖρας κατὰ τοῦ τροχίλου τοῦ καταρτιζομένου, πρὸς τὴν τοῦ σώ-
ματος ἀντιμεταγωγήν.

2. Ἐξέσται δὲ νῦν μᾶλλον τί προσθεῖναι τῇ τῆς τά-
σεως βίᾳ· καὶ τῇ κατατάσει τὸ ὑποπόδιον ἐφελκύσας,
τὸν δὲ πάσχοντα κρεμάσας· ἵνα καθ' ὑπεραιώρησιν συν-
εργήσῃ τῷ χαλάσματι τῶν προκειμένων τῷ ἄρθρῳ στεγμά-
των· αὐτάρκως δὲ τῆς τάσεως γενομένης πρὸς τὴν ἀθρεμβο-
λίαν, αἱ κατὰ περιαγωγὴν μοχλεῖαι γιγνέσθωσαν ὑπ' αὐτοῦ
τοῦ καταρτίζοντος· δεῖ δὲ ἐπὶ μὲν τῆς ἔμπροσθέν τ' ὄθεν ἄρῃ
τῆς χειρὸς, βιαζέσθω τὴν κεφαλὴν, τοῦ βραχίονος ἐκ τοῦ παρὰ φύ-
σιν τόπου εἰς τὸ κατὰ φύσιν ἑτέρᾳ χειρὶ ἀντιμεταγομένου τοῦ
ἀγκῶνος, αἱ τῶν ὀπισθίων μερῶν εἰς τὰ ἐμπρόσθια· τούτου
δὲ τοῦ ἔργου γιγνομένου, ὑπηρέτης παρεστὼς πλατείᾳ τῇ χειρὶ
P. 262. ἀνατρεπέτω τὴν ὠμοπλάτην, ἀντερεί|δων τὴν χεῖρα τῇ ὠμο-
πλάτῃ, ἵνα μὴ ἑλκύηται ἡ τοῦ ἔργου βία· ἐπὶ δὲ τῆς ὀπίσω
διαφορᾶς γιγνέσθω τὰ ἐναντία· ἡ μὲν κεφαλὴ τοῦ βραχίονος
κατὰ τὴν τοῦ αὐτοῦ θέναρος ἀντέρεισιν, ἀπὸ τοῦ πρὸς τῇ ὠμο-
πλάτῃ τόπου εἰς τὸ κατὰ φύσιν μεταγομένης· ὁ δὲ ἀγκὼν
τῇ ἑτέρᾳ χειρὶ ἰστοῦται πάντη μεταγέσθω· οὕτως ἡμῖν ἀρ-
κεῖ τὴν εἰς τὸ ἔμπροσθεν καὶ τὸ ὀπίσω τοῦ ὤμου διαφορὰν κα-
ταρτίζειν.

©BIU Santé



3. Οἱ δὲ ἄλλοι ἐπὶ ἀμφοτέρων τούτων ἀνέγραψαν· καὶ τὸν κατὰ ἀνάτασιν καταρτισμὸν ἴδωμεν πῶς ἔδοξεν αὐτοῖς ἐνεργεῖν· κλιμακίου ὡσαύτως παρασκευασμένου διπλῆς κηρίας, ἡ κάλλου μεσότης ἐρίῳ ἢ ὀθονίῳ περιειλεῖται· εἶτα ὑποτίθεται ὑπὸ τὴν μασχάλην· καὶ τότε αἱ ἀρχαὶ ἀπὸ τῶν ἄλλων τροχίλων ἐκληφθεῖσαι ἄγονται κάτω, καὶ ἀποδίδονται ταῖς σκυτάλαις ἀπὸ τοῦ ἄξονος ὡς τύλοις· ἔπειτα τῷ βραχίονι καρχήσιος βρόχος ἢ ἄλλος ἰσότονος περιτίθεται· οὗ αἱ ἀρχαὶ ἄγονται κάτω, καὶ πρὸς δέον κλιμακίῳ τινὶ τῆς κλίμακος πρὸς κράτημα· τούτων γενομένων ὡς εἴρηται, στρέφεται ὁ ἄξων· στρεφομένου δὲ τοῦ ἄξονος, κράτημα γίνεται καὶ ἀνάτασις· πάλιν δὲ μετὰ τὴν αὐτάρκη τάσιν, κατὰ παραγωγὴν δοκιμάζονται μοχλεῖαι ἐπὶ τῆς διατάσεως· αἱ μὲν τοῦ βρόχου ἀρχαί, τῷ τύλῳ τοῦ ἄξονος ἀποδίδονται, καὶ αὐτόθεν μετὰ κατάληψιν· αἱ δὲ τοῦ κάλλου ἀρχαὶ κατὰ μετάληψιν· τοῦ ἄξονος στροφὴ ἢ κατάτασις γένηται, μετὰ τὴν αὐτάρκη τάσιν, τῶν αὐτῶν μοχλειῶν τὴν παραγωγὴν δοκιμαζομένων· αἱ μὲν οὖν τάσεις τείνονται· αἱ δὲ μοχλεῖαι οὐκ εἰσὶν ἀσφαλεῖς· αἰωρούμενος γὰρ τῷ κρεμασμῷ καὶ παραφερόμενος ὁ πάσχων, δυσχερῶς ἀθρεμβολεῖται· καὶ διὰ ταύτην τὴν αἰτίαν ἔδοξέ μοι καὶ νῦν ὑπερτίθεσθαι τὴν ἀνάτασιν καὶ τὴν διάτασιν· ἐνεργεῖν δὲ τὴν ἐπὶ πάντων τοῦ ὤμου || ὀλισθημάτων κατάτασιν, ὀρθοῦ P. 263.
τοῦ πάσχοντος καταρτιζομένου γιγνομένην. Ἀπὸ τοῦ ὤμου ἐπὶ τὸν ἀγκῶνα μέτειμι.

## IX. Περὶ ἀγκῶνος.

1. Κοινῶς τὰ δύο τοῦ πήχεως ὀστᾶ εἰς τέσσαρας τόπους ὀλισθαίνει, τὸ ἔσω, τὸ ἔξω, τὸ ἔμπροσθεν, τὸ ὀπίσω· καὶ ἐπὶ μὲν τῶν τριῶν διαφορῶν τῆς ἔσω καὶ τῆς ἔξω καὶ τῆς ὀπίσω κέκαμπται ἡ χείρ, ἐκτείνεσθαι μὴ δυναμένη· ἐπὶ δὲ τῆς ἔμπροσ-

θεν διαφορᾶς ἐκτέταται, κάμπτεσθαι μὴ δυναμένη· κοινῶς δὲ ἐπὶ τῶν τριῶν διαφορῶν ἐφ' ὧν κεκαμμένη ἡ χεὶρ, ἐκτείνεσθαι ἀδυνατεῖ· τῆς κλίμακος μετὰ τῆς τονίου παρασκευασμένης, καθὼς εἴρηται, πρὸς τὸν καταρτισμὸν, ἤτοι αὐτόθεν παρεστὼς τῷ κλιμακίῳ ὁ καταρτιζόμενος, καὶ πλησίον ὄντι τῷ ὑποποδίῳ ἐπιβεβηκὼς, ὑπερτιθέσθω τὴν χεῖρα ὑπὲρ τὸ ἐπιτήδειον αὐτοῦ κλιμάκιον· καὶ τότε ὁ βραχίων διὰ τοῦ λεγομένου φοίνικος ἐπιδέσμου κρατείσθω, βρόχος ἀνισότονος ὡς ἑορτὸς χηστῶν ναυτικός· ὧ περιτιθέσθω τῷ πήχει πλησίον τοῦ καρποῦ· οὗ αἱ ἀρχαὶ ἀναγέσθωσαν καὶ ἀποδεδίσθωσαν ἑνὶ κλιμακίῳ πρὸς κράτημα· ἵνα μείνῃ ἐν τῇ τάσει ἀσφαλῶς φυλασσόμενον τὸ τῆς χειρὸς τόνιον, σχῆμα ὂν τῶν γιγνομένων· διπλῆς κηρίας μεσότητος περιτιθέσθω πήχει ἐγγὺς ἀγκῶνος, ἧς αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω ἐπὶ τὸν ἄξονα· καὶ ἤτοι κατ' εὐθὺ τύλῳ τοῦ ἄξονος ἀποδιδόσθωσαν, ἢ κατὰ μετάληψιν, καθάπερ ἐπὶ τῶν τοῦ ὤμου ἐξαρθρημάτων· ἵνα πάλιν τῇ τοῦ ἄξονος στροφῇ γένηται κατάτασις.

2. Ἀναγέγραπται δὲ ἐπὶ τοῦ ἀγκῶνος καὶ ὁ κατὰ ἀνάτασιν καταρτισμός· τρόπῳ δὲ γίγνεται τούτῳ· ἄλλων ἐπάντων συντελουμένων, καθὼς ἱστορήθη, οὐκέτι ὁ βραχίων ἀσφαλίζεται κρατήματι, ἀλλ' αὐτῷ ὁ βραχίων ὁ καρχήσιος ἢ ἄλλος τὶς ἰσότονος περιτίθεται· οὗπερ βρόχου αἱ
P. 264. ἀρχαὶ ἀνάγονται· καὶ | διὰ τῶν ἄνω τροχίλων ἔσωθεν ἔξω ἐκλαμβάνονται· εἶτα φέρονται κάτω, καὶ ταῖς τοῦ ἄξονος ὡς τύλοις ἀποδίδονται· τῆς δὲ διπλῆς κηρίας αἱ ἀρχαὶ καταφέρονται καὶ ἀντιδίδονται κινητῷ τινὶ προσκρατήματι· ὅ τε λοιπὸν στρεφομένου τοῦ ἄξονος οὐδὲν ἄλλο γίγνεται ἢ κράτημα καὶ ἀνάτασις κατὰ μετάληψιν· πρόδηλος δὲ ἐκ τούτων ἐστι καὶ ὁ διατάσεως τρόπος· τὴν γὰρ διάτασιν αἱ μὲν τοῦ βρόχου ἀρχαὶ τῷ τύλῳ τοῦ ἄξονος ἀποδίδονται· ἵνα τῇ αὐτῇ τοῦ ἄξονος στροφῇ, διάτασις γένηται· μετὰ δὲ τὴν αὐτάρκη τάσιν αἱ

ἀκόλουθοι μοχλεῖαι δοκιμάζονται· ἐπὶ μὲν οὖν τῶν δύο δια-
φορῶν τῆς τε ἔσω καὶ τῆς ἔξω καταπαράγειν· ἐπὶ δὲ τοὺς ὀπίσω
ἢ κατ' ἐξελκυσμόν· τοὺς δὲ τρόπους τῶν μοχλειῶν τούτων, ἐν
τῇ περὶ ὀλισθημάτων πραγματείᾳ δεδήλωκα· ταῦτα δεῖ ποι-
εῖν ἐπὶ τῶν δεδηλωμένων τοῦ ἀγκῶνος διαφορῶν.

3. Ἐπὶ δὲ τῆς ἔμπροσθεν διαφορᾶς, ἐφ' ἧς ἔλεξα ἐκτεταμένην
τὴν χεῖρα μὴ κάμπτεσθαι, πάλιν τῆς αὐτῆς οὔσης κλίμακος καὶ τῆς τοῦ
τονίου παρασκευῆς πλησίον τῆς κλίμακος, καὶ ἑστῶτος τοῦ καταρτιζο-
μένου, ὑπερτίθεται ἡ χεὶρ εἰς τὸ ἐπιτήδειον τῆς κλίμακος κλιμά-
κιον· εἶτα ἀσφαλίζεται ὁ βραχίων πρὸς τὸ κλιμάκιον διὰ τοῦ αὐ-
τοῦ ἐπιδέσμου· καὶ τότε ὁ βρόχος ἰσότονος τῷ πήχει περιτίθε-
ται πλησίον τοῦ καρποῦ· οὗ αἱ ἀρχαὶ ἄγονται ἐπὶ τὸ τόνιον
πρὸς τὴν κατάτασιν· εἰ δέ τις βούλοιτο κατὰ κράτημα καὶ ἀ-
νάτασιν ἐνεργεῖν, μηκέτι τὸν βραχίονα ἀσφαλιζέσθω πρὸς τὸ
κλιμάκιον· ἀλλ' ἀμφοτέροις τοῖς κώλοις ἰσοτόνους βρόχους πε-
ριτιθέτω· ἕνα μὲν τῷ βραχίονι, ἕνα δὲ τῷ πήχει· καὶ τοῦ
μὲν ἄνω βρόχου τὰς ἀρχὰς || ἀγέτω ὑπὲρ κεφαλῆς· τοῦ δὲ κά- P. 265.
τω, ἵνα τάσεις γένωνται, καθὼς ἐν τοῖς ἄλλοις καταρτισ-
μοῖς ἐδηλώθη· μετὰ δὲ τὴν αὐτάρκη τάσιν, νῦν πρὸς τὴν κα-
ταγωγὴν δύο μοχλευτικὰ ἐνεργήματα παραλαμβάνεται, τό τε
κατὰ εἴσωσιν καὶ τὸ κατὰ περισφαλέξιν πρὸς τὸ τὰ τῆς διεισπω-
σης ἐπιμενούσης τῆς τάσεως γιγνομένης· εἶτα ἐπακολουθεῖ τῇ
περισφάλσει ἀνεθείσῃ· τοὺς δὲ τρόπους τῶν μοχλειῶν τούτων
πολὺ πρότερον ἐκτέθειμαι ἐν τῷ περὶ τῶν ὀλισθημάτων
ὑπομνήματι· δεῖ δὲ μετὰ τὴν καταγωγὴν τῶν μερῶν κάμπ-
τειν τὴν χεῖρα καὶ ἐκτείνειν, στρέφειν τε αὐτὴν ἐπί τε τὸ
πρηνὲς καὶ τὸ ὕπτιον σχῆμα εἰς ἐπίγνωσιν τοῦ καταρτισμοῦ
τέλους· καὶ τότε ἐγγώνιον τὴν χεῖρα σχηματίζειν πρὸς τὴν
ἑξῆς ἀκόλουθον θεραπείαν· τοῖς δεδηλωμένοις τρόποις καταρ-
τίζεται ἀμφότερα τὰ τοῦ πήχεως ὀστᾶ παρὰ φύσιν διατεθέν-
τα· ἐπεὶ δέ ποτε καὶ ἑκατέρων αὐτῶν κατ' ἰδίαν πάσχει ἕξις

τὰ μὲν τῆς ἰδίας χώρας, ἀναγκαῖον ἐστὶν εἰπεῖν ἑξῆς πῶς ὁ πῆχυς ἐξαρθρήσας καταρτισθήσεται· καὶ πῶς ἡ κερκὶς παραρθρήσασα καταγωγῆς ἀξιωθήσεται.

## X. Περὶ πήχεως καὶ κερκίδος.

Ἐξαρθρεῖ ποτὲ καθ' ἑαυτὸν ὁ πῆχυς, καὶ πάλιν κατ' ἰδίαν ἡ κερκὶς παραρθρεῖ εἰς τοὺς εἰρημένους τρόπους τῇ περὶ τῶν ἄρθρων· πάλιν δὲ πρὸς τὸν καταρτισμὸν τῶν ὀστέων τούτων· εἶτα ἀσφαλίζεσθαι τὸν βραχίονα πρὸς τὸ κλιμάκιον διὰ τοῦ φοίνικος ἐπιδέσμου· αὐτῷ δὲ τῷ φοίνικι συμφέρει περιτιθέναι ἀνισότονον βρόχον· τούτου δὲ τοῦ βρόχου αἱ μὲν ἀγκύλαι ἀπὸ τοῦ καταρτιζομένου μέρους· αἱ δὲ ἀρχαὶ κατὰ τὸ ἀντικείμενον, τουτέστι κατὰ τὸ ὑγιές· ἰδίως γὰρ οἱ ἀνισότονοι βρόχοι ἐκεῖνα μᾶλλον βιάζονται τὰ μέρη, εἷς περιτίθενται αὐτῶν αἱ ἀγκάλαι· ἧσσον δὲ κατὰ | τὰς ἀρχάς· θέλομεν δὲ
P. 266.
ἡμεῖς τὸ μὲν ἄνω ὀλισθηκὸς ὀστέον κατατείνειν· τὸ δὲ κατὰ φύσιν ἔχον μὴ βιάζεσθαι· τοῦ δὴ οὖν βρόχου αἱ ἀρχαὶ ὀφείλουσιν ἀποδίδοσθαι τῷ τύλῳ τοῦ ἄξονος, ἵνα στροφὴ ἡ κατάτασις γένηται· μετὰ δὲ τὴν αὐτάρκη τάσιν, πρὸς τὴν καταγωγὴν ταῖς ἀκολούθοις μοχλείαις χρήσασθαι· ἐπὶ μὲν τῆς ἔσω τοῦ πήχεως διαφορᾶς καὶ τῆς ἔξω κερκίδος παραγωγῆς, τῶν δύο χειρῶν οἱ δάκτυλοι συνημμένοι ὑποτίθενται τῷ ἀγκῶνι, καὶ ταθὲν ἅρα ἑκατέρωθεν παρατίθενται· ὧν τῇ βεβιασμένῃ προαιρήσει ἡ παραγωγὴ γίνεται· ἐπὶ δὲ τῆς ὀπίσω διαφορᾶς καὶ μάλιστα τοῦ πήχεως κατ' ἐξελκυσμὸν ἐνέργημα εὐθετεῖ· τῆς δὲ κερκίδος τὸν ἔμπροσθεν τόπον παραρθρηκυίας, εἴπωσις καὶ περίσφαλσις δοκιμάζεται, καθὼς ἐδηλώθη ὅτε κατερτίζετο ἀμφότερα τὰ ὀστέα εἰς τὸν ἔμπροσθεν τόπον ἐνηγμένα· τοὺς δὲ ἀκριβεῖς τόπους τῶν μοχλῶν τούτων ἐν τῇ περὶ τῶν ὀλισθημάτων πραγματείᾳ ἐκτίθεμαι· τεκμήριον τε ἔσται τοῦ καταρτισμοῦ ἐπὶ μὲν τοῦ πή-

χέως ἡ ἀνεμπόδιστος τῶν χειρῶν κάμψις τε καὶ ἔκτασις· ἐπὶ
δὲ τῆς κερκίδος, ἡ ἐπὶ τὸ πρηνὲς καὶ τὸ ὕπτιον στροφή· ὡς μὲν
οὖν δεῖ διὰ τοῦ κλιμακίου ὀρθὸν τὸν πάσχοντα καταρτίζειν,
ἐδηλώθη· ἐπεὶ δὲ διά τινα εὔλογον αἰτίαν ἢ δι' ἀσθένειαν
ἢ διὰ κάταγμα τοῦ μηροῦ ἅμα γενομένου ἢ κνήμης ὀρθῶς κα-
ταρτίζεσθαι οὐ δύναται ὁ πάσχων, ἀναγκαῖόν μοι ἐστὶν ἑξῆς
διδάξαι πῶς κεκλιμένης τῆς κλίμακος αὐτῇ ἢ βάθρῳ ὁ πάσ-
χων καταρτισθήσεται.

## XI. Πῶς κεκλιμένον τὸν πάσχοντα δεῖ καταρτίζειν.

Κλίνειν δεῖ τὴν κλίμακα, καὶ τότε τοῖς σκέλεσιν αὐτῆς
ἑκατέρωθεν ὑπὸ τὰ πέρατα λίθους ἢ ξύλα ὑποτιθέναι, ἵνα
μετεωρισθῇ ἀπὸ τοῦ ἐδάφους· || σινδόνι δὲ τοῖς κλιμακτῆρσιν τι- P. 267.
θέναι, ὁμαλισμοῦ χάριν· οὕτω γὰρ ἡ κλίνη ἀναλογήσει ἢ
βάθρῳ πρὸς τὴν ἐν τῷ καταρτισμῷ κατάκλισιν τοῦ πάσχοντος· τὸ
δὲ τόνιον ἀσφαλιζέσθω πρὸς τὴν κλίμακα πρὸς τοῖς κάτω πέρα-
σι τῶν σκελῶν· καὶ πάλιν οἱ τρόχιλοι καθὼς εἴρηται προσδεδέ-
σθωσαν, δύο μὲν ἄνω, δύο δὲ κάτω· τῆς δὲ κλίμακος πρὸς
τὸν κεκλιμένου καταρτισμὸν αἱρετώτερόν ἐστι βάθρον μᾶλλον
παντὸς κατὰ τὸ πέρας τῆς σανίδος τετραγώνοις ἐκκοπαῖς ἐκ-
κεκομμένον, πρὸς ἀσφαλῆ τὴν εἰς αὐτὸ τοῦ τονίου ἔνθεσιν· εἰ μὲν
γὰρ παρασκευὴ ἡμῖν τίς εἶναι ὤφειλε, δεδήλωται· τούτους δὲ
πάλιν ἐκθήσομαι τοὺς τοῦ ὤμου καταρτισμούς· δεῖ δὲ τοίνυν
ἐπὶ τῶν τοῦ ὤμου ἐξαρθρημάτων κεκλιμένον σχηματίζειν τὸν
κάμνοντα, ἤτοι ἐπὶ τῆς κλίμακος, ἢ ἐπὶ τοῦ τονίου πλησίον τῶν
ποδῶν· ὧν ὄντως * ὕπτιον μὲν ἐπί τε τὴν εἰς τὴν μασχάλην * Ita cod.
καὶ τὴν ἔμπροσθεν διαφορὰς, ἐπάγειν τὰς τῶν κώλων ἀρχὰς,
ὑπὲρ κεφαλῆς μὲν ἔμπροσθεν ἢ ὄπισθεν οὔσας, καὶ τῆς διπλῆς
κηρίας τὴν μεσότητα περιτιθέναι τῷ βραχίονι μεταξὺ τοῦ βρα-
χίονος καὶ τοῦ σφηνοειδοῦς, γίνεται ἔξω τὰς τῆς κηρίας ἀρχάς· καὶ

οὕτως ἐᾶν παρειμένας· μετὰ ταῦτα δὲ καρχήσιον βρόχον ἢ
Γρ. ἐλίχθη. ἄλλον ἰσότονον περιτιθέναι τῷ βραχίονι, καθὼς ἐλεγχθῇ
πρόσθεν· οὗ βρόχου τὰς ἀρχὰς ἄγειν κάτω ὡς ἐπὶ τὸ τόνιον·
λοιπὸν δὲ ἔχοντες ἀρχὰς κάτω πρὸς τοὺς πόδας ἐνεργήσο-
μεν εἰς κατακράτημα καὶ ἀνάτασιν· ἤτοι κατὰ τὸ εὐθύπορον ἢ
κατὰ μετάληψιν, ὡς πρόσθεν ὑπεδείχθη· δεῖ δὲ μετὰ τὴν αὐ-
τάρκη τάσιν, ταῖς καταλλήλαις μοχλείαις ἀρθρεμβολεῖν τὸν
βραχίονα· εὐθετεῖ δὲ εἰς τὴν τῆς μασχάλης διαφορὰν δύο
μοχλευτικὰ ἐνεργήματα, τό τε κατ' ἐξελκυσμὸν καὶ τὸ κατὰ
P. 268. σφάλμα· γίγνεται δὲ ἐπιμενούσης τῆς τάσεως διὰ τῆς διπλῆς· |
κηρίας τὰς ἀρχὰς διακρατήσαντες, ἐξέλκομεν βιαίως τὴν κεφαλὴν
τοῦ βραχίονος· ἅμα δὲ τῷ ἐξελκυσμῷ ἀντιμετάγομεν τὸν ἀγκῶνα
ἔνδον πρὸς τὰς πλευράς· τῷ γὰρ δεδηλωμένῳ ἐνεργήματι ῥα-
δίως ἐξάγεται καὶ εὐχερῶς μετάγεται ἡ κεφαλὴ τοῦ βραχίονος
εἰς τὸν ἔξω τόπον· τοῦ δὲ ἐξελκυσμοῦ γινομένου, ἐπαναγέσθω
τὸ σφάλμα, ὡς ἂν τὰ σχήματα ἅμα νοήματι, ἡ μὲν τάσις
ἀνιέσθω· συλλαμβανέσθω δὲ ὁ βραχίων καὶ ἀναβιβαζέσθω
πρὸς ἐνάρθρωσιν· ταῦτα δεῖ ποιεῖν ἐπὶ τῆς εἰς τὴν μασχά-
λην διαφορᾶς.

## XII. Περὶ ὤμου διαφορᾶς.

1. Ἐπὶ τῆς ἔμπροσθεν καὶ τῆς ὀπίσω διαφορᾶς τοῦ ὤμου, ἐ-
σχηματισμένου τοῦ πάσχοντος, καθὼς δεδήλωται, ὑπτίου μὲν
ἐπὶ τῆς ἔμπροσθεν διαφορᾶς, πρηνοῦς δὲ ἐπὶ τῆς ὀπίσω, κάλ-
λους ἡ κηρίας μεσότης ἐρίῳ ἢ ὀθονίῳ περιειλημένη ὑποτιθέσθω
τῇ μασχάλῃ· καὶ τότε αἱ ἀρχαὶ ἀναγέσθωσαν ὑπὲρ κεφαλῆς,
ἀλλὰ μὴ κατὰ κάθετον πάσχοντα ὦμον· λοξαὶ δὲ ὡς ἐπὶ
τὸν ἀντικείμενον φερέσθωσαν, καὶ ἀποδιδόσθωσαν ἀκινήτῳ τι-
νὶ προσκρατήματι· ἡ δὲ αἰτία ἐζήτηται, διὰ τί οὐ κατ' εὐ-
θὺ ἄγονται αἱ ἀρχαί, ἀλλὰ λοξούμεναι φέρονται ὡς ἐπὶ

©BIU Santé



τὸ ἀντικείμενον μέρος· οἱ μὲν οὖν περὶ τὸν Πασικράτην καὶ τινες ἄλλοι ἔφασαν, τοῦτο γίνεσθαι ἵνα μὴ ὑπὸ τῆς τοῦ κάλλου μεσότητος ἀνελκομένης τῆς τοῦ βραχίονος κεφαλῆς, ἐμποδίζωνται κατατάσεις· ἐπλανήθησαν δὲ τῇ τοῦ μηροῦ ὁμοιότητι, τοῦ πράγματος οὐκ ἔχοντος οὕτως· ὁ μὲν γὰρ μηρὸς ἐπικλίνει ᾗ κέχρηται γαμμοειδεῖ· ὁ δὲ βραχίων καθημοτομῶν ἐσφαίρωται· καὶ οὐχ ὥσπερ ὁ μηρὸς, οὕτως καὶ ὁ βραχίων ὑπὸ τῆς μεσότητος τοῦ κάλλου ἀναπιεζούμενα τὰ τῆς μασχάλης σώματα πληρώσει τὸν τῆς μασχάλης τόπον· τῆς γὰρ κοτύλης ἀναπληρωθείσης, οὐκέτι τόπον ἕξει πρὸς || τὴν ἐνάρθρωσιν ἡ κεφαλὴ τοῦ P. 269.
βραχίονος.

2. Ὡσαύτως δὲ καὶ ἡμεῖς κατὰ ταῦτα τοῖς οὐ πολὺ πρὸ ἡμῶν γενομένοις σχηματίζομεν τὴν κηρίαν ἢ τὸν κάλλον διὰ τὴν ἱστορημένην αἰτίαν· εἰώθαμεν δέ ποτε καὶ ἄλλως τὸ κράτημα ἐπιτελεῖν· δύο γὰρ βρόχους ἀνισοτόνους πλέκοντες περιτίθεμεν τῷ θώρακι καὶ τῷ νώτῳ· καὶ ὑπὸ τὰς μασχάλας κατὰ ἀντίθετον ἄξειν τὰς ἀρχὰς ἀναδίδομεν τῷ κρατήματι· γενομένου δὲ τοῦ κρατήματος κατὰ τὸν ἱστορημένον τρόπον, βρόχον ἰσότονον τῷ βραχίονι περιτίθεμεν, καθὼς εἴρηται, ἐπὶ τῆς εἰς τὴν μασχάλην τοῦ ὤμου διαφορᾶς· καὶ τότε τοῦ βρόχου τούτου τὰς ἀρχὰς ἄγομεν κάτω ἐπὶ τὸ τόνιον, καὶ ἀποδίδομεν τῷ ἄξονι, ἵνα τῇ τοῦ ἄξονος στροφῇ κράτησις γένηται καὶ κατάτασις· μετὰ δὲ τὴν αὐτάρκη τάσιν, κατὰ ἴσωσιν μοχλίᾳ χρώμεθα περὶ τὴν τοῦ ἄρθρου καταγωγήν· τῷ θέναρι τῆς χειρὸς βίᾳ ἱπποῦντες τὴν κεφαλὴν τοῦ βραχίονος, καὶ τῇ ἑτέρᾳ ἀντανακλῶντες τὸν ἀγκῶνα· τὸ δὲ σημεῖον τῆς καταγωγῆς πρόσθεν ἡμῖν ἐδηλώθη· ἔσθ' ὅτε δέ ποτε μετὰ τοῦ ἐξαρθρήματος καὶ κάταγμα γίνεται κατὰ μέσου τοῦ βραχίονος· καὶ ἀνάγκην ἴσχειν ὁ ἰατρὸς ὑπὸ τὸν αὐτὸν καιρὸν ἀμφότερα τὰ συμπτώματα καταρτίσαι.

3. Στήσω δὲ τὸν λόγον διδασκαλίας χάριν ἐπὶ τῆς



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 161 sur 544

εἰς τὴν μασχάλην διαφορᾶς, ἅμα τοῦ βραχίονος μέ-
σου κατεαγότος· ἐζήτησαν δὲ οἱ προγενέστεροι ἄνδρες περὶ
τοῦ καταρτισμοῦ τῶν τοιούτων συμπτωμάτων· καὶ ὁ μὲν
Πασικράτης πρῶτον καταρτίσαι τὸ ὀλίσθημα, ὅτε πλεί-
στην ἐζήτει βίαν ἐν τῷ καταρτισμῷ· τὸ δὲ κάταγμα εἴσω
μὲν ἄν τις ὑπὸ τὸ κάταγμα περιτιθεὶς τὸν βρόχον, τῷ αὐ-
τῷ καιρῷ τὰ συμπτώματα καταρτίζει, τοῦ κατάγματος μᾶλ-
P. 270. λον ἤδη κατατεινομένου ἐν χρόνῳ αὐτάρκως | τείνεται τὰ ἐξαρ-
θρήματα περικείμενα πλέγματι· τῷ κατάγματι ὑπερδιατει-
νόμενα ἀδικηθήσεται νεῦρα, παραλυθήσεται, ἢ ῥαγήσεται·
τάχα δὲ καὶ ὅλα τὰ σώματα, μήπω φθάσαντος τοῦ ἄρθρου,
χαλασθῆναι· διὰ ταῦτα ἔδοξεν αὐτῷ ὑπὲρ τὸ κάταγμα βρόχον
περιτιθέναι· καὶ πρῶτον τὸ ἐξάρθρημα καταρτίζειν· εἶτα μετὰ
τοῦτο τὸ κάταγμα. Ἀριστείων δὲ ὑπὸ τὸν αὐτὸν καιρὸν ἠθέ-
λησεν ἀμφότερα τὰ συμπτώματα καταρτίζειν· ἐὰν γὰρ πρῶ-
τον τὸ ἐξάρθρημα καταρτισθῇ ἐν τῇ τοῦ κατάγματος κα-
ταρτίσει, ὑπόγειος κατηρτισμένη ἡ κεφαλὴ τοῦ βραχίονος ἐκ-
πεσεῖται· τὰ δὲ εἰς ἑκάτερον μέρος εἰρημένα, ἐγκλήματα ἐσ-
τὶν ἀληθῆ.

4 Καὶ διὰ ταῦτα ἡμῖν ἀρέσκει, πρῶτον μὲν καταρ-
τίζειν τὸ ἐξάρθρημα, καὶ τότε τὸ κάταγμα· ἀλλὰ μετ' ἀσ-
φαλείας, ἵνα μὴ τῇ τοῦ κατάγματος κατατάσει ἐκπέσῃ καὶ τὸ
ἄρθρον· πρὸς δὲ καὶ τὸν καταρτισμόν· τὸ δὲ ἐκ τῶν κάλλων
ἠρτημένον σφηνοειδὲς ἐντίθεται εἰς τὴν μασχάλην· καὶ πάλιν
αἱ τῶν κάλλων ἀρχαὶ ἀνάγονται ὑπὲρ κεφαλῆς· τῷ βραχίονι
ὑπεράνω τοῦ κατάγματος βρόχος καρχήσιος ἢ ἄλλος ἰσότονος
περιτίθεται· καὶ τούτου αἱ ἀρχαὶ ἄγονται κάτω, καὶ ἀποδίδον-
ται ἀκινήτῳ τινὶ προσκρατήματι κατ' ἀνάτασιν καταρτισθέν-
τος τοῦ ἄρθρου· ἅτε ἐγκείμενον τὸ σφηνοειδὲς εἰς μασχάλην, ἵνα
μείνῃ ἡ κεφαλὴ τοῦ βραχίονος· ἅμα δὲ καὶ αἱ τοῦ βρόχου ἀρχαὶ
λύονται κάτωθεν· καὶ ὑπὲρ κεφαλῆς ἀναχθεῖσαι τῷ κρατή-

©BIU Santé



ματι ἀποδίδονται· ἵνα κατὰ τὸ συναμφότερον ὑπὸ τοῦ σφηνοειδοῦς καὶ τοῦ βρόχου μείνῃ κεκρατημένον τὸ ἄρθρον τῇ ἰδίᾳ χώρᾳ· γενομένων δὲ τούτων, βρόχος ὁ καρχήσιος ἢ ἄλλος ἰσότονος περιτίθεται τῷ βραχίονι· οὗ αἱ ἀρχαὶ ἀνά||γονται κάτω καὶ ἀποδίδονται τῷ ἄξονι πρὸς τὴν κατάτασιν, ἵνα τὸ κάταγμα κατὰ τάξιν καταρτισθῇ τοῦ ἄρθρου ἄνω κεκρατημένου. Ἀπὸ τοῦ ὤμου ἐπὶ τὸν ἀγκῶνα μέτειμι. P. 271.

## XIII. Περὶ διαφορᾶς ἀγκῶνος.

Ἐπὶ τῶν τριῶν τοῦ ἀγκῶνος διαφορῶν, ἐφ' ὧν ἡ χεὶρ κέκαμπται ἐκτείνεσθαι μὴ δυναμένη, τοῦ πάσχοντος ὑπτίου ἐσχηματισμένου ἐπὶ τῆς ἐπικειμένης τῇ κλίμακι σανίδος, τοῦ βάθρου καὶ τοῦ τονίου κάτω προσδεδεμένου, βρόχος ἀνισότονος τῷ πήχει περιτιθέσθω πλησίον τοῦ καρποῦ· αἱ ἀρχαὶ ἀναγέσθωσαν ὑπὲρ κεφαλῆς, καὶ ἀποδιδόσθωσαν ἀκινήτῳ τινὶ προσκρατήματι· καὶ τότε διπλῆς κηρίας ἡ μεσότης κατὰ τοῦ ἀπλῶς ἐγγὺς τοῦ ἀγκῶνος τασσέσθω· καὶ ταύτης αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω· λοιπὸν δὲ ἔχοντες ἀρχὰς τοῦ βρόχου περικειμένου τῷ βραχίονι ὑπὲρ κεφαλῆς· καὶ ἀρχὰς διπλῆς κηρίας κάτω ἐνεργησομένην κατὰ κράτημα καὶ ἀνάτασιν, ὡς ἐν τοῖς πρόσθεν ἱστορήθη· μετὰ δὲ τὴν αὐτάρκη τάσιν, ἢ ταῖς αὐταῖς μοχλίαις χρησόμεθα ταῖς πάλαι ἐπὶ ὀρθῆς τῆς κλίμακος δεδηλωμένης· ἐπὶ δὲ τῆς πρόσθεν διαφορᾶς ἐκτεταμένης τῆς χειρὸς, καὶ πάλιν τοῦ πάσχοντος ὑπτίου σχηματισμένου, βρόχος ἰσότονος περιτιθέσθω τῷ βραχίονι· οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν ὑπὲρ κεφαλῆς· καὶ ἄλλος βρόχος ἰσότονος τῷ πήχει κατὰ τὰ ἀπολήγοντα μέρη περιτιθέσθω· οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω· πρὸς τοὺς πόδας δὲ τάσεις ὀφείλουσι γίνεσθαι, ὡς ἐν τοῖς ἔμπροσθεν ἐκτέθειμαι· ταῖς δὲ αὐταῖς μοχλίαις ὀφείλει ἡ κατάτασις τοῦ ἄρθρου γίγνεσθαι τῇ κατὰ ἴσπωσιν καὶ τῇ κατὰ περίσφαλσιν· ὡσαύτως



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 163 sur 544

©BIU Santé



καταρτίζειν δεῖ, ὡς ἐπὶ τοῦ ὄρθρου ἐδηλώθη· καὶ ὅταν τὸ ἕτε-
P. 272. ρον ὀστέον παρὰ φύσιν διατεθῇ, εἰ τύχῃ | ὁ πῆχυς ἐξαρ-
θρήσει, ἢ κερκὶς παραρθρήσει· πάλιν τῷ μὲν βραχίονι ἰσο-
τόνους περιτιθεμένους βρόχους, καὶ τῶν ἀρχῶν ἄνω ὑπὲρ κεφα-
λῆς ἀποδιδομένων κρατήματι, τῷ δὲ πήχει ἀνισοτόνους κα-
θὼς ἐδηλώθη περιτεθεμένους, καὶ τῶν ἀρχῶν ἀγομένων κατὰ
τὸ ἐπιτόνιον· μοχλιῶν τῶν αὐτῶν δοκιμαζομένων πρὸς τὰς τῶν
ὀστέων καταταγάς. Σύμπας μοι ἀπήρτισται ὁ περὶ τοῦ ὤμου
καὶ τοῦ ἀγκῶνος λόγος· ὥστε με δεῖν ἑπομένως περὶ τοῦ καρποῦ
δεῖξαι.

## XIV. Περὶ καρποῦ.

Ὁ καρπὸς τέσσαρας τρόπους παραρθρεῖ ἔσω ἔξω ὄπισθεν ἔμπροσθεν· καταρτίζεσθαι δὲ ὀφείλει ἤτοι ἐπὶ τοῦ βάθρου ἢ ἐπὶ τῆς κλίμακος κεκλιμένης, παρακαθημένου τοῦ πάσχοντος τῇ κλίμακι ἢ τῷ βάθρῳ· σχηματιζέσθω ἡ χεὶρ ὑπτία μὲν ἐπὶ τῆς ἔσω διαφορᾶς, πρηνὴς δὲ ἐπὶ τῶν λοιπῶν τριῶν διαφορῶν· καὶ τότε τῷ κοίλῳ τῆς χειρὸς πλάγιον καυτήριον προσδεδέσθω πλαγία σκυτάλη· εἶτα ἀσφαλιζέσθω τὸ μετακάρπιον πρός τι τῶν εἰρημένων· καὶ τότε τοῖς προκειμένοις ἄκροις τοῦ σκυτάλης ἢ τοῦ καυτηρίου βρόχου ἀνισοτόνων ἀγκύλαι ἢ διπλῶν κηρίων μεσότητες περιτιθέσθωσαν· ὧν αἱ ἀρχαὶ ἀγέσθωσαν ἔμπροσθεν, ὡς ἐπὶ τόνιον τῷ διπήχει· πλησίον τοῦ καρποῦ βρόχος ἰσότονος περιτιθέσθω, οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν ὀπίσω· καὶ πάλιν τάσεις γινέσθωσαν αἱ μικρῷ πρόσθεν εἰρημέναι· ἤτοι κατὰ κράτημα ἢ κατὰ τάσιν ἢ κατακράτημα, καὶ δι᾽ ἀνάτασιν καὶ διάτασιν· μετὰ δὲ τὴν τάσιν ἐγκρινέσθωσαν μοχλίαι ἐν τῇ περὶ τῶν ὀλισθημάτων πραγματείᾳ δεδηλωμέναι· ἐπὶ μὲν τῆς ἔσω καὶ τῆς ἔξω διαφορᾶς, κατὰ ἴπωσιν· ἐπὶ δὲ τῆς ἔμπροσθεν καὶ ὀπίσω, κατὰ παραγωγήν· μέτειμι δὴ τῇ τάξει ἐπὶ τὴν ῥάχιν. ||

©BIU Santé



## XV. Περὶ ῥάχεως. P. 273.

Τῆς ῥάχεως ὑβώματα πρόσφατα ἐκ πληγῆς γιγνόμενα καταρτίζεται· πρὸς δὲ τὸν καταρτισμὸν πρηνῆ σχηματίζειν δεῖ τὸν πάσχοντα· ἤτοι ἐπὶ τῆς κλίμακος τῆς ἐχούσης ἐπικειμένην τοῖς κλιμακτῆρσι τὴν σανίδα· ἢ ἐπὶ τοῦ βάθρου καὶ τῶν τροχίλων καθὼς ἐδηλώθη· ἔπειτα τῇ ῥάχει βρόχους ἐπιτιθέναι ἤτοι ἰσοτόνους δύο, ἕνα μὲν ἄνω, ὑπὲρ τὸ ὕβωμα· ἕνα δὲ κάτω ὑπὸ τοὔβωμα· ἢ τέσσαρας ἀνισοτόνους ἀντιθέτους· δύο ἄνω, καὶ δύο κάτω· καὶ τῶν μὲν ἄνω βρόχων τὰς ἀρχὰς ἄνω· τῶν δὲ, κάτω ἐνεργεῖν· ἤτοι κατὰ κράτημα ἢ τάσιν, ἢ κατακράτημα καὶ ἀνάτασιν· πρὸς δὲ τὴν διάτασιν τοῖς τροχίλοις κατὰ μετάληψιν χρωμένους τοῦ ἐνεργοῦντος, εἰς τ' ἐγκρίνειν μετὰ αὐτάρκη τάσιν μοχλίαν, καθυπέδειξα ἐν τῇ περὶ τῶν ἄρθρων πραγματείᾳ. Ἑπόμενον δέ ἐστι δηλῶσαι με τοὺς καταρτισμοὺς τῶν τοῦ μηροῦ ἐξαρθρημάτων.

## XVI. Περὶ μηροῦ.

Ὁ μηρὸς εἰς τέσσαρας τόπους ἐκπίπτει, ἔσωθεν ἔξω ἔμπροσθεν ὄπισθεν· καὶ ἐπὶ μὲν τῶν τριῶν διαφορῶν ἐφ' ὧν ἔστιν ἐκτεταμένον τὸ σκέλος κάμπτεσθαι μὴ δυνάμενον· ἐπὶ δὲ τῆς ὀπίσω διαφορᾶς κέκαμπται μὴ ἐκτεινόμενον· ἐπὶ τῶν τριῶν διαφορῶν ἐφ' ὧν ἐστιν ἐκτεταμένον τὸ σκέλος· ὕπτιος ὁ πάσχων σχηματιζέσθω ἐπὶ κλίμακος ἢ ἐπὶ τοῦ βάθρου· καὶ τότε διπλῆς κηρίας ἢ κάλλου μεσότης ἐρίων ὀθονίῳ περιειλημμένη τῷ περιναίῳ προστιθέσθω· αἱ δὲ τοῦ κάλλου ἀρχαὶ ἀναγέσθωσαν ὑπὲρ κεφαλῆς· ἐπὶ μὲν οὖν τῆς ἔξω καὶ τῆς ἔμπροσθεν διαφορᾶς διαφόρως προστίθεται τῷ περιναίῳ τῆς κηρίας δι' ὅλου ἡ μεσότης· ἐπὶ δὲ τῆς ἔσω διαφορᾶς, ἡ μὲν ὡς μεταξὺ τῆς κατὰ φύσιν μηροῦ καὶ τῆς κεφαλῆς | τοῦ καταρτιζομένου κώλου· ἵνα μὴ P. 274.

©BIU Santé



ὑποκείμενον τῇ κεφαλῇ τοῦ μηροῦ κωλύει κατατείνεσθαι τὸ κῶλον· τούτου δὲ γενομένου, καρχήσιος βρόχος ἢ ἄλλος ἰσότονος περιτίθεται τῷ μηρῷ κατὰ τὰ ἀπολήγοντα μέρη, οὗ αἱ ἀρχαὶ ἄγονται κάτω ὡς ἐπὶ τὸ τόνιον, καὶ τῷ τύλῳ τοῦ ἄξονος ἀποδίδονται· ἵνα τῇ τοῦ ἄξονος στροφῇ κράτημα γένηται καὶ κατάτασις· ἐξέσται δὲ καὶ κατὰ ἀνάτασιν ἢ κατὰ διάτασιν ἐνεργῆσαι, καθὼς ἐπὶ τοῦ ὤμου δεδήλωται· μετὰ δὲ τὴν αὐτάρκη τάσιν μοχλίαις κεχρήμεθα ταῖς αὐταῖς ἱστορημέναις ἡμῖν ἐν τῇ περὶ τῶν ἄρθρων πραγματείᾳ· ἐπὶ δὲ τῆς ὀπίσω διαφορᾶς ἐφ' ἧς ἔλεξα κεκαυμένον τὸ σκέλος, ἐκτείνεσθαι μέν· ἀλλ' εἰ τονίου κάτω προσδεδεμένου, σχηματίζεσθαι ὁ πάσχων καθέδριος μὲν, μᾶλλον δὲ προσανανευκὼς πρὸς τὸ ὕπτιον σχῆμα, ἐπιρρεπὴς πρὸς τὸ ἕτερον ἰσχίον· ἔπειτα τείνεται τὸ κράτημα, καθὼς ἐδηλώθη ἐν τῇ περὶ τῶν ἄρθρων πραγματείᾳ· καὶ τότε βρόχος καρχήσιος ἢ ἄλλος ἰσότονος περιτίθεται τῷ μηρῷ· οὗ αἱ ἀρχαὶ ἄγονται κάτω, καὶ ἀποδίδονται τῷ ἄξονι πρὸς τὴν κατάτασιν· μετὰ δὲ τὴν αὐτάρκη τάσιν πρὸς τὴν ἀρθρεμβολίαν ταῖς αὐταῖς μοχλίαις χρώμεθα ταῖς ἱστορημέναις ἐν τῇ περὶ τῶν ἄρθρων πραγματείᾳ· πάλιν δὲ τῇ ἰσίτριδι σπάθῃ κατ' ἐξελκυσμὸν μοχλευομένης ἔξω, καὶ προβιβαζομένης τῆς τοῦ μηροῦ κεφαλῆς· καὶ τοῦ μὲν σκέλους τῇ κατατάσει ἐκτεινομένου· τοῦ δὲ πάσχοντος κατὰ ἀναστροπὴν ὑπτίου σχηματιζομένου πρὸς τὴν τοῦ ἄρθρου καταταγήν· σημειούμεθα δὲ τὴν ἐμβολὴν ἐκ τῆς ἀπηχήσεως καὶ τοῦ σκέλους ἐκστάσεως· ἐπὶ πάσης γὰρ διαφορᾶς μετὰ τὸν καταρτισμὸν τεκμαιρόμεθα τὴν καταταγὴν, ἀπαραποδίστων ὄντων τοῦ σκέ-
P. 275. λους ἐνεργημάτων, τῆς || κάμψεως λέγω καὶ τῆς τάσεως.

## XVII. Περὶ γόνατος.

Γόνυ εἰς τρεῖς τόπους παραρθρεῖ, ἔσω, ἔξω, ὀπίσω·

©BIU Santé



ἀεὶ δὲ τοῦ σκέλους ἐκτεταμένου ἐπὶ μὲν τῆς ἔξω καὶ τῆς ὀπί-
σω διαφορᾶς πρηνῆ· καὶ τότε τοὺς βρόχους ἰσοτόνους περιτιθέ-
ναι τοῖς κώλοις, ἕνα τῷ μηρῷ πλησίον τοῦ γόνατος, καὶ μᾶλλον
τῇ κνήμῃ ὑπὲρ τὴν γαστροκνημίαν· εἶτα πάλιν τοῦ τονίου κά-
τω προσδεδεμένου, τὰς αὐτὰς δοκιμάζειν τάσεις τὰς ἐπὶ τῶν
ἄλλων ὀλισθημάτων ἱστορημένας· καὶ μοχλείας τὰς δεδηλω-
μένας ἐν τῇ περὶ τῶν ἄρθρων πραγματείᾳ.

## XVIII. Περὶ σφυροῦ.

Τὸ δὲ σφυρὸν ποτὲ μὲν ἔσω ποτὲ δὲ ἔξω διαστρέφε-
ται· ἔσθ' ὅτε δὲ ὀπίσω ὑποχωρεῖ· πάλιν δὲ δεῖ τοῦ πάσχον-
τος καθεδρίου ἐσχηματισμένου, καὶ τοῦ σκέλους ἐκτεταμένου, βρό-
χον ἰσότονον περιτιθέναι τῇ κνήμῃ· οὗ τὰς ἀρχὰς ἄγειν ὀπί-
σω· τῷ δὲ σφυρῷ, καὶ τὸ σανδάλιον ἢ τὸν δράκοντα· οὗ τὰς
ἀρχὰς ἄγειν ἔμπροσθεν ἐπὶ τὸν ἄξονα, ἐνεργεῖν κατὰ κρά-
τημα καὶ κατὰ τάσιν· τὰς αὐτὰς ἐγκρίνειν μοχλίας τὰς πα-
ραδεδομένας ἐν τῷ περὶ τῶν ὀλισθημάτων ὑπομνήματι· τοὺς
δὲ καταρτισμοὺς ἐπέδραμον ἐπὶ προηγουμένων περὶ αὐτῶν
λέγων ἐν τῇ κινήσει τῶν ἐφεδρανῶν ὀργάνων, μάλιστα δὲ τοῦ
ἡμετέρου κατασκευάσματος.

## XIX. Νυμφοδώρου γλωσσόκομον.

1. Τὸ Νυμφοδώρου γλωσσόκομον ἔστιν ἐκ τῶν λεγομένων
τονίων· πλευρὰ κατέχει δύο συμπεπηγότα πρὸς ἄλληλα τὰ
κατὰ πέρατα δυσὶ τοῖς λεγομένοις διαπήγμασι· ἔτι δὲ τοῖς
μέτροις τὰ διαπήγματα τοῖς πλευροῖς ἀνάλογον· μήκει μὲν
καὶ πλάτει δεῖ παλαστιαῖα· τῷ δὲ πάχει, διδακτυλιαῖα· ἴ-
σης δὲ οὔσης τῆς ἀναμετρήσεως αὐτῶν κατὰ λόγον ἐγέ|νετο P. 276.
γλωσσοκόμῳ ἴσον κυρίως τετραγώνῳ λεγομένῳ· ἐν μέσοις δὲ

©BIU Santé



τοῖς πλευροῖς ἀνεσκαμμένοις καὶ κεκοιλαμμένοις κοιλότησιν ἐπιπολαίαις, ἄξων ἔστι κρυπτὸς μέσον ἔχων τύμπανον· καὶ τοῦ τυμπάνου ἑκατέρωθεν ἤτοι ἀγκυλαῖα σιδηρᾶ· δύο τὰ πάντα ἢ [τρία] τρήματα γέγονε· πρὸς κάλλων ἐνδέσει ἔσται τοιαύτη· δύο κάλλοι καὶ κατὰ τὰ μέσα μέρη περιτίθενται ταῖς ἀγκυλίαις, καὶ ἁμματίζονται ἑκατέρωθεν πλησίον τῶν τρημάτων· πλησίον δὲ οὐσῶν ἀρχῶν, δύο μὲν ἀρχαὶ διεκβάλλονται διὰ τοῦ ἐμπροσθίου διαπήγματος τετρημέναι τοῦ ἔσωθεν ἔξω· αἱ δὲ λειπόμεναι δύο διὰ τοῦ ὀπισθίου· τὸ δὲ τύμπανον παρέστηκε κατ' εὐθὺ φακωτὸς κοχλίας ὁ λεγόμενος, καὶ κατ' ἐπισύνθεσιν κοχλιάζων· οὗ τὸ ἄκρον ἔγκειται εἰς ἐπιπόλαιον κοιλότητα τοῦ ἐμπροσθίου διαπήγματος· τὸ δὲ ἑλικωτὸν μέρος τῷ τυμπάνῳ ἔγκειται· τὸ δὲ ἐλλειπόμενον αὐτοῦ μῆκος διενήνεκται διὰ τοῦ τρήματος· καὶ κατὰ τὸ πέρας ἔχει ἐπὶ τὸ τόνιον προσκείμενον πρὸς τὴν στροφήν· ἵνα διὰ τῆς τοῦ ἐπιτονίου στροφῆς κινούμενος ὁ κοχλιάζων στρέφῃ τὸ τύμπανον· στρεφομένου δὲ τοῦ τυμπάνου, στρέφεται ὁ ἄξων· κινουμένου δὲ τοῦ ἄξονος, εἰσάγονται αἱ ἔκθετοι τῶν κάλλων ἀρχαὶ πρὸς τάσεις· ἔχει δὲ καὶ πώματα τὸ γλωσσόκομον, χάριν τοῦ κρύπτεσθαι τὰ ἐν αὐτῷ μηχανήματα· ἔχει δὲ καὶ κρίκους τέσσαρας τοῖς πλευροῖς προσηλωμένους, δύο ἄνω καὶ δύο κάτω, χάριν τῆς προσδέσεως τοῦ τονίου· αὕτη ἡ κατασκευὴ κατὰ Ἀριστείωνα ἐστὶ τὸν Πασικράτους πατέρα.

2. Ἐπεί τοι γε καὶ κατ' αὐτὸν τὸν Νυμφόδωρον ἄλλως ἔχει ἡ ὀργανοποιΐα τοῦ τονίου· ἐν γὰρ τῇ ἀρχαίᾳ κατασκευῇ τοῦ κοχλιάζοντος ἔκθεσις οὐκ ἔστιν ἐν τοῖς διαπήγμασιν, ἀλλὰ κατὰ τὴν τῶν πωμάτων τάξιν· δύο γάρ εἰσι ψαλίδες σιδηραὶ ἐνηλωμέναι ταῖς πλευραῖς κατὰ μέσα μέρη τετρημέναι· ὧν ἡ μὲν ὑπόκειται τῷ ἄξονι· ἡ δὲ δὲ ἐπίκειται || τῷ ἄξονι αὐτῷ· ἀμφότεραι δὲ παρὰ μέρος τοῦ
P. 277. τυμπάνου κεῖνται· ἡ μὲν οὖν κάτω ψαλίς, στενώτερον ἔχει

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 168 sur 544

©BIU Santé



τὸ τρῆμα· ἡ δὲ ἄνω εὐρύτερον, τοῦ κοχλιάζοντος ὄντως κατὰ τὰ πώματα ὑπὸ τῶν ψαλίδων συνεχομένου· τὸ μὲν οὖν πῶμα, ἀνεμποδίστως κλείεται· τὸ δὲ ἕτερον ἐπικλείεται ἄνω διὰ τοῦ προκειμένου διὰ τοῦ κοχλιάζονος λεπτοτέρου μέρους, ᾧ τὸ τόνιον ἐπιπέπηγε· τοῦτο δὲ τὸ πῶμα ἤτοι κατὰ τὴν μεσότητα ἐκτετμημένον, διχοτομεῖται πλάγιον· καὶ τὸ μέντοι αὐτοῦ μέρος μένει ἀκίνητον· τὸ δὲ ἐπικλείεται κατὰ τὴν ἡμιτείαν τοῦ μήκους μηνοειδῶς ἐκκεκομμένον· ἵν' ὅταν ἐπικλίνηται τὸ πῶμα ἡ μηνοειδὴς ἐκκοπὴ τὸ προκείμενον τοῦ κοχλιάζονος παραδέξηται.

3. Ὁ δὲ Ἀριστείων οὐ συγκατατιθέμενος τῇ τοῦ Νυμφοδώρου κατασκευῇ, περισσὸν ἄξονα προσέθηκε τῷ ὀργάνῳ ἔχοντα τύμπανα καὶ τρήματα· ἵνα μέσος τῶν ἀξόνων κινούμενος ὅπου ἂν στηρίζηται, καὶ μήτε μία παρεγκλίνῃ· μετέθηκε δὲ καὶ τοὺς κρίκους πλησίον τοῦ ἐμπροσθίου διαπήγματος, ἵνα διὰ τοῦ τονίου ἡ πρόσδεσις μὴ γίγνηται κατὰ τὴν τῶν πωμάτων τάξιν, ἀλλὰ κατὰ τὴν τοῦ ἐμπροσθίου διαπήγματος· ἅμα δὲ καὶ τὰς ἀρχὰς τοῦ κάλλων διὰ τῶν πωμάτων ἐξέβαλεν, ἃς μὲν ἄνω, ἃς δὲ κάτω· τῇ τοῦ κρίκων διαθέσει ἡμεῖς συνονοῦμεν, ὧν τὸν δεύτερον ἄξονα ὡς περισσὸν παραιτούμεθα· αὐτάρκης γάρ ἐστιν ὁ εἷς ἄξων πρὸς τὴν χρείαν ἐξ εὐτόνου ὕλης κατεσκευασμένος. Εἰρημένης ἡμῖν τῆς κατασκευῆς τοῦ γλωσσοκόμου, ἀκόλουθον ἐστὶ καὶ ἐπὶ τὴν τοῦ ὀργάνου κίνησιν χωρῆσαι.

## XX. Περὶ κινήσεως.

1. Ἐπὶ τῶν τοῦ ὤμου ἐξαρθρημάτων, μάλιστα δ' ἐπὶ τῶν εἰς τὴν μασχάλην διαφορᾶς τῆς κλίμακος | παρασκευασθείσης P. 278.
ὡς ἐδηλώθη ἐν τῇ κινήσει τοῦ Νιλέως πλινθίου· ἀντιτίου πλινθίου ἀσφαλιζέσθω πρὸς τὴν κλίμακα τὸ ὄργανον καὶ προσδε-

διέσθω τῇ κλίμακι κατὰ τὴν κλίμακα, μὴ κατὰ τὴν τῶν πωμά-
των τάξιν· ἵνα μὴ ὑπὸ τοῦ κοχλιάξονος (1) ἐκκόπτωνται αἱ κη-
ρείαι· ἀλλὰ κατὰ τὸ ἐμπρόσθιον διάπηγμα κρίκων πλησίον
αὐτῶν ὄντων· ἀνοιγέσθω δὲ καὶ τὰ πώματα· εἶθ' αἱ τῶν
δεδεκωτῶν τὸν ἄξονα κάλλων ἀρχαὶ ἐκλαμβανέσθωσαν· αἱ
μὲν, ἄνω· αἱ δὲ, κάτω· καὶ τότε πρὸς τὸν καταρτισμὸν, ὑ-
ποπόδιον πλησίον τῆς κλίμακος τιθέσθω· ᾧ ἐπιβεβηκὼς ὁ
πάσχων ὑπερτιθέτω τὴν χεῖρα, ἵνα τὸ σφηνοειδὲς ἐντεθῇ εἰς
τὴν μασχάλην· βρόχος ὁ καρχήσιος ἢ ἄλλος ἰσότονος περι-
τιθέσθω τῷ βραχίονι· οὗ ἀρχαὶ ἀγέσθωσαν πρὸς τὰς ἄνω
τῶν κάλλων ἀρχάς· ἵνα τῇ τῶν μηχανημάτων κινήσει, εὐθύ-
πορος γένηται κατάτασις, καὶ ἡ κατὰ μετάληψιν· τρόπῳ τοιού-
τῳ αἱ ἀρχαὶ τοῦ βρόχου διὰ τῶν κάτω τροχίλων μεταλαμβά-
νονται καὶ ἐπάγονται, καὶ πρὸς τὰς τῶν κάλλων ἀρχὰς ἁμμα-
τίζονται· ὅτι πάλιν συμβαίνει τῇ κινήσει τῶν τοῦ γλωσσοκόμου
μηχανημάτων κατάτασιν γίγνεσθαι τὴν ἐπὶ μετάληψιν, κα-
* Ita cod. τάτασις γίγνεσθαι * τῶν τοῦ βρόχου ἀρχῶν· μεταλαμβανομένων δὲ
καὶ διὰ τῶν ἄνω, εἶτα ἀποδιδόναι τὰ κάτω τῶν κάλλων ἀρ-
χαῖς· πάλιν γὰρ τῶν μηχανημάτων κινουμένων, ἡ κατὰ ἀν-
τιμετάληψιν γίνεται κατάτασις· αἱ δὲ ἑξῆς μοχλίαι συντε-
λοῦνται κατὰ τὸν εἰρημένον τρόπον ἐπὶ τῆς εἰς τὴν μασχάλην
διαφορᾶς κατ' ἐξελκυσμὸν ἐπὶ τῆς διπλῆς κηρείας.

2. Τὸ δὲ σφάλμα διὰ χειρῶν τῆς τάσεως χαλασθείσης ἱστορή-
θησαν τοῖς ἄλλοις· καὶ δι' αὐτοῦ τοῦ ὀργάνου οἱ κατὰ ἀνάτασιν ἄνω
P. 279. ὑπὲρ κεφαλῆς ὑπερμετατίθετοι· καὶ τότε τὸ σφηνοειδὲς || ὑπερεισ-
μένον τῷ κλιμακίῳ, μὴ προσδεδεμένον δὲ αὐτῷ, ἐντίθεται εἰς
τὴν μασχάλην· ἔπειτα αἱ ἀρχαὶ τοῦ σφηνοειδοῦς προσάπτονται
ταῖς ἀρχαῖς τῶν κάλλων τοῦ ὀργάνου· βρόχος δ' ὁ καρχήσιος
περιτίθεται τῷ βραχίονι· οὗ αἱ ἀρχαὶ ἄγονται κάτω, καὶ ἀ-

(1) Ita heic cod. At alibi κοχλιάζων, et κοχλιάζοντος.

ποδίδονται κάτω κλιμακίῳ ἀκινήτῳ, πρὸς κράτημα γίνεσθαι
καὶ ἀνάτασιν εὔπορον· δύνανται δὲ κάτω τοῦ τονίου δεδεμένου·
ἀνάτασις δὲ ἡ κατὰ μετάληψιν τῶν τοῦ βρόχου ἀρχῶν ἀποδεδο-
μένων τῷ κρατήματι, ὡς ἱστόρηται· αἱ ἀρχαὶ τῶν ἀπὸ τοῦ σφη-
νοειδοῦς κάλλων διὰ τῶν τραχήλων μεταληφθεῖσαι ἀποδίδον-
ται ταῖς ἄνω ἀρχαῖς τῶν τοῦ ὀργάνου κάλλων· ἵνα τῇ τῶν μη-
χανημάτων κινήσει κατὰ μετάληψιν γίνηται ἀνάτασις· γίνεται
καὶ τῶν περὶ τοῦ βρόχου ἀρχῶν μηκέτι κρατῶν νήματι· ἀλλα
τοῖς κάλλοις τοῦ ὀργάνου ἀποδιδομένων, ἤτοι κατ' εὐθύ· τοῖς
δὲ κάτω πάλιν μετὰ τὴν αὐτάρκη τάσιν, τοιαύταις μοχλί-
αις ἐχρήσατο τοῖς μικρῷ πρόσθεν εἰρημένοις· εἴρηταί μοι τὰ
τῆς ἱστορίας.

3. Ὥσπερ δὲ ἐπὶ τοῦ Νιλέως πλινθίου ἐκτέθειμαι, καὶ
ἐπεὶ τοῦτο μοι ἀρέσκει ὀρθοῦ ὄντος τοῦ κλιμακίου κατὰ τάσιν
ἐνεργεῖν, ἀσφαλιζομένου τοῦ σφηνοειδοῦς πρὸς κλιμάκιον· τὴν δὲ
ἀνάτασιν καὶ τὴν διάτασιν ὑπερτίθεσθαι· ἀσθενεῖς γάρ εἰσιν αὗ-
ται αἱ τάσεις· κεκλιμένου δὲ τοῦ πάσχοντος, οὕτω ποτὲ ἐδι-
καίωσα καταρτίζειν· ἀρκοῦμαι τοῖς ἱστορημένοις καταρτισμοῖς
πρὸς τὴν τοῦ ὀργάνου κίνησιν παραδείγμασιν αὐτοῖς χρησάμε-
νος· πάντα γὰρ ὀλισθήματα· καὶ τούτων ὄργανον καταρτίζειν
δύναται, ὥσπερ καὶ τὸ Νειλέως πλινθίον· τὰ μὲν γὰρ μη-
χανήματα αὐτῶν ἐστι διάφορα· οἱ δὲ αὐτοὶ καταρτισμοί·
ὥστε ὑμᾶς ἀπὸ τῶν προσεκτιθεμένων | τὴν ὅλην κίνησιν δύ- P. 280.
νασθαι τοῦ ὀργάνου γιγνώσκειν.

## XXI. Ἀπελλίδος ἢ Ἀρχιμήδους τρισπάστων.

1. Γνωστέον ἐστὶν ὑμῖν ἐν πρώτοις ὅτ' οὔτε ὁ Ἀπελλί-
δης οὔτε Ἀρχιμήδης ἂν ἰατροὶ ἀλλὰ μηχανικοὶ ἄνδρες, οἳ καὶ
τὸ ὄργανον ἐπενόησαν, καθάπερ ἐν τῇ ἱστορίᾳ παρειλήφαμεν,
πρὸς τὰς τῶν πλοίων καθολκὰς, οὐ χερσὶ τῶν κάλλων ἑλκο-

μένων ἀλλὰ ἐργάταις· οἱ δὲ τότε ἰατροὶ συστείλαντες τὰ τῆς κατασκευῆς μέτρα, τόνιον ὄργανον ἰατρικὸν τὸ τρίσπαστον, τοῦτο πρὸς τοὺς τῶν ἀρθρημάτων καὶ τῶν καταγμάτων καταρτισμοὺς ἐποίησαν· ἔστι δὲ αὐτοῦ ἡ κατασκευὴ αὕτη· τὸ ὅλον ἐκ διαφορᾶς ἐστὶ τῶν λεγομένων τετραγώνων ὑπομήκων· συμπηγίαν δὲ ἔχει τοιαύτην· δύο πλευρὰ μήκει τετραπαλαιστιαῖα, τῷ πάχει δακτυλιαῖα· ταῦτα δὲ τὰ πλευρὰ συνέχηται πρὸς ἄλληλα τοῖς διαπαλαιστιαίοις διαπήγμασι πάχει, δακτυλιαίοις τῷ πλάτει· μάλιστα δὲ τὸ ὀπίσθιον διάπηγμα ἑξαδακτυλιαῖον γίγνεται διὰ πώματα· τὸ δὲ ἐμπρόσθιον διαπαλαιστιαῖον.

2. Ὡς δὲ Πασικράτης ἱστόρησεν, ἐν μέσοις τοῖς πλευροῖς ἀνεσκαμμένοις κοιλότησιν ἐπιπολαίοις δύο εἰσὶν ἄξονες κρυπτοὶ, πλησίον τῶν πλευρῶν τροχοὺς ἔχοντες· ἑκάτερος δὲ τροχὸς τέτρηται τρήματι διαμπερεῖ· τὰ δὲ τρήματα ταῦτα γέγονε πρὸς κάλλων ἐνδέσεις· ἔστι δὲ τοιαύτη· δύο κάλλοι λαμβάνονται ἡμματισμένοι κατὰ τὰ πέρατα· οὗτοι οἱ κάλλοι αἴρονται διὰ τῶν τρημάτων τοῦ ἐμπροσθίου ἄξονος· καὶ διέλκονται, ἵνα τὰ ἅμματα τοῖς τρήμασι προσπέσῃ· καὶ τότε ἕκαστος κάλλος τῷ κατ' αὐτὸν τροχῷ περιειλεῖται διὰ τῶν τρημάτων τοῦ ἐμπροσθίου ἄξονος, καὶ ἁμματίζεται· ὁ δὲ ὀπίσθιος ἄξων ἐν μέσῳ τῷ μεταξὺ τῶν τροχῶν διαστήματι τρῆμα ἔχει· πάλιν δὲ καὶ τοῦτο τὸ τρῆμα
P. 281. πρὸς ἔνδοσιν κάλλου· κάλλος δὲ εὐμήκης || λαμβάνεται δι' ἡμματισμένος καθ' ἓν πέρας· εἶτα ἥρηται διὰ τοῦ δεδηλωμένου τρήματος καὶ ἀνέλκεται· ἵνα τὸ ἅμμα τῷ τρήματι προσπέσῃ· ἔπειτα εἰλεῖται τῇ μεσότητι τοῦ ἄξονος· καὶ τότε πέρας αὐτοῦ διεκβάλλεται διὰ τοῦ ὀπισθίου διαπήγματος μέσου τετρημένου.

3. Τί δὲ νῦν γίγνεται πρὸς τὴν τοῦ ἐκθέτου κάλλου; ἑλκομένου τῇ χειρὶ, καὶ ἀνειλημένου στρέφεται ὁ ὀπίσθιος ἄξων· στρεφομένου δὲ τούτου, εἰσάγονται ἄλλαι ἀρχαὶ τῶν ἐκθέτων κάλλων· εἰς

©BIU Santé



δὲ τέσσαρας δύο καὶ δύο τῶν κάλλων ἡ ἔνδεσίς ἐστι τοιαύτη· δύο λαμβάνονται κάλλοι ἡμματισμένοι κατὰ τὰ πέρατα· οὗτοι οἱ κάλλοι ἤρηνται διὰ τῶν δύο τρημάτων διὰ τοῦ ἐμπροσθίου ἄξονος τῶν ὄντων ἐν τῷ μεταξὺ διαστήματι τῶν τροχίλων, καὶ διέλκονται, ἵνα τὰ ἅμματα προσπέσῃ τοῖς τρήμασι· καὶ τότε αἱ τῶν κάλλων ἀρχαὶ διὰ τοῦ ἐμπροσθίου διαπήγματος τετρημένου ἔσωθεν ἔξω λαμβάνονται· ἢ εἷς κάλλος διπλοῦς, οὗ αἱ ἀρχαὶ διὰ τῶν τρημάτων τοῦ ἐμπροσθίου ἄξονος ἐκλαμβάνονται, καὶ διέλκονται, ἵνα τὸ μέσον τοῦ κάλλου κατὰ τὸ μεταξὺ διάστημα τῶν τρημάτων γένηται· ἔπειτα αἱ τοῦ κάλλου ἀρχαὶ διὰ τῶν τρημάτων τοῦ ἐμπροσθίου διαπήγματος ἐκλαμβάνονται· ἄλλοι δὲ δύο κάλλοι λαμβάνονται ἡμματισμένοι κατὰ τὰ πέρατα· οὗτοι οἱ κάλλοι ἤρηνται διὰ τῶν δύο τρημάτων τοῦ ὀπισθίου ἄξονος· ὧν τὸ μὲν ἐν τῷ μεταξὺ διαστήματι τῶν τροχίλων· κεχωρισμένων δὲ, τοῦ μέσου τρήματος οὗτοι οἱ κάλλοι ἤρτηνται· εἶθ' ὅταν αὐτῶν τὰ ἅμματα προσπέσῃ τοῖς τρήμασι, τότε διέλκονται καὶ διεκβάλλονται διὰ τοῦ ὀπισθίου διαπήγματος τετρημένου· ὥστε νῦν εἰσὶ ἐκθετῶν κάλλων ἀρχὰς πέντε· ἢ δύο μὲν, διὰ τοῦ ἐμπροσθίου διαπήγματος· | P. 282.
τρεῖς δὲ, διὰ τοῦ ὀπισθίου· ἑλκόμεναι δὲ διὰ τοῦ μέσου ὀπισθίου κάλλου τῇ χειρὶ, καὶ τῶν κρυπτῶν κάλλων ἀντιμετειλημμένων, ὡς εἴρηται, εἰσάγονται ἔκθετοι τῶν κάλλων ἀρχαί· ταῖς ἀρχαῖς ἀποτείνονται τῶν ἀποτεινομένων σωμάτων κηρεῖαι.

4. Ταύτην τὴν κατασκευὴν ὁ Πασικράτης εἰσηγησάμενος κατηγόρησε τῆς ὀργανοποιΐας ὡς ἀπράκτου· ἡ γὰρ ὅλη ἐνέργεια τοῦ ὀργάνου, κίνησις γίγνεται ὀπισθίου κάλλου τῇ χειρὶ ἑλκομένου· οὐκ ἰσχύει δὲ ἐν τοῖς καταρτισμοῖς ἡ χεὶρ τὴν τοσαύτην βίαν ὑπομεῖναι· καὶ μάλιστα ἐπὶ μεγάλων ἄρθρων καὶ ἐπὶ σωμάτων εὐτόνων· ἧς αἰτίας χάριν, μετεποίησαν τὴν ὀργανοποιΐαν· καὶ τοὺς δύο κρυπτοὺς ἄξονας ἐκθέτους κατεσκεύασε· τὸν μὲν ἐμπρόσθιον μικρότερον ἠλασσωμένον ταῖς ἐκθέτοις

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 173 sur 544

ἀποτορνώσεσι· τὸν δὲ ὀπίσθιον μείζονα, καὶ μακροτέρας τὰς ἀποτορνώσεις ἔχοντα· καὶ τῷ μὲν ἐμπροσθίῳ ἄξονι προσήλωσε τύλους ἐν ταῖς ἐκθέτοις ἀποτορνώσεσι· τῷ δὲ ὀπισθίῳ προσέθηκεν ἐπιτονίας περιαγωγίδας· ἐνδεδεμένων δὲ τῶν ἀξόνων δυσὶ κρυπτοῖς δακτύλοις, τὸ ὄργανον ἐν τοῖς καταρτισμοῖς οὕτως ἐκίνησε· τὰς ἀπὸ τῶν τεινομένων σωμάτων κηρείας περιέθηκε τοῖς ἐκθέτοις ξύλοις τοῦ ἐμπροσθίου ἄξονος· ἵνα τῇ τοῦ ὀπισθίου ἄξονος στροφῇ, καὶ τοῦ ὀπισθίου ἑλκομένου ὑπὸ τῶν ἀντιλημμένων κάλλων, αἰτίας ἧς γίγνονται.

5. Ἀρτίων δὲ ὁ τοῦ Πασικράτους υἱὸς ὑπήντησε τῷ πατρὶ ἠγνοηκότι τὴν ἀρχαίαν τοῦ ὀργάνου κατασκευήν· ἐν γὰρ τῇ ἀρχαίᾳ φησὶν ὀργανοποιΐᾳ, οὐκ ἐν κυκλότησι πλευρῶν ἐκινοῦντο οἱ ἄξονες, ἀλλὰ περὶ κνώδακας προσηλωμένους τοῖς πλευροῖς κοιλότητας ἔχοντας ἑλικοειδεῖς· ὥσπερ ἔστι θεάσασθαι τὸ τοιοῦτον γιγνόμενον P. 283. ἐπὶ τῶν ὑδραγωγῶν ὀργάνων, διὰ τὴν κατασκευὴν ῥᾳδίως στρεφο||μένων· οὐδὲ μὴν οἱ τρόχιλοι κοῖλοι εἰσὶν, ἀλλ' ὑπερέχοντες· ἐπείπερ οὖν ὁλμίσκοις περὶ κνώδακας κινοῦνται, καὶ οἱ τροχοὶ εἰσὶ μετέωροι, εὐχερεστάτων ἀξόνων κινουμένων ἀνεμπόδιστοι αἱ τάσεις ἔσονται, κἂν χειρὶ ἕλκηται ὁ κάλλος· διὰ γὰρ αὐτόπτου καὶ τρίσπαστον προσηγορεύθη τὸ ὄργανον· ὅτι τρεῖς εἰσὶν οἱ ἐνεργοῦντες κάλλοι· εἷς μὲν ἔκθετος, δύο δὲ κρυπτοί.

6. Ταῦτα μὲν ὑπὸ τούτου πεπινθανολόγηται· ἀληθῆ δὲ ἦν τὰ ὑπὸ τοῦ Πασικράτους εἰρημένα· οὐδὲ γὰρ ἡ χεὶρ ἰσχύει ἕλκουσα τὸν κάλλον καταρτίζει καλῶς· ἀλλὰ ταχὺς ὡς πρὸς τὴν σχολικὴν ἐπίδειξιν κινήσει τὸ ὄργανον· ἡ δ' ἐν τοῖς καταρτισμοῖς βία, διὰ τῆς χειρὸς οὐκ ἐπιγενήσεται· δι' ἣν αἰτίαν ἔδοξεν ἡμῖν τῶν αὐτῶν γινομένων, τῶν δεδηλωμένων ἐν τῇ ἀρχαίᾳ κατασκευῇ, τρίτον ἄξονα προστιθέναι τῷ ὀργάνῳ ἔκθετον· ὅπως ὁ ὀπίσθιος νῦν μέσος γένηται ἄξων· ὁ δὲ μέσος ἐχέτω τρῆμα· καὶ ἐν ταῖς ἐκθέτοις ἀποτορνώσεσι σκυτάλας ἢ περιαγωγίδας ἢ ἐπιτόνια· τοῦ δὲ μέσου ὀπισθίου κάλλου,

©BIU Santé

©BIU Santé



μετὰ τὴν περὶ τὸν ἄξονα περιείλησιν, ἡ ἀρχὴ διήρτηται, διὰ τοῦ ἐκθέτου ἄξονος τρήματα ἐφαμματίζονται· τούτων δὲ γενομένων τῇ τοῦ ὀπισθίου ἄξονος στροφῇ, τῇ τοῦ ἐκθέτου λέγω, ἀντιπεριειλημμένου τοῦ κάλλου τῷ ἐκθέτῳ ἄξονι, κινεῖται ὁ μέσος ἄξων· τῇ δὲ τῶν τριῶν ἀξόνων στροφῇ εἰσάγονται ἔκθετοι τῶν κάλλων ἀρχαί· αἷς ἀποδίδονται αἱ ἀπὸ τῶν τεινομένων σωμάτων κηρεῖαι· ἔχει δὲ καὶ πώματα τόνιον, ὡς γλωσσόκομον, ἵνα κρύπτηται τὰ μηχανήματα· ἔχει δὲ καὶ κρίκους τοῖς πλευροῖς προσηλωμένους, τῆς προσδέσεως χάριν· τοιαύτη ἐστὶν ἡ σύμπασα τοῦ τρισπάστου κατασκευή· οἱ δὲ καταρτισμοὶ τοιοῦτοι εἰσὶν οἱ δεδηλωμένοι ἐπὶ τοῦ γλωσσοκόμου· τὰ μὲν γὰρ κινούμενα μηχανήματα | ἐστι διάφορα· εἰσαγωγὴ δὲ κάλλων ἡ P. 284.
τοιαύτη, τῶν κηρείων πρὸς τοὺς κάλλους ἁμματιζομένων· τετελείωται ἡμῖν καὶ ἡ τοῦ τρισπάστου κατασκευή.

## XXII. Περὶ τῆς κατασκευῆς τοῦ Τέκτονος ὀνομαζομένου ὀργάνου.

1. Κατεσκεύασται τὸ τοῦ Τέκτονος ὄργανον διὰ τῆς συμπηγίας· δύο σκέλη ἐπινοήσας ἐπιβεβηκότα βάσει τῇ λεγομένῃ κρηπῖδι ὀργανικῇ ἀναμετρήσει μεμετρημένα· μήκει μὲν δύο πηχῶν ἢ μακρότερα· πλάτει δὲ τετραδάκτυλα· ταῦτα τὰ σκέλη συμπέπηγε πρὸς ἄλληλα δυοῖν διαπήγμασιν· ἑνὶ μὲν κάτω, ἀφεστῶτι τῆς βάσεως πενταπαλαιστιαῖον μέτρον, ἄλλο δὲ ἄνω κατάττειν τῶν σκελῶν περάτων· ὑπὸ δὲ τὸ κάτω διάπηγμα, σανὶς ἐστι πλαγία προσπεπηγυῖα τοῖς διαπήγμασι· κατὰ τὴν τοῦ πλάτους μεσότητα κέκοπται τῇ ἀνεστραμμένῃ ἐκκοπῇ· κατὰ δὲ τὴν τῆς ἐκκοπῆς τάξιν, τῷ διαπήγματι προσήλωται σιδηροῦν πυκνότερον τοῦτο· τοπικὴ ἡ ἐκκοπὴ ἐγένετο πρὸς ἔνθεσιν πριαπίσκου, ὃ κατὰ δακτυλιαίου τῷ μεγέθει· μεταξὺ δὲ τῶν διαπηγμάτων ἔνδον τὰ σκέλη σεσωλήνισται σωληνισμοῖς,

ἵνα ἐν τούτοις κινῆται χελώνη τετράγωνος ἐν τοῖς καταρτισ-
μοῖς, σπάθη τε καὶ ἀγκῶνας· τὸ γὰρ ἐμπρόσθιον μέρος τῆς
χελώνης, τὸ λεγόμενον μέτωπον, τέτρηται· διαντέωσις δὲ τοῦ-
το τὸ τρῆμα ἔγκειται· ἡ ῥίζα εἰς τὸ μύουρον πέρας ὀπίσω
διενήνεκται τοῦ τῆς χελώνης πάχους· τῆς δὲ ῥίζης τὸ προκείμενον
πέρας τέτρηται· ἐκ τῶν πλαγίων εἰς τὰ πλάγια ἰσότρημα πε-
ρόνη ἔγκειται· ἵνα ἡ ῥίζα μὴ ἐξέλκηται, ἀλλὰ ἐν τῷ τρή-
ματι οὖσα στρέφηται· ἡ δὲ περόνη κατὰ τὸ τῆς ῥίζης πέρας ἔ-
P. 285. ξωθεν κεκάλυπται ἀσπιδίσκης ἐπιθέσει· γέγονε δὲ || ῥίζα τῆς
ἐν τῷ ὀργάνῳ ἐξαρτήσεως· σπάθην γὰρ ἔχει τὸ ὄργανον
ἀμμοειδῆ μεγέθει τηλικαύτην, ὡς ἀπὸ τοῦ κάτω διαπήγμα-
τος ὑπερέχουσαν τὸ ἄνω διάπηγμα τὸ λεγόμενον.

2. Κέφαλον ἀναλόγως φησὶ τῷ εἴδει ταύτης τῆς σπάθης τὸ ἀν-
τικείμενον πέρας τῷ ἀμμοειδεῖ σχήματι, κατὰ τὴν τοῦ αὐτοῦ μεσό-
τητα ἐκκόπτεται τετραγώνῳ ἐκκοπῇ, εἰς ἥνπερ ἐκκοπὴν κατα-
κέκλεισται τὸ προκείμενον τῆς ῥίζης πλατύ τε καὶ τετρημένον πέρας·
τέτρηται δὲ καὶ αὕτη ἡ σπάθη ἐκ τῶν πλαγίων εἰς τὰ πλά-
για· εἰς ταῦτα δὲ τὰ τρήματα περόνη ἔγκειται συνοχῆς χά-
ριν τῆς σπάθης πρὸς τὴν ῥίζαν· αὕτη δὲ ἡ χελώνη κατὰ τὰ
μέσα ἑαυτῆς μέρη τέτρηται τρήμασι τέτρασι τὸν ἀριθμὸν, ἤ-
τοι στοιχηδὸν τεταγμένοις, ἢ δυσὶ μὲν ἐμπροσθίοις· τὰ δὲ
τρήματα ταῦτα γέγονε πρὸς κάλλου ἔνδεσιν, ὡς ἐν τοῖς ἐχο-
μένοις δηλώσω· μέσον δὲ τὸ κέφαλον, τὸ ἄνω διάπηγμα λέ-
γω, τετράγωνον ἔχει ἐκκοπὴν· ἐν ᾗ ἐκκοπῇ διπλοῦς τρόχι-
λος τέτακται περὶ περόνῃ κινούμενος· ἔχει δὲ καὶ ἄλλας τὸ
κέφαλον δύο τετραγώνους διαμπερεῖς ἐκκοπὰς, ἐν ἑκατέρῳ
μέρει τοῦ τροχίλου, μίαν καὶ μίαν, περιεχούσας τετράγωνα μέρη
τῶν ἀγκώνων· δύο γάρ εἰσιν ἀγκῶνες διενηνεγμένοι ἄνωθεν
κάτω τῇ χελώνῃ ἐπιβεβηκότας, κοιλότητας ἐχούσῃ τετραγώνους
ἐπιπολαίους· τῶν δὲ ἀγκώνων, τὰ μὲν κάτω μέρη τετράγωνα
καὶ λεπτὰ πτέρνας ὠνόμασαν οἱ ὀργανικοί· τὰ δὲ ἄνω πλατέα

©BIU Santé



τὲ καὶ περιφερῆ, πτερώσεις· ἐν δὲ ταῖς ὑπὲρ τὸ κέφαλον τῶν
ἀγκώνων πτερώσεσι διεκτετρημέναι διανταίοις τρήμασιν, ἄξων
ἐστὶν ἔκθετος, μέσον ἔχων σφηνοειδὲς ἐν αὐταῖς ἐκθέτοις ἀ-
ποτορνώσεσιν, ἤτοι σκυτάλας ἢ περιαγωγίδας πρὸς τὴν στρο-
φήν· τετάρτη δὲ τὰ ἐμπρόσθια μέρη τῶν πτερώσεων κατὰ τὰ
τρήματα· | συντέτρηται δὲ καὶ ὁ ἄξων καὶ τὰς ἀποτορνώσεις· P. 286.
ἵνα εἴ ποτε πρὸς τὴν χρείαν ἐντεθειμέναις περόναις εἰς τὰ
τρήματα, ἀκίνητον φυλάξωσι τὸν ἄξονα· ἔτι τὲ τὸ ὄργανον
παρασκέλια ἔχει δύο προσκείμενα τοῖς τῶν σκελῶν μέρεσιν·
ἵνα ἐάν ποτε ὡς ἐφέδρανον ἐνεργῇ ὄργανον ἐπὶ τὴν βάσιν
καὶ τὰ παρασκέλια κινεῖται· ἐπεὶ ἡ χελώνη διὰ κάλλων ανα-
βιβαζομένη ἀνάγει τὴν σπάθην καὶ τοὺς ἀγκῶνας.

3. Ἑπομένως δὲ βούλομαι τὴν τοῦ κάλλου ἔνδεσιν δηλῶσαι· δι-
πλοῦς κάλλος λαμβάνεται, οὗ αἱ ἀρχαὶ διὰ δύο πήχεων ἢ τρη-
μάτων εἴρονται, ἢ τῶν ἐμπροσθίων ἢ τῶν ὄπισθεν μέσον κάτωθεν ἄνω,
καὶ ἀνέλκονται, ἵνα ἡ τοῦ κάλλου μεσότης γένηται κατὰ τὸ με-
ταξὺ τῶν τρημάτων διάστημα· εἶθ' αἱ ἀρχαὶ ἀνάγονται, καὶ
περιειλοῦνται τῷ ἐν τῷ κεφάλῳ διπλοῦ τροχίλῳ· ἐναλλαγεῖ-
σαι δὲ ὡς εἴρηται ἄγονται κάτω, καὶ ἀποδίδονται τύλοις ἐκ-
θέτου ἄξονος· ἔχει γὰρ τὸ τοῦ Τέκτονος ὄργανον καὶ ἄλλον ἄ-
ξονα κάτωθεν κεκομμένον τοῖς σκέλεσιν, ὑπεράνω τοῦ διαπήγ-
ματος ὡς διαπενταδακτυλιαίου μέτρου· οὗτος δὲ ὁ ἄξων
δύο τύλους ἔχει μέσους· καὶ ἐν ταῖς ἐκθέτοις ἀποτορνώσεσι
σκυτάλαις στρεφομένου τοῦ ἄξονος διὰ τοῦ κάλλου ἀναβιβαζο-
μένη ἡ χελώνη συναναβιβάζει τὴν σπάθην, καὶ τοὺς ἀγκῶνας
ἐπὶ τὸν ἐν ταῖς πτερώσεσιν ἄξονα πρὸς τοὺς κατὰ ἀνάτασιν
καταρτισμούς· αὕτη ἐστὶν ἡ ἀρχαία τοῦ Τέκτονος ὀργάνου κα-
τασκευή.

## XXIII. Κίνησις τοῦ ὀργάνου.

1. Ἐπείπερ προηγουμένως στάσιμα ὄργανα ἐγένοντο ἐπὶ



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 177 sur 544

τοῦ ὤμου, πρὸς τοὺς κατὰ ὑπεραιώρησιν καταρτισμοὺς, καὶ πρὸς
τοὺς ἄλλους δὲ τρόπους ἐστὶν ἐπιτήδεια, πρόκειται περὶ τῶν τοῦ
ὤμου καταρτισμῶν δηλῶσαι· ἄρξομαι δὴ ἀπὸ τῆς εἰς τὴν
P. 287. μασχάλην || διαφορᾶς· ἵνα δὲ γένηται ἀπηρτισμένη ἡμῖν ἡ τοῦ
ὀργάνου κίνησις, προστιθέσθωσαν τῷ κατασκευάσματι τρόχιλοι
τέσσαρες· δύο μὲν κάτω ἐν τῷ λεγομένῳ ἄμβακι τῆς βάσεως·
δύο δὲ ἄνω πρὸς τοῖς ἄνω πέρασι τῶν σκελῶν· ὅταν δὲ κατ-
αρτίζηται ὁ πάσχων, πρότερον τὸ σφηνοειδὲς ἐρίῳ ἢ ὀθονίῳ
περιειλείσθω· καὶ τότε ὑποπόδιον πλησίον τοῦ ὀργάνου ἐπιτιθέ-
σθω· τῷ ὑποποδίῳ ἐπιβαινέτω ὁ πάσχων· ἔπειτα αὐτοῦ τὰ
σκέλη ἀσφαλιζέσθω προσάλληλα κήρια· καὶ ἡ χεὶρ ἡ κατὰ
φύσιν ἐχούσα παρατεταμένη πρὸς τὴν πλευρὰν· εἰς δὲ τὰ τρή-
ματα τῶν πτερώσεων, καὶ τοῦ ἄξονος αἱ περόναι ἐντιθέσθωσαν,
ἵνα μενῇ ἀκίνητος ὁ ἄξων, ἕως τῆς ἐπιτηδείου τῆς κινήσεως χρεί-
ας· γενομένων δὲ τούτων, ὑπερτιθέσθω ἡ χεὶρ ὑπὸ τὸν ἄξο-
να· εἶθ' ὅταν τὸ σφηνοειδὲς ἐντεθῇ εἰς τὴν μασχάλην, βρό-
χος ὁ καρχήσιος ἢ ἄλλος ἰσότονος περιτιθέσθω τῷ βραχίονι·
καὶ αἱ τοῦ βρόχου ἀρχαὶ ἀγέσθωσαν κάτω, καὶ ἀποδιδόσθω-
σαν τοῖς τύλοις, τοῦ ἐν τοῖς σκέλεσιν ἄξονος, τοῦ κάλλου μὴ
ἐνδεδεμένου, ὥσπερ ἐν τῇ κατασκευῇ ἱστορήθη.

2. Τοῦ δὲ ἄξονος στρεφομένου, εὐθύπορος ἔσται ἡ κατά-
τασις· ἡ δὲ κατὰ μετάληψιν κατάτασις τρόπῳ τούτῳ γίνε-
ται· ἀρχαὶ τοῦ βρόχου πρότερον μεταλαμβάνονται διὰ τῶν
κάτω τροχίλων· εἶτα ἀνάγονται καὶ ἀποδίδονται τοῖς τύ-
λοις, ἵνα τῇ τοῦ ἄξονος κινήσει δεδηλωμένη τάσις γένηται,
ἡ κατὰ μετάληψιν γίγνεται· μεταλαμβανομένων τῶν τοῦ βρό-
χου ἀρχῶν διὰ τῶν κάτω τροχίλων, καὶ τότε περιειλουμένων
τοῖς ἄνω τροχίλοις, εἶτα ἀποδιδομένων τοῖς τύλοις τοῦ
ἄξονος, γίγνεται κατὰ ἀντιμετάληψιν κατάτασις· καὶ κα-
τατάσεως τρόποι εἰσὶν οὗτοι· ὅταν δέ τις βούληται κα-
P. 288. τὰ ἀνάτασιν, ἐνδεδωκότος τοῦ κάλλου τὴν χελώνην, | καθὼς

©BIU Santé



ἐν τῇ κατασκευῇ ἐδηλώθη, τὰς ἀρχὰς τοῦ βρόχου ἀγέτω κάτω· καὶ ἀποδιδόντα τινὶ ἀκινήτῳ προσκρατήματι· ἔπειτα στρεφέτω τὸν ἄξονα· συμβήσεται δὲ τῇ τοῦ ἄξονος στροφῇ κατὰ μετάληψιν τὴν διὰ τοῦ κάλλου βιβαζομένην χηλώνην τὴν ἀνάτασιν ἐπιτελεῖσθαι· ἐπὶ δὲ τῶν εἰρημένων φαίνεται καὶ ὁ τῆς διατάσεως τρόπος· πρὸς δὲ τὴν διάτασιν τὰς ἀρχὰς τῷ βρόχῳ οὐκέτι δεῖ τῷ κρατήματι ἀποδιδόναι, ἀλλὰ τῶν ἔσω τύλων τοῦ ἄξονος τινὶ ἢ αὐτόθεν ἢ κάτωθεν κατὰ μετάληψιν· ἵνα μὴ τῇ τοῦ μηχανήματος κινήσει ἡ δεδηλωμένη διάτασις γένηται· ἐν ἁπάσαις δὲ ταῖς τάσεσιν ὁ ἄξων ἀκινητείτω, καθὼς ἐδηλώθη· μετὰ δὲ τὴν αὐτάρκη τάσιν ἐξελκέσθωσαν αἱ τῆς ἀκινησίας τοῦ ἄξονος περόναι· καὶ τότε αὐτὸς ὁ ἄξων διὰ τῶν σκυτάλων ἢ τῶν περιαγωγίδων ἐπιστρεφέσθω· ἵνα τῇ κατὰ πόσον ἐπινεύοντος τοῦ σφηνοειδοῦς ἢ κατ' ἐξελκυσμὸν γένηται μοχλίᾳ, ὡς καὶ ἐπὶ τῶν ἄλλων ὀργάνων εἴρηται.

3. Εἶτα ἐν τῷ καταρτίζειν κατατεινομένου τοῦ βραχίονος, ὑπηρέτης ἐξόπισθεν ἑστὼς καθαπτέτω τὰς χεῖρας ἑαυτοῦ κατὰ τοῦ τραχήλου τοῦ καταρτιζομένου, πρὸς τὴν τοῦ σώματος εἰς τοὺς ὑπὸ πόδα τόπους ἀντιμεταγωγήν· ἐὰν δὲ κατὰ ὑπεραιώρησιν καταρτίζηται ὁ πάσχων, ἅμα τοῦ ὑπηρέτου τὸ δεδηλωμένον ἐνέργημα ποιοῦντος, τὸ ὑποπόδιον ἐφελκέσθω τὸ ὑπὸ τοὺς πόδας τοῦ καταρτιζομένου κινουμένου, ἵνα ἐκ τοῦ ὀργάνου κρεμασθῇ ὁ πάσχων· εἶθ', ὡς ἔφην ἐν ἄλλοις, ἅμα τῇ καταγίᾳ καὶ ὑπεραιωρήσει ἐπιτηδείᾳ τοῦ σφηνοειδοῦς κατ' ἐξελκυσμὸν χαλάσει, διὰ τὴν τάσιν καὶ τὸ σφάλμα, ἁρμόζειν ταῖς χερσὶν ἀμφοτέραις συλλαμβάνειν τὰ κῶλα, καὶ ἀναβιβάσαι πρὸς τὴν ἐμβολήν· || οὕτως καταρτίζεται ἡ εἰς τὴν μασχάλην P. 289.
τοῦ ὤμου διαφορά.

4. Ἐπὶ δὲ τῆς ὤμου διαφορᾶς, στρέψαι δεῖ τὸν ἄξονα, ἵνα τὸ μὲν σφηνοειδὲς κάτω γένηται· τὸ δὲ λεῖον αὐτοῦ μέρος, ἄνω· τοῦτο γάρ ἐστιν ἐπιτήδειον πρὸς τὸν νῦν



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 179 sur 544

©BIU Santé



καταρτισμὸν τοῦ ὤμου ἐπὶ τῶν προκειμένων διαφορῶν· γενομένου τούτου, πλησίον τοῦ ὀργάνου ὑποπόδιον τιθέσθω, ᾧ ὁ καταρτιζόμενος ἐπιβαινέτω· καὶ τότε τὴν χεῖρα ὑπερτιθέτω, ἵνα κατὰ τοῦ ἄξονος ἐρεισθῇ· τούτου δὲ γενομένου, βρόχος ἰσότονος περιτιθέσθω τῷ βραχίονι· οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω ὡς ἐπὶ τὸν ἄξονα· τάσεις δὲ γιγνέσθωσαν αἱ αὐταὶ ταῖς ἐπὶ τῆς εἰς τὴν μασχάλην διαφορᾶς δεδηλωμέναις· καὶ μετὰ τὴν αὐτάρκη τάσιν μοχλίαι παραδεδομέναι ὑμῖν ἐν τῇ τῶν ἄλλων ὀργάνων κινήσει γινέσθωσαν· μὴ ὄντων δὲ ἀγκώνων δηλονότι οὐδὲ ἐν ταῖς πτερώσεσιν ἢ εἰς τὴν μασχάλην διαφορὰ διὰ τῆς σπάθης καταρτίζεται· τρόπῳ τούτῳ ἀνακλᾶται ἡ σπάθη, ὥστε αὐτῆς τὸ ἀμμοειδὲς πέρας ὑπεράραι τὸ κεφάλαιον, ὡς ἂν εἰς σφηνοειδές· καὶ τότε διπλῆς κηρείας μεσότης τάσσεται μεταξὺ τοῦ διαπήγματος καὶ τῆς σπάθης, ἧς αἱ ἀρχαὶ ἔξωθεν τε παραμεῖναι· πρὸς δὲ τὸν καταρτισμὸν παρεστῶτος τοῦ πάσχοντος τῷ ὀργάνῳ ὑπερτίθεται ἡ χεὶρ ὑπὲρ τὸ διάπηγμα· ἵνα ἡ σπάθη ὡς ἄμβη ἐντεθῇ εἰς τὴν μασχάλην· ἔπειτα τῷ βραχίονι ὁ καρχήσιος βρόχος ἢ ἄλλος ἰσότονος περιτίθεται· οὗ αἱ ἀρχαὶ ἄγονται κάτω καὶ ἀποδίδονται τῷ διαπήγματι πρὸς κράτημα· ἐνδεδεμένης δὲ τῆς χελώνης τῷ κάλλῳ, τῇ τοῦ ἄξονος στροφῇ ἀναβιβαζομένης τῆς χελώνης, συναβιβαζούσης δέ, καὶ τὴν σπάθην τὸν κατὰ ἀνάτασιν τρόπον ἐπιτελεῖ.

5. Δύναται δὲ καὶ ὁ κατὰ διάτασιν τρόπος τῶν τοῦ βρόχου | ἀρχῶν μεταλαμβανομένων τῷ ἄξονι· νυνὶ γὰρ κινουμένου
P. 290.
τοῦ ἄξονος, ἔσται ἡ διάτασις· δεῖ δὲ μετὰ τὴν αὐτάρκη τάσιν συνέχειν τὰς τῆς διπλῆς κηρείας ἀρχάς· καὶ δι' αὐτῆς τῆς κηρείας συνέχειν τὴν σπάθην· ἵνα νῦν διὰ τῆς σπάθης ἡ κατ' ἐξελκυσμὸν γένηται μοχλία· γενομένου δὲ τοῦ ἐξελκυσμοῦ, ἡ ἔντασις ἀνέσθω· τὸ δὲ σφάλμα ὡς ὅτι τάχιστα συντελείσθω, πρὸς τὴν τοῦ ἄρθρου ἐμβολήν· μὴ οὔσης δὲ σπάθης ἐν τῷ ὀρ-

γάνῳ, μήτε ἀγκώνων, μήτε τοῦ ἐν αὐτοῖς ἄξονος, ἡ εἰς τὴν μασχάλην διαφορὰ καταρτίζεται· διὰ τοῦτο φησὶν ὧ εἴδους τρόπῳ τούτῳ τὸ ἐκ τῶν κάλλων ἠρτημένον σφηνοειδὲς ἐρείδεται κατὰ τοῦ ἄνω διαπήγματος, καὶ πρὸς αὐτὸ διὰ τῶν κάλλων ἀσφαλίζεται· ἔπειθ' ὑπερτίθεται ἡ χεὶρ καὶ ἡ μασχάλη κατὰ τὸ σφηνοειδὲς τείνεται· τοῦ δὲ σφηνοειδοῦς ἐντεθέντος εἰς τὴν μασχάλην, ὁ καρχήσιος βρόχος τῷ βραχίονι περιτίθεται· οὗ αἱ ἀρχαὶ ἄγονται κάτω, καὶ ἀποδίδονται τῷ ἐν ταῖς σκέλεσιν ἄξονι· ἵνα τῇ τούτου στροφῇ ἡ κατάτασις γένηται· μετὰ δὲ τὴν αὐτάρκη τάσιν δοκιμάζονται αἱ μοχλίαι· ἐπὶ τῶν ἄλλων ὀργάνων δεδηλωμένῃ κατατάσει γίγνεται, ἣ συγκατατίθεμαι.

6. Τοῖς δὲ ἄλλοις ἔδοξε διὰ τῆς χελώνης καταρτίζειν τρόπῳ τούτῳ· πρότερον ἐκλύεται ὁ κάλλος καὶ τότε διπλοῦται· διπλωθέντος δὲ αὐτοῦ, αἱ ἀρχαὶ ἄνωθεν κάτω διὰ δύο τῆς χελώνης τρημάτων διεκβάλλονται, καὶ ἀποδίδονται τοῖς τύλοις τοῦ κάτω ἄξονος· ἀναβιβάζεται δὲ ἡ χελώνη πλησίον τοῦ ἄνω διαπήγματος· καὶ τότε πρὸς τὸν καταρτισμὸν ὑπερτίθεται ἡ χεὶρ· καὶ ἐντίθεται τὸ σφηνοειδὲς εἰς τὴν μασχάλην· εἶθ' ὁ βραχίων ἀσφαλίζεται πρὸς τὴν χελώνην διὰ τοῦ φοίνικος· ἐπιδέσμων γενομένων δὲ, στρέφεται ὁ ἄξων ὁ κάτω ὑποκείμενος· ὑπὸ τοῦ κάλλου καθελκομένη ἡ χεὶρ, ἡ χελώνη κατατείνει τὸν βραχίονα· καὶ ἡ μὲν κατά||τασις γίγνεται· αἱ δὲ ἀκόλου- P. 291.
θοι μοχλίαι παραποδίζονται προσδεδεμένου τοῦ βραχίονος τῇ χελώνῃ.

## XXIV. Περὶ τῶν τριῶν τοῦ ἀγκῶνος διαφορῶν.

1. Ἐπὶ τῶν τριῶν τοῦ ἀγκῶνος διαφορῶν ἐφ' ὧν κατακέκαμπται ἡ χεὶρ, τοῦ ἔσω λέγω καὶ τοῦ ἔξω, ἐπί τε τοῦ ὀπίσω ὁλοκλήρου οὔσης τῆς τοῦ ὀργάνου κατασκευῆς, τοῦ πάσχοντος πλησίον ἑστῶτος

ἐπί τινος ὑποποδίου, στρεφέσθω ὁ ἄξων, ἵνα τὸ σφηνοειδὲς
κάτω γένηται· τὸ δὲ πλεῖον αὐτοῦ μέρος ἄνω· καὶ τότε ὑπερ-
τιθέσθω ἡ χεὶρ ὑπὲρ τὸν ἄξονα διὰ τοῦ φοίνικος ἐπιδέσμου·
τῷ δὲ πήχει πλησίον τοῦ καρποῦ ἀνισότονος περιθέσθω βρό-
χος, οὗ αἱ ἀρχαὶ ἀναγέσθωσαν καὶ τῇ καταλλήλῳ πτερώσει
ἢ τῇ ἐκθέτῳ τοῦ ἄξονος ἀποτορνώσει προσαπτέσθωσαν· οὕ-
τω δὲ τοῦ τῆς χειρὸς σχήματος ἐγγωνίου πεπλεγμένου, διπλῆς
κηρείας ἡ μεσότης ἢ πλατεῖα στενῶς τασσέσθω κατὰ τοῦ πή-
χεως ἐγγὺς τοῦ ἀγκῶνος· ἧς αἱ ἀρχαὶ φερέσθωσαν κάτω, ὡς
ἐπὶ τοῦ ἄξονος· αἱ δὲ τάσεις τελειούσθωσαν, καθὼς ἱστορήθη
ἐν τοῖς τοῦ ὤμου καταρτισμοῖς· ἐξέσται δὲ καὶ νῦν ἢ κατὰ
κράτημα καὶ ἀνάτασιν, ἢ κατὰ διάτασιν ἐνεργῆσαι· πάλιν
μετὰ τὴν αὐτάρκη τάσιν, μοχλίαι αὗται ἐκκρινέσθωσαν αἱ
προπαραδεδομέναι ἐν τῇ τῶν ἄλλων ὀργάνων κινήσει.

2. Ἐπὶ δὲ τῆς ἔμπροσθεν διαφορᾶς, τῆς χειρὸς ἐκτεταμένης,
μετὰ τὴν ὑπέρθεσιν, ὁ βραχίων ἀσφαλιζέσθω πρὸς τὸν ἄξονα· καὶ
τότε τῷ πήχει βρόχος ὁ καρχήσιος ἢ ἄλλος ἰσότονος ὑπερτιθέσ-
θω, οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω· καὶ πάλιν αἱ αὐταὶ δοκιμα-
ζέσθωσαν τάσεις καὶ μεταστάσεις αἱ ἱστορημέναι μοχλίαι ἐν
τῇ τῶν ὀργάνων παραδόσει· ἰδίως δὲ ἐδόκει ἡ σπάθη εὐθε-
τεῖν πρὸς τοὺς τοῦ ἀγκῶνος καταρτισμούς· ἴδωμεν δὲ πῶς τῶν
ἀγκώνων μὴ ὄντων, μηδὲ τοῦ ἐν ταῖς πτερώσεσιν ἄξονος συν-
P. 292. τελεῖται τὸ ἔργον· ἐκλύεται ὁ κάλλος | καὶ διπλοῦται· εἶτα
αὐτοῦ ἀρχαὶ διὰ δύο τρημάτων τῆς χελώνης ἄνωθεν κάτω
διεκβάλλονται τοῖς τύλοις τοῦ ἄξονος· ἡ δὲ χελώνη μετὰ τῆς
σπάθης ἀναβιβάζεται, ὡς πρὸς τὸ ἄνω διάπηγμα· καὶ τότε
ἡ σπάθη ἀνακλᾶται· εἶθ' ὑπερτίθεται ἡ χεὶρ ὑπὲρ τὸ διά-
πηγμα ἐρίου περιειλημένου· καὶ ὁ μὲν βραχίων ἀσφαλίζεται
πρὸς τὸ διάπηγμα ἐν τῇ κεκαμμένῃ· ὅτε λοιπὸν στρεφομένου
τοῦ ἐν τοῖς σκέλεσιν ἄξονος ὑπὸ τοῦ κάλλου καθελκομένη ἡ χελώνη
κατατείνει τὴν σπάθην· εἶθ' οὕτως ἡ κατάτασις γίγνεται.

©BIU Santé

©BIU Santé



3. Μετὰ δὲ τὴν κατάτασιν δοκιμάζονται μοχλίαι αἱ πάλαι ἱστορημέναι· ἐπὶ μὲν τῶν δύο διαφορῶν τῆς ἔσω καὶ τῆς ἔξω, αἱ κατὰ παραγωγήν· ἐπὶ δὲ τῆς ὀπίσω, ἡ κατ' ἐξελκυσμόν· καὶ ἡ μὲν κατάτασις γίγνεται· αἱ δὲ μοχλίαι διὰ τὴν τῆς χειρὸς πρὸς τὴν σπάθην πρόσδεσιν ἐκτός· εἰ μὴ κατ' ἐξελκυσμὸν μοχλία γένοιτο, τῆς ῥίζης ἐξέλκεσθαι δυναμένης ἐκ τοῦ τρήματος· μᾶλλον δὲ εὐθετεῖ ἡ σπάθη ἐπὶ τῆς ἔμπροσθεν διαφορᾶς ταύτης καὶ καταρτιζομένης· ὡσαύτως τοῦ κώλου ἐνδεδεμένου ἐᾶσαι τὴν σπάθην κάτω παρειμένην ἔξω· ἔπειτα τῆς χειρὸς ὑπερταθείσης, τὸν μὲν βραχίονα ἀσφαλίζεσθαι πρὸς τὸ διάπηγμα· τὸν δὲ πῆχυν πρὸς τὴν σπάθην· κἄπειτα μετὰ ταύτην τὴν κατάτασιν δοκιμάσαι· μετὰ δὲ τὴν αὐτάρκη ἀκολούθως μοχλίας παραλαμβάνειν· μίαν μὲν, τὴν κατὰ ἵππωσιν· δευτέραν δὲ, τὴν κατὰ περίσφαλσιν· τῆς σπάθης μετὰ τῆς χειρὸς ἀνακλωμένης καὶ καμπτομένης, περὶ τὸ τῆς ἱππώσεως αἴτιον, οὕτω καὶ τὰ τοῦ ἀγκῶνος ἐξαρθρήματα.

## XXV. Ἐκ τῶν Ῥούφου τοῦ Ἱπποκράτους βάθρων· ἀπὸ τῶν προοιμίων τοῦ μονοβίβλου ἐπὶ γηρὰς ἄνθρωπος· τινὲς δὲ αὐτὸν περὶ ἐξαρθρημάτων ἐπιγράφουσι.

Ὁ θαυμάσιος Ἱπποκράτης τὸ αὐτοῦ ὄργανον ἐν πολλοῖς συγγράμμασιν εἴρηκε ξύλον, ἐν δέ τισι σχιδίαν· οἱ δὲ || μετ' ἐκεῖνον βάθρον αὐτὸ προσηγόρευσαν, ὑποπήξαντες P. 293.
αὐτῷ πόδας, ὡς ὀργάνῳ καὶ ὡς βάθρῳ ἐχρήσαντο· ἔστι δὲ αὐτοῦ ἡ κατασκευὴ τοιαύτη· ξύλον ἑξάπηχες τῷ μήκει, τῷ πλάτει διάπηχυ· παχὺ δὲ πως σταθμιαῖον· τοῦτο τὸ ξύλον ἔχει κατὰ τὰ πέρατα ἐμπεπηγότα τῇ ὑπτίᾳ σανίδι ἕτερα ξύλα ποδιαῖα τῷ μήκει, τῷ δὲ ἀριθμῷ τέσσαρα, δύο καὶ δύο, περιφερῆ κατὰ τὰς κορυφὰς γεγονότα· ταῦτα τὰ ξύλα

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 183 sur 544

Ἱπποκράτης φλιὰς ὠνόμασεν· ἐν δὲ ταῖς φλιαῖς κεκομμέναις κατὰ τὰ πλάτη στρογγύλοις καὶ διανταίοις τρήμασιν ἄξονες ἔγκεινται ἔκθετοι, μέσους ἔχοντες τύλους· καὶ μετὰ τὰς ἐκθέτους ἀποτορνώσεις περιαγωγίδας πρὸς τὴν στροφήν· ὅλον δὲ τὸ ξύλον κατὰ τὴν ἡμισείαν ἐκ διαστημάτων τετραδακτυλιαῖον σεσωλήνισται σωλῆνι ὅμοιον κατὰ βάθους τετραδακκυλιαίους· τούτους δὲ τοὺς σωληνισμοὺς καπετοὺς ὠνόμασεν Ἱπποκράτης· ἐπὶ μέσον τὸ ξύλον ἐκκοπὴν ἔχει τετράγωνον βαθεῖαν, εἰς ἣν ἔγκειται σκαλμὸς ὁ λεγόμενος πριαπίσκος· ἔστι δὲ ἄλλη μέση πιοειδὴς λεία ἐπινενοημένη· καὶ ἡ μὲν οὖν κατασκευὴ κατὰ τὸν Πασικράτην ἐστὶν αὐτή· μεθ' ἣν ἀκολούθως ἐκθήσομαι τὴν κίνησιν τοῦ Ἱπποκράτους βάθρου, ἔχοντος τὴν ἀρχαίαν ὀργανοποιΐαν, ἵνα κεκλωμένου τοῦ πάσχοντος, πάντα δύναται καταρτίζεσθαι τὰ ὀλισθήματα, καθὼς ἱστορηθήσεται ἡμῖν ἐν τοῖς κατὰ μέρος.

## XXVI. Περὶ γένυος.

Ἐπὶ τῶν τοῦ γένυος διαφορῶν, ὑπτίου τοῦ πάσχοντος ἐσχηματισμένου, ἀνθέκαθεν μέρος τύχοι ἐξηρθρηκυῖα ἡ γένυς, ἄν τε κατ' ἀμφότερα τὰ ἄκρα, τοῦ πάσχοντος ἐσχηματισμένου ὑπτίαν ἔχοντος τὴν κεφαλὴν περὶ τῷ καταλλήλῳ ἄξονι, τῶν χειρῶν ἀσφαλιζομένων πρὸς τῷ θώρακι καὶ τῷ ἐπιγαστρίῳ, καὶ τῶν σκελῶν προσάλληλα, καὶ πάντων πρὸς τὸ ὀργανικὸν βάθρον, τῇ κεφαλῇ ἐπιπλεκέσθω ὁ λαγωὸς ἐπίδεσμος σὺν τοῖς ὤτοις·
P. 294. καὶ | τότε τοῦ ἐπιδέσμου ἀγκύλαι ἁμματιζέσθωσαν πρὸς τὴν ὑπερκειμένην φλιάν, κρατήματος χάριν· μεσότης τε κηρείας ἐντιθέσθω τῷ στόματι ὡς ἐσωτάτω, πλησίον τῶν χαλινῶν μεταξὺ τῶν μυλιαίων ὀδόντων· ἧς αἱ ἀρχαὶ καταγέσθωσαν κάτω, καὶ ὑποδιδόσθωσαν τῷ πρὸς τοὺς πόδας ἄξονι· ἄλλης τε κηρείας μεσότης ὑπερτιθέσθω τῷ γενείῳ· ἧς αἱ ἀρχαὶ ὑπὲρ

©BIU Santé

κεφαλῆς ἀγέσθωσαν, καὶ ἀποδιδόσθωσαν τῷ ὑπὲρ κεφαλῆς ἄ-
ξονι, διαστήματος χάριν· γενομένων δὲ τούτων, στρεφέσθω
ὁ κάτω ἄξων, ἵνα ὡσανεὶ κατὰ κράτημα καὶ κατὰ τάσιν ἡ
ἐνέργεια γένηται· μετὰ τὴν αὐτάρκη τάσιν, μοχλίαι ἐγκρινέσ-
θωσαν αἱ παραδεδομέναι ἡμῖν ἐν τῇ περὶ ἄρθρων πραγμα-
τείᾳ· ἐπὶ μὲν τοῦ καθ' ἓν μέρος ἐξαρθρήσεως, τρεῖς ἐνέργειαι
παραλαμβανέσθωσαν, παραγωγὴ, ἵππωσις, σφάλμα· ἐπὶ δὲ
τοῦ κατὰ ἀμφότερα τὰ ἄκρα, ἐκπαλεία, ἵππωσις καὶ σφάλμα·
ταῦτα εἴρηταί μοι περὶ τοῦ γένους· μέτειμι νῦν ἑξῆς περὶ τοῦ
ὤμου.

## XXVII. Περὶ ὤμου.

1. Τῆς εἰς τὴν μασχάλην διαφορᾶς καταρτιζομένης καὶ
τοῦ ἔμπροσθεν, ὕπτιος ὁ πάσχων σχηματιζέσθω· τοῦ δὲ ὀπί-
σω, πρηνής· τοῦ μὲν οὖν εἰς τὴν μασχάλην διαφορᾶς καταρ-
τιζομένης, τὸ σφηνοειδὲς εἰς τὴν μασχάλην ἐντιθέσθω παρα-
τετηρημένως· ὥστε τὸ μὲν ἀμμοειδὲς αὐτοῦ μέρος, ἔμπροσ-
θεν νενευκέναι· τὸ δὲ περιτετραμμένον, ὀπίσω· συμφέρει δὲ
τῷ σφηνοειδεῖ ὀθονίῳ ἢ ἐρίῳ περιειλεῖν, μαλάγματος χάριν· πᾶν
γὰρ ξύλον ἀστεργὲς καὶ ἀπηνὲς, καθάπερ Ἱπποκράτης λέγει· ταύ-
της μὲν οὖν πρώτης αἰτίας χάριν τῇ ἀπὸ τοῦ ἐρίου σκέπῃ χρώμεθα·
δευτέρας δὲ διὰ τοὺς ἐν μασχάλῃ ἱδρῶτας γενομένους· ἅμα μὲν
διὰ τὴν τοῦ καταρτισμοῦ εὐλάβειαν, ἅμα δὲ καὶ διὰ τὴν τό-
που φυσικὴν θερμασίαν συνεργοῦσαν τῷ χαλάσματι· ἀναπίνει
τοιγαροῦν τὸν συλλεγόμενον ἱδρῶτα || καὶ ἅμα οὐ παρολισθαί- P. 295.
νει τὸ σφηνοειδές· εἶθ' αἱ τῶν κάλλων ἀρχαὶ, αἱ μὲν ἔμ-
προσθεν, αἱ δὲ ὄπισθεν, ὑπὲρ κεφαλῆς ἀγέσθωσαν ἐπὶ τὸν
ἄξονα· κηρείας τε διπλῆς ἡ μεσότης ὑποτιθέσθω τῇ μασχά-
λῃ μεταξὺ τοῦ σφηνοειδοῦς καὶ τῶν πλευρῶν, ἧς αἱ ἀρχαὶ ἔξω
ἀγέσθωσαν· αὐτῷ δὲ τῷ βραχίονι βρόχος καρχήσιος ἢ ἄλ-

©BIU Santé

λος ἰσότονος περιτιθέσθω· περιαπτέσθω δὲ ὁ βρόχος μὴ τῷ
μυΐ, ἵνα μὴ νευρώδης ὢν, σφιγγόμενος ἀγανακτήσῃ, ἀλλ'
ὑπεράνω τοῦ μυὸς, ἢ ὑπὸ τὸν μῦν.

2. Οἱ πολλοὶ τὸν ἄνω αἱροῦνται τόπον ὡς ἐπιτηδειότερον,
ὅτε συνεγγίζει τῷ ἄρθρῳ· δυσχρηστότερος δέ ἐστιν οὗτος
πρὸς τὴν ἐνέργειαν, παραποδίζων τὴν κατ' εὐθὺ μοχλίαν·
ἅμα δὲ καὶ δι' ἐκεῖνο μάλιστα τὸν ὑπὸ τὸν μῦν αἱρούμε-
θα τόπον· ἐπειδήπερ τοπικῶς σφιγγομένου τοῦ ἄρθρου,
δυσχερῶς ἀνίεται τὰ σώματα· ἐκ διαστήματος δὲ συμμέ-
τρου τεινόμενα ῥᾳδίως χαλᾶται· συμφέρει δὲ μαλάγματος
χάριν συμπεριειλεῖν ἔριον λεπτὸν τῷ βραχίονι· καὶ τότε τὸν
βρόχον περιάπτειν· ὑποκείμεναι γὰρ τοῦ ἀγκῶνος ἀνωμαλίαι
συνέχουσι τὸν βρόχον· ὥστε μηκέτι τῇ τῆς στάσεως ῥιφῇ ἀπο-
ρεῖν κάτω· τῶν οὕτως γενομένων, αἱ τοῦ βρόχου ἀρχαὶ καταφε-
ρέσθωσαν κάτω· καὶ ἀποδιδόσθωσαν κατ' εὐθὺ τῷ τύλῳ τοῦ
ἄξονος, ἢ κατὰ περιείλησιν ἢ πρὸς ἀλλήλας ἡμματισμέναι· μᾶλ-
λον δὲ συμφέρει αὐτὰς ἁμματίζειν, καὶ τότε περιτιθέναι τῷ
τύλῳ· ἔστι γὰρ ἥδε ἡ ἐνέργεια ἀσφαλεστέρα· ἐνεργήσομεν δὲ
ἢ κατὰ κράτημα ἢ κατὰ τάσιν, ἢ κατὰ κράτημα καὶ ἀνάτασιν, ἢ
κατὰ διάτασιν διὰ τῶν ἐν τῷ ὀργάνῳ ἀξόνων.

3. Μετὰ δὲ τὴν αὐτάρκη τάσιν, ἡ μὲν κατ' ἐξελκυσ-
μὸν μοχλία διὰ τῆς διπλῆς κηρείας πρώτη γινέσθω διὰ
P. 296. τῆς μιᾶς χειρός· καὶ ἅμα τῷ ἐξελκυσμῷ ὁ ἀγκὼν | με-
ταγέσθω ἔξωθεν ἔσω τῇ ἑτέρᾳ χειρὶ τοῦ ἐνεργοῦντος ἐπὶ
τῆς τάσεως οὔσης· δευτέρα δὲ ἡ κατὰ σφάλμα ἀνεθεί-
σης καὶ χαλασθείσης τῆς τάσεως διὰ τῶν χειρῶν· ἐπὶ δὲ
τῆς ἔμπροσθεν καὶ τῆς ὀπίσω διαφορᾶς, ὑπτίου· ἐπὶ δὲ τῆς ὀ-
πίσω πρηνοῦς, τὸ σφηνοειδὲς παραιτούμεθα· διπλῆς κηρείας
μεσότης ἐρίῳ περιειλημένη ὑποτιθέσθω τῇ μασχάλῃ· καὶ τόθ'
αἱ ἀρχαὶ ὑπὲρ κεφαλῆς ἀγέσθωσαν· μὴ κατάθετον κατὰ τὸν
πάσχοντα ὦμον, ἀλλὰ κατὰ τὸ ἀντικείμενον μέρος τοῦ πάσ-

©BIU Santé

χοντος οἰκείως ἐσχηματισμένου· ἐπὶ μὲν τῆς ἔμπροσθεν διαφορᾶς.

4. Ἡ δὲ αἰτία ζητεῖται δι' ἣν τοῦτο γίγνεται· ἔφασαν δὲ οἱ περὶ τὸν Πασικράτην ἵνα μὴ τῇ κατ' εὐθὺ ἀναγωγῇ ὑπὸ τῆς κηρείας κρατεῖται ὁ βραχίων· οἱ δὲ μετ' αὐτοὺς οὐ τούτου χάριν ἐξῆν λοξοῦσθαι τὰς ἀρχάς, ἀλλ' ἵνα μὴ ἀναπιεζούμενα τὰ τῆς μασχάλης σώματα πληροῖ τὸν τῆς ὠμοπλάτης τύπον· συμφώνως δὲ πᾶσιν ἤρεσεν ἡμῖν λοξὰς ποιεῖσθαι τὰς ἀρχάς, ὥστε τὰ ἀντικείμενα μέρη πρὸς τῇ καταλλήλῳ φλιᾷ· πάλιν τε ὅμοιος τῷ βραχίονι καρχήσιος βρόχος περιτιθέσθω, ἢ ἕτερος ἰσότονος, οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω ἐπὶ τὸν πρὸς τοῖς ποσὶν ἄξονα, ἵνα γένηται κράτημα καὶ κατάτασις· ἢ εἴ τις βούλοιτο τῷ κατὰ διάτασιν ἐνεργῆσαι τόπῳ, αἱ ἀκόλουθοι ἐπὶ τούτων μοχλίαι παραλαμβανέσθωσαν ἐπάνω ἡμῖν εἰρημέναι· προηγουμένως δὲ ἡ διὰ τῶν χειρῶν παραγωγὴ καὶ ἴπωσις· ὁμοίως δὲ καὶ ἐπὶ τῆς ὀπίσω διαφορᾶς, πρηνοῦς τοῦ πάσχοντος ἐσχηματισμένου, τὰ αὐτὰ ἐνεργήματα προσαγέσθω, ἃ καὶ ἐπὶ τῆς ἔμπροσθεν διαφορᾶς τοῦ ὤμου· μετὰ τὴν αὐτάρκη τάσιν, ἡ διὰ τῶν χειρῶν ἴπωσις καὶ παραγωγὴ καὶ σφάλμα παραλαμβανέσθω.

## XXVIII. Περὶ ἐξαρθρήματος βραχίονος καὶ κατάγματος. ||

Ἔσθ' ὅτε τῷ τοῦ βραχίονος ἐξαρθρήματι συγχρονίζει καὶ P. 297.
κάταγμα, μέσου τοῦ κώλου ῥαγέντος, γίγνεται χρεία ἅμα μὲν κατὰ τάξεως τοῦ ἐξαρθρήματος, ἅμα δὲ διαπλασμοῦ τοῦ κατάγματος, νῦν εὐθετὴς ἡ καταρτισμὸς τοῦ ἐξαρθρήματος κατὰ κράτημα καὶ ἀνάτασιν· τοῦ δὲ κατάγματος κατὰ κράτημα καὶ κατὰ τάσιν· πρῶτον δὲ καταρτίζεσθαι τὸ ἐξάρθρημα, καὶ τότε τὸ κάταγμα· πρὸς μὲν οὖν τὸν τοῦ ἐξαρθρήματος κα-

©BIU Santé



ταρτισμὸν τὸ σφηνοειδὲς ἐντιθέσθω εἰς τὴν μασχάλην· ἀναγέσθωσαν τε ὑπὲρ κεφαλῆς αἱ τῶν κάλλων ἀρχαί· μεσότης δὲ κηρείας τασσέσθω μεταξὺ τοῦ σφηνοειδοῦς καὶ τοῦ βραχίονος· ἧς αἱ ἀρχαὶ φερέσθωσαν ἔξω· ὁ δὲ καρχήσιος βρόχος ὑπὸ τὸ σφηνοειδὲς ὑπεράνω τοῦ κατάγματος περιτιθέσθω· τούτου αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω, καὶ ἀποδιδόσθωσαν τῇ φλιᾷ πρὸς κράτημα· αἱ δὲ τῶν κάλλων ἀρχαὶ ἄνω ὑπὲρ κεφαλῆς ἄξονι· ἵνα τῇ τούτου στροφῇ κράτημα γένηται καὶ ἀνάτασις· μετὰ δὲ τὴν αὐτάρκη τάσιν διὰ τῶν ἀκολούθων μοχλιῶν τοῦ ἄρθρου γινέσθω κατάτασις· κἄπειτα τοῦ ἐξαρθρήματος καταρτισθέντος, αἱ τοῦ βρόχου ἀρχαὶ ἀγέσθωσαν, καὶ ὑπὲρ κεφαλῆς ἀναφερέσθωσαν, καὶ ἀποδιδόσθωσαν κρατήματι· ἄλλος δὲ βρόχος ἰσότονος καρχήσιος τῷ βραχίονι περιτιθέσθω· οὗ αἱ ἀρχαὶ καταφερέσθωσαν κάτω, καὶ ἀποδιδόσθωσαν τῷ ἄξονι πλησίον τῶν ποδῶν· ἵνα γένηται τὸ ἐνέργημα κατὰ τρῆμα καὶ ἀνάτασιν· νῦν οὐκ ἔστιν εὐλαβὴς ἐν τῇ τοῦ κατάγματος κατατάσει ἡ τοῦ καταρτισμένου ἄρθρου ἐκπαλεία· κεκράτηται γὰρ ἄνω ὑπὸ τοῦ σφηνοειδοῦς καὶ τοῦ ἄνω βρόχου· μετὰ τὴν κατάτασιν, διὰ χειρῶν τὸ κάταγμα διαπλασσέσθω, καθὼς πλειστάκις ἐδηλώσαμεν· καὶ ἐπὶ τῆς ἔμπροσθεν ἔτι τε τῆς ὀπίσω διαφορᾶς ταῖς
P. 298. αὐταῖς | ἐπινοίαις γιγνέσθωσαν οἱ καταρτισμοὶ, μεμηνύσθω.

## XXIX. Περὶ ἀγκῶνος.

1. Ἐπὶ τῶν τριῶν τοῦ ἀγκῶνος διαφορῶν, τῆς ἔξω, τῆς ἔσω, τῆς ὀπίσω, ἐφ' ὧν κέκαμπται ἡ χεὶρ ἐκτείνεσθαι μὴ δυναμένη, ὕπτιος ὁ πάσχων ὑπὸ τοῦ ὀργάνου κλινέσθω· καὶ μετὰ τὸν οἰκεῖον σχηματισμὸν, βρόχος ὁ καρχήσιος ἢ ἄλλος ἰσότονος περιτιθέσθω τῷ βραχίονι· οὗ αἱ ἀρχαὶ ἄνω φερέσθωσαν ὑπὲρ κεφαλῆς, κρατήματος χάριν· τῷ δὲ πήχει πλησίον καρποῦ ἀνισότονος περιτιθέσθω βρόχος ὡς ἑορτὸς ἢ χιαστὸς ἢ ναυτι-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 188 sur 544

κὸς· οὗ αἱ ἀρχαὶ ἀναγέσθωσαν, καὶ τῇ καταλλήλῳ φλιᾷ προσ-
δεδέσθωσαν· ὡς γενέσθαι τὸ σχῆμα ἐγγώνιον· εἶτα τὸ τῆς δι-
πλῆς κηρείας μεσότης ἢ γενείας πλατείας τασσέσθω κατὰ τοῦ
πήχεως ἐγγὺς ἀγκῶνος, οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω ἐπὶ
τὸν πρὸς τοῖς ποσὶν ἄξονα· ἔχοντες οὖν ἄνω μὲν βρόχου ἀρ-
χαί, κάτω δὲ τῆς διπλῆς κηρείας· ἄξονάς τε δύο, ὃν μὲν
ὑπὲρ κεφαλῆς, ὃν δὲ πρὸς τοῖς ποσὶν· ἐνεργήσομέν τε ἢ κα-
τὰ κράτημά τε καὶ ἀνάτασιν, ἢ κατὰ διάτασιν· καὶ μετὰ τὴν
αὐτάρκη τάσιν, μοχλίαις χρησόμεθα ταῖς καταλλήλοις πρὸς
τὴν τοῦ ἄρθρου κατάτασιν ἐπὶ μὲν τῆς ἔσω καὶ τῆς ἔξω
διαφορᾶς, ταῖς κατὰ παραγωγὴν· ἐπὶ μὲν τῆς ὀπίσω, τῇ
κατ᾽ ἐξελκυσμόν.

2. Ἐπὶ δὲ τῆς ἔμπροσθεν διαφορᾶς, ἐφ᾽ ἧς ἐκτέταται ἡ χεὶρ
κάμπτεσθαι μὴ δυναμένη, σχηματιζέσθω ὁ πάσχων ὕπτιος
ἐπιῤῥεπὴς ἐπὶ τὸ πάσχον μέρος· τῆς δὲ χειρὸς ἐκτεταμένης
ἐπὶ τοῦ σανιδώματος, βρόχος καρχήσιος περιτιθέσθω τῷ βρα-
χίονι· οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν ὑπὲρ κεφαλῆς· καὶ τῷ πήχει
ἄλλος ἰσότονος βρόχος κατὰ τὰ ἀπολήγοντα μέρη τὰ πρὸς τῷ
καρπῷ· οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω· τάσεις τε δοκιμα-
ζέσθωσαν αἱ προειρημέναι ἢ κατὰ κράτημα καὶ κατὰ
τάσιν· καὶ μᾶλλον νῦν αἱρετωτέραν νομίζω τὴν κατὰ διά||-
τασιν ἐνεργεστέραν οὖσαν τῆς ἁπλῆς κατατάσεως πρὸς τὴν P. 299.
τοῦ ἄρθρου διάτασιν· δεῖ δὲ μετὰ τὴν αὐτάρκη τάσιν,
τὰς ἐπιτηδείους ἐπικρίνειν μοχλίας, τὴν κατὰ ἴπωσιν
καὶ κατὰ περίσφαλσιν· τὴν μὲν κατὰ ἴπωσιν, ἔτι με-
νούσης τῆς τάσεως· τὴν δὲ κατὰ περίσφαλσιν, χαλασθείσης·
δεῖ δὲ μετὰ τὸν καταρτισμόν, πρὸς ἀσφαλῆ γνῶσιν τῆς τῶν ὀσ-
τέων καταταγῆς, πειράζειν τὰ φυσικὰ τῆς χειρὸς ἐνεργήματα·
κάμψιν λέγω καὶ ἔκτασιν ἐπὶ τὴν ἐπὶ τὸ πρηνὲς καὶ ὕπτιον
στροφήν· ταῦτα γὰρ τὰ ἐνεργήματα ἀνεμποδίστως γινόμε-
να δηλοῖ τὸ τοῦ καταρτισμοῦ τέλος· ἔνεστι δὲ καὶ ἐξ ἀν-

©BIU Santé

τιπαραβολῆς τῆς πρὸς τὸν ἕτερον ἀγκῶνα, ἐπιγινώσκειν τὸ ἀποτέλεσμα· ἐπὶ τέλει δὲ ἡ χεὶρ καμπτέσθω τῷ οἰκείῳ ἐγγωνίῳ σχήματι, φυλαττέσθω τε πρὸς τὴν ἀκόλουθον θεραπείαν· τοῖς δεδηλωμένοις τρόποις καταρτίζεται τὰ δύο τοῦ πήχεως ὀστέα παρὰ φύσιν διατεθέντα.

3. Ἐπεὶ δὲ κατ' ἰδίαν ἕκαστον αὐτῶν πάσχει, ὁ μὲν πῆχυς ἐξαρθρῶν, ἡ δὲ κερκὶς παραρθροῦσα, καὶ περὶ τούτων διαλέξω· διατίθεται κατ' ἰδίαν ὁ πῆχυς χωρὶς τῆς κερκίδος· καὶ πάλιν ἡ κερκὶς παραρθρεῖ καθ' αὑτὴν χωρὶς τοῦ πήχεως· ὁποτέρα δ' ἂν τῶν ὀστέων τούτων πάθῃ· πάλιν τοῦ καταρτισμοῦ διὰ τῶν ὀργάνων γινομένου, ὁ μὲν βραχίων ἀσφαλιζέσθω βρόχῳ πρὸς τὴν ὑπερκειμένην φλιάν· τῷ δὲ πήχει πάλιν κατὰ τὰ ἀπολήγοντα μέρη περιτιθέσθω βρόχος ἀνισότονος, ὡς ἑρτὸς ἢ ναυτικός· οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω, καὶ περιτιθέσθωσαν τοῖς τοῦ ἄξονος τύλοις πρὸς τὴν τάσιν· ἡ δὲ τοῦ ἀνισοτόνου βρόχου περίθεσις παρατετηρημένη γινέσθω· ὥστε τὰς μὲν ἀγκύλας τετάχθαι πρὸς τὸ καταρτιζόμενον μέρος, τὰς δὲ ἀρχὰς κατὰ τὸ ἀντικείμενον· ἰδίως γὰρ ἀνισότονοι βρόχοι ἐκεῖνα μᾶλλον βιάζονται τὰ μέρη οἷς
P. 300. περίκεινται αὐτῶν αἱ ἀρχαί· ἧσσον δὲ τὰ ἀντι|κείμενα· ἐπεὶ δὲ διαζυγῆς ἐστιν ὁ πῆχυς, καὶ τὸ ἕτερον ὀστέον παρὰ φύσιν ἔχον καταρτίζεται, συμφέρει ἐκεῖνο μὲν βιάζεσθαι, τὸ δὲ κατὰ φύσιν, εἰ οἷόν τε μὲν, διατεθῆναι· τάσεως αὐτάρκους γενομένης, μοχλίαι παραλαμβανέσθωσαν αἱ τῷ ὀλισθήματι κατάλληλοι.

4. Ἐπὶ μὲν τῆς ἔσω τοῦ πήχεως διαφορᾶς, ἐκ τῆς ἔξω τῆς κερκίδος συνημμένοι οἱ δάκτυλοι τῶν δύο χειρῶν ὑποτιθέσθωσαν τῷ ἀγκῶνι· καὶ τὰ θέναρα ἐκ πλαγίων παρατιθέσθωσαν, ἵνα διὰ τῆς τῶν θενάρων παραθέσεως ὡσεὶ παραγωγῇ βίᾳ καταταγῆς ἀξιωθῇ τὸ ὀστέον· ἐπὶ δὲ τῆς ὀπίσω τοῦ πήχεως τῆς κερκίδος διαφορᾶς, τῆς χειρὸς κατὰ τὸ ποσὸν κε-

καμμένης ἅμα τῇ κατατάσει, θέναρι χειρὸς ἡ ἵππωσις γινέσθω πρὸς τὴν τοῦ ὀστοῦ καταταγήν· καὶ αὐτῆς τῆς τάσεως ἰδίως συνεργούσης τῷ καταρτισμῷ, τῆς δὲ κερκίδος εἰς τὸν ἔμπροσθεν τόπον παρηρθρηκυίας, ἐκτεταμένης τῆς χειρὸς, οὕτως ἐνεργεῖν δεῖ, ὡς ἐπὶ τῆς ἔμπροσθεν διαφορᾶς ἀμφοτέρων τῶν ὀστέων· δοκιμαζέσθω τοίνυν τάσις μὲν ἡ κατὰ κράτημα καὶ κατὰ τάσιν· μετὰ δὲ τὴν αὐτάρκη τάσιν μοχλίαι, δύο παραλαμβανέσθωσαν ἡ κατὰ ἵππωσιν καὶ κατὰ περίσφαλσιν· καὶ ἡ μὲν κατὰ ἵππωσιν μενούσης τῆς τάσεως· ἡ δὲ κατὰ περίσφαλσιν ἀνεθείσης τῆς τάσεως, ὡς ἐκεῖ ἐδηλώθη· μετὰ δὲ τὸν καταρτισμὸν κοινότερον ἐπ' ἀμφοτέρων τῶν χειρῶν δοκιμάσαι δεῖ τὰ τῆς χειρὸς ἐνεργήματα εἰ ἀνεμποδίστως γίνεται· κάμψιν λέγω καὶ ἔκτασιν ἐπί τε τὸ πρηνὲς καὶ τὸ ὕπτιον στροφήν· τούτων τῶν ἐνεργημάτων ἀπαραποδίστως ὄντων τεκμαίρεσθαι μὲν δεῖ τὴν τελείαν καταταγὴν γεγονυῖαν, μεθ' ἣν τὸ ἐγγώνιον σχῆμα χαρίσασθαι τῇ χειρὶ δεῖ πρὸς τὴν ἀκόλουθον θεραπείαν.

## XXX. Περὶ καρποῦ.

Ὁ καρπὸς εἰς τέσσαρας τόπους παραρθρεῖ, ἔσω, ἔξω, || P. 301.
πρόσθεν, ὀπίσω· δεῖ δὲ ἐπὶ τῆς ἔσω διαφορᾶς, ὕπτιον σχηματίζειν τὴν χεῖρα ἐπὶ τοῦ βάθρου, τοῦ πάσχοντος ὁμοίως κεκλιμένου· ἐπὶ δὲ τῶν λοιπῶν τριῶν διαφορῶν πρηνῆ μετὰ τῶν προειρημένων σχηματισμῶν τῷ πήχει καρχήσιος βρόχος ἢ ἄλλος ἰσότονος περιτιθέσθω· τῷ δὲ κοίλῳ τῆς χειρὸς, πλαγία σκυτάλη ἢ καυτήριον ἐντιθέσθω· ἔπειτα ἀσφαλιζέσθω πρὸς τὸ μετακάρπιον διὰ τοῦ καλουμένου ἑξακίου· καὶ τότε τοῖς τῆς σκυτάλης ἄκροις ἢ τοῦ καυτηρίου διπλῶν κηρίων μεσότητες ἢ βρόχων ἀνισοτόνων ἀγκύλαι περιτιθέσθωσαν ἀναγόμεναι κάτω· ἕτερός τε βρόχος περιτιθέσθω τῷ πήχει ἰσότονος· οὗ

©BIU Santé

αἱ ἀρχαὶ ὑπὲρ κεφαλῆς ἀγέσθωσαν, ἀποδεδομέναι κρατήμα-
τι, οὗ αἱ ἀρχαὶ περιτιθέσθωσαν τῷ ἄξονι πρὸς τὴν κα-
ταλλήλων τάσιν· ἵνα κινουμένου τούτου, κράτημα γένηται καὶ
κατάτασις· μετὰ δὲ τὴν αὐτάρκη τάσιν, αἱ ἁρμόζουσαι μοχ-
λίαι παραλαμβανέσθωσαν· μάλιστα δὲ νῦν συμφέρει ἐπὶ τοῦ
καρποῦ κατὰ κράτημα καὶ κατὰ τάσιν ἐνεργεῖν· ἐξέσται δὲ
καὶ ἀνατάσει χρήσασθαι· τῆς τάσεως αὐτάρκους γενομένης, ἁρ-
μοζέσθωσαν αἱ κατάλληλοι μοχλίαι πρὸς τὴν καταταγήν·
ἐπὶ μὲν τῆς ἔξω διαφορᾶς, θέναρι χειρὸς ἢ πτέρνης κατὰ
ἐπίβασιν βιαζέσθω τὰ ἰπούμενα ὀστέα· εἶθ' ἡ χεὶρ ἄκρα
κατὰ τὰ μέρη τὰ πρὸς τοῖς δακτύλοις ἀντανακλάσθω· ἐπὶ
δὲ τῆς ἔμπροσθεν καὶ τῆς ὀπίσω διαφορᾶς, αἱ κατὰ παρα-
γωγὴν μοχλίαι ὀφείλουσι παραλαμβάνεσθαι.

## XXXI. Περὶ ὑβώματος.

Πᾶσαι μὲν αἱ διαφοραὶ τῶν ἐκβολῶν, τῷ τοῦ Ἱπποκρά-
τους ὀργάνῳ καταρτίζονται· προηγουμένως δὲ, τὰ τῆς ῥαχέως
ὑβώματα· τῶν δὲ τῆς ῥάχεως ὑβωμάτων μάλιστα θεραπευτὰ
νενόμισται τὰ ἐκ πληγῆς γινόμενα πρόσφατα ὄντα· σχημα-
P. 302. τιζέσθω δὲ νῦν ὁ πάσχων | πρηνὴς ἐπὶ τοῦ βάθρου, ἵνα αἱ
τῶν βρόχων ἀρχαὶ κατάλληλοι γίνοιντο τοῖς ἄξοσι· περιτι-
θέσθωσαν δὲ τῇ ῥάχει ἤτοι ἰσότονοι βρόχοι δύο, εἷς μὲν
ἄνω ὑπὲρ τὸ ὕβωμα, εἷς δὲ κάτω ὑπὸ τὸ ὕβωμα· ἔπειτα
οἱ ἀνισότονοι τέσσαρες, δύο ἄνω, δύω κάτω, κατὰ ἀντί-
θετον τασσόμενοι, οἵως ἐδηλώθη ἐν τῇ τῶν ὀλισθημάτων
πραγματείᾳ· ἡ δὲ τῆς τάσεως ἐνέργεια γιγνέσθω μᾶλλον
μὲν κατὰ διάτασιν· ἔσθ' ὅπη δὲ κατὰ κράτημα καὶ ἀνάτα-
σιν· μετὰ δὲ τὴν αὐτάρκη τάσιν, προσαγέσθωσαν μοχλίαι
κατὰ ἴπωσιν· διαφόρους δὲ ἰπώσεις ἀνέγραψεν ὁ Ἱπποκρά-
της, τὴν δὲ διὰ τοῦ θέναρος τῆς χειρὸς, καὶ τὴν διὰ τῆς ἰπ-

©BIU Santé



ποτρίδος σπάθης· εἰ δὲ διὰ τῆς ἱπποτρίδος σπάθης μοχλία ἐγίνετο ἐν τοῖς εὐπόροις τοῖς καταρτισμῶν, τοῦ τῆς σπάθης ἄκρου ἐντιθεμένου εἰς ἓν στοιχεῖον ὄρυγμα ἢ ξύλον ἐσκαμμένον· ἡμεῖς δὲ ἐν τῷ ἱπποκρατείῳ βάθρῳ πρὸς τὴν τῆς σπάθης ἀντέρεισιν ἐποιήσαμεν πι σιδηροῦν, ἀνάλογον τῇ σπάθῃ, εὔθετον, καὶ ἐξαίρετον, τετρημένον πολλοῖς τρήμασι εἰς τρήματα τῶν τοῦ ὀργάνου σκελῶν ἐντιθεμένων· πρὸς τὸ κατάλληλον τοῦ ὑβώματος μέγεθος ἁρμόσας τὸ πι, τὸ τῆς σπάθης ἄκρον ἐνθεὶς εἰς τὸ πι, κατάγοντες τὴν ἱππότριδα κατὰ τοῦ ὑβώματος πρὸς τὴν κατὰ ἴπωσιν μοχλίαν· ἔνιοι δὲ καὶ διπλῆς κηρείας ὑποθέντες μεσότητα τῷ ὀργάνῳ, τὴν αὐτάρκη ἔκτισιν ἱπποτρίδα σπάθῃ ἐνθέντες ἴπωσαν· τὸ δὲ μέτρον τῆς ἰπώσεως ἐν τοῖς περὶ ὀλισθημάτων ἀκριβέστερον εἴρηται.

## XXXII. Περὶ τῶν τοῦ μηροῦ ἐξαρθρημάτων.

1. Εἰς τέσσαρας τόπους ἐξαρθρεῖ ὁ μηρὸς, ἔσω, ἔξω, ἔμπροσθεν, ὄπισθεν· καὶ ἐπὶ μὲν τῶν τριῶν διαφορῶν, τῆς ἔσω, τῆς ἔξω, τῆς ἔμπροσθεν, ἐκτέτακται τὸ σκέλος κάμπτεσθαι μὴ δυνάμενον· ἐπὶ δὲ τῆς ὀπίσω διαφορᾶς κέκαμπται ἐκτείνεσθαι μὴ δυνάμενον· ἐπὶ τῶν τριῶν διαφορῶν, ἐφ' ὧν ἐκτέταται τὸ σκέλος, σχηματιζέσθω || ὕπτιος ὁ πάσχων· καὶ τότε P. 303.
διπλῆς κηρείας μεσότης ἐρίῳ περιειλημένη τῷ περιναίῳ ὑποτιθέσθω· αἱ δὲ ἀρχαὶ ἀνατετάσθωσαν ὑπὲρ κεφαλῆς· διαφορώτερον μὲν ἡ ἐπὶ τῶν λοιπῶν διαφορῶν· ἥ τε μεσότης τῆς κηρείας τῷ περιναίῳ περιτιθέσθω· παρατετηρημένως δὲ μᾶλλον ἐπὶ τῆς ἔσω διαφορᾶς πρὸς τῷ ὑγιεῖ μηρῷ, ἵνα μὴ ὑπὸ τῆς μεσότητος τῆς κηρείας ἡ τοῦ μηροῦ κεφαλὴ ἐν τῇ τάσει κρατηθῇ· μᾶλλον δὲ οὕτως αἱ ἀρχαὶ ἀποδιδόσθωσαν τῷ ἄξονι, εἰ κατὰ διάτασιν ἐνεργεῖν μέλλομεν· εἰ δὲ κατὰ κράτημα καὶ κατὰ τάσιν, τῇ ὑπερκειμένῃ φλιᾷ· καὶ τότε τῷ μηρῷ κατὰ τὰ ἀπολή-



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 193 sur 544

γοντα μέρη τὰ πρὸς τῷ γόνατι, καρχήσιος βρόχος περιτιθέ-
σθω· οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω, καὶ περιτιθέσθωσαν τῷ τύ-
λῳ τοῦ ἄξονος, ἵνα τῇ τούτου στροφῇ κράτημα γένηται καὶ κατά-
τασις· τάσεως αὐτάρκους γενομένης, μοχλίαι προσαγέσθωσαν.
2. Ἰδίως δὲ ἡ πιώδης φλιὰ ἐπενοήθη ἐπὶ τῆς ἔσω διαφορᾶς
τοῦ μηροῦ· ἧς καταρτιζομένης, σχηματίζεται ὁ πάσχων κεκλι-
μένος, ἐπὶ τὸ κατὰ φύσιν ἔχων μέρος τοῦ πριαπίσκου ἐξηρη-
μένου· καὶ τὸ μὲν ὑγιὲς σκέλος τάσσεται ὑπὸ τὴν φλιὰν, καὶ
οὕτως ἀσφαλίζεται πρὸς τὸ βάθρον, ἵνα ἀτρομῇ· ὡσαύτως
δὲ καὶ αἱ χεῖρες σὺν τῷ λοιπῷ σχήματι· τὸ δὲ σίναρον σκέ-
λος φέρεται ἄνω ὑπὲρ τὴν φλιὰν, κατὰ τοῦ πιοειδοῦς πήγ-
ματος· πλησίον περιναίου καὶ τῶν ἐν μηρῷ κατὰ τὰ ἀπολή-
γοντα μέρη τὰ πρὸς γόνατι, καρχήσιος βρόχος ἢ ἄλλος ἰσό-
τονος περιτίθεται· οὗ αἱ ἀρχαὶ ἄγονται κάτω ἐπὶ τὸν ἄξο-
να· αὐτῇ δὲ τῇ φλιᾷ ὑπὸ τὸ καταρτιζόμενον σκέλος ὑποτί-
θεται σπάθη ἱπποτρὶς ἢ ἄμβη ἔσωθεν ἀπὸ τοῦ περιναίου ὅλῳ
τῷ σκέλει ὑποκειμένη· τούτων γινομένων, πρὸς τὸν καταρτισ-
P. 304. μὸν στρέφεται ὁ ἄξων· οὗ κινουμένου | γίνεται κατάτασις· μετὰ
τὴν αὐτάρκη τάσιν ἄγεται ἡ σπάθη ἢ ἄμβη κατὰ τῆς φλιᾶς
καταγομένης βίᾳ κατὰ τοῦ σκέλους· εἶτα κατ᾽ ἐξελκυσμὸν γί-
νεται μοχλία· μετὰ δὲ τὸν ἐξελκυσμὸν δοκιμάζεται τὸ σφάλ-
μα· ὡς καὶ ἐπὶ τῆς εἰς τὴν μασχάλην διαφορᾶς εἴρηται.
3. Ἐπὶ δὲ τῆς ὀπίσω διαφορᾶς, οὔτε τὸ πρηνὲς οὔτε τὸ ὕπτιον
σχῆμα αἱρούμεθα· ἀλλὰ καθέδριον, ὡς καὶ ἐπὶ τὸ ὑγιὲς
ἰσχίον, μᾶλλον δὲ προσκεκλιμένον· τοιούτου δ᾽ ὄντος τοῦ σχή-
ματος, δύο δεῖ λαβεῖν κηρείας· ὧν ἣν μὲν διπλῆν παρατεῖ-
ναι, ἣν δὲ διπλῆν ἐπεμβαλέσθαι τῇ μεσότητι τῆς ἁπλῆς· καὶ
τῇ μὲν ἁπλῇ κηρείᾳ περιζῶσαι τὸν πάσχοντα, τὴν δὲ δι-
πλῆν ἄνωθεν κάτω ἐπαγαγεῖν ἀπὸ τοῦ ἰτροῦ ὡς ἐπὶ τὸν πε-
ρίναιον· καὶ διὰ τῆς ἕδρας ὀπίσω ἐνεγκεῖν, ἵνα ὁμόσε αἱ τέσ-
σαρες τῶν κηρείων ἀρχαὶ ἀποδοθῶσιν ὀπίσω πρὸς τὸ κράτημα·

γενομένου δὲ τοῦ κρατήματος, σπάθης ἱπποτρίδος τὸ πλατὺ μέρος ὑποτιθέσθω τῷ ἰσχίῳ· τῷ δὲ μηρῷ κατὰ τὰ ἀπολήγοντα μέρη πρὸς τῷ γόνατι ἰσότονος βρόχος περιτιθέσθω, οὗ αἱ ἀρχαὶ ἀγέσθωσαν κάτω ἐπὶ τὸν ἄξονα, ἵνα τῇ τοῦ ἄξονος στροφῇ κράτημα γένηται καὶ κατάτασις· τάσεως αὐτάρκους γενομένης, ἅμα τῇ κατατάσει, τοῦ μηροῦ κεφαλὴ διὰ τῆς σπάθης ἔξω προβιβαζέσθω, καὶ πλατείᾳ τῇ χειρὶ εἰς τὸ ὕπτιον κατακλινέσθω ὁ πάσχων· τῇ γὰρ δεδηλωμένῃ βίᾳ ἀρθρεμβολήσεται ὁ μηρός· τὸ δὲ τῆς κατατάγης σημεῖον ἐξ ἀντιπαραβολῆς τῆς πρὸς τὸ ἕτερον σκέλος γνωρίζεται· καὶ τῶν ἀνεμποδίστων ἐνεργημάτων αὐτοῦ τοῦ σκέλους· ὅταν γὰρ ἀνεμποδίστως κάμπτεται, τότε λογίζεται περὶ τῆς ἀρίστης κατατάγης.

## XXXIII. Περὶ γόνατος.

Τὸ γονάτιον εἰς τρεῖς τόπους παραρθρεῖ, τὸν ἔσω, τὸν || ἔξω, τὸν ὀπίσω· ἐπὶ δὲ πάσης διαφορᾶς ἐκτέταται τὸ σκέλος κάμπτεσθαι μὴ δυνάμενον· δεῖ δὲ ἐπὶ μὲν τῆς ἔσω καὶ τῆς ἔξω διαφορᾶς ὕπτιον σχηματίζεσθαι ἐπὶ τοῦ βάθρου τὸν πάσχοντα, ἐκτεταμένου τοῦ σκέλους· ἐπὶ δὲ τῆς ὀπίσω, πρηνῆ· τοῦ σχηματισμοῦ γενομένου, καθὼς εἴρηται, δύο βρόχοι ἰσότονοι περιτιθέσθωσαν· τοῦ μὲν ἄνω βρόχου αἱ ἀρχαὶ ἀναγέσθωσαν ἄνω ὑπὲρ κεφαλῆς· τοῦ δὲ κάτω, ἐπὶ τὸν ἄξονα· εἶτ' ἐγκρινέσθωσαν καὶ ἐπὶ τῶν λοιπῶν ἄρθρων δεδηλωμέναι· ἐξέσται γὰρ ἢ κατὰ κράτημα καὶ ἀνάτασιν, ἢ κατὰ τάσιν ἐνεργῆσαι· ἢ κατὰ κράτημα καὶ ἀνάτασιν, ἢ κατὰ διάτασιν· τάσεως αὐτάρκους γενομένης, ἐπὶ μὲν τῶν εἰς τὰ πλάγια διαφορῶν τῆς ἔσω καὶ τῆς ἔξω αἱ κατὰ παραγωγὴν ἐκκρίνονται μοχλίαι· ἐπὶ δὲ τῆς ὀπίσω καὶ ἡ κατὰ ἴππωσιν καὶ ἡ κατὰ περίσφαλσιν· τοὺς δὲ τόπους τῶν μοχλίων τούτων ἐμφερεῖς ὄντας τοῖς ἐπὶ τοῦ ἀγκῶνος μετάγειν δεῖ καὶ ἐνθάδε.

P. 305.



©BIU Santé

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 195 sur 544

## XXXIV. Περὶ σφυρῶν.

Τὸ σφυρὸν ποτὲ μὲν ἔσω ποτὲ δὲ ἔξω διαστρέφεται·
ἔσθ' ὅπη δὲ ὀπίσω ὑποπηδᾷ· κοινότερον δὲ ἐπὶ πάσης δια-
φορᾶς σχηματιζέσθω ὁ πάσχων ὕπτιος, ἐκτεταμένον τὸ σκέ-
λος ἔχων· καὶ τότε τῇ κνήμῃ βρόχος ἰσότονος καρχήσιος περι-
τιθέσθω· οὗ αἱ ἀρχαὶ ὀπίσω κατὰ τὴν ὑπὲρ κεφαλὴν ἄξονος·
τῷ δὲ σφυρῷ βρόχος περιτιθέσθω ὁ καλούμενος δράκων,
ἢ τὸ σανδάλιον· αἵ τε τοῦ βρόχου ἀρχαὶ ἀγέσθωσαν κάτω
ἐπὶ τὸν ἄξονα· καὶ τότε ἢ διατεινέσθω, ἢ κατὰ κράτημα,
ἢ κατὰ τάσιν διατεινέσθω τὸ μέρος· τάσεως αὐτάρκους
γενομένης, αἱ ἀκύλου σοι μοχλίαι δοκιμαζέσθωσαν κα-
τὰ ἀντεπιστροφήν· ἐπὶ δὲ τῆς ὀπίσω ἡ κατ' ἐξελκυσμόν· νυ-
νὶ γὰρ διὰ τὸν σχηματισμὸν γίνεται ὁ κατ' ἐξελκυσμόν· τοὺς
P. 306. δὲ | τρόπους τῶν μοχλιῶν τούτων ἐπιμελέστερον ὑμῖν ἐκθήσο-
μαι ἐν τῇ περὶ ὀλισθημάτων πραγματείᾳ.

# ΟΡΙΒΑΣΙΟΥ

## ΙΑΤΡΙΚΩΝ ΣΥΝΑΓΩΓΩΝ

## ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ Ν.

### I. Ἀντύλλου περὶ λειποδέρμων. (1) P. 308.

1. Τῶν ἐκ γενετῆς λειποδέρμων οἱ κατ' ἐπιγέννημα
δυσθεραπευτότεροι καθεστᾶσι· τοῖς μὲν γὰρ ἐνειλεῖται κατὰ
τὸν καυλὸν ἡ ποσθὴ καὶ ὑποδαρεῖσα ῥᾳδίως ἐπάγεται· τοῖς
δ' ἐξ ἐπιγεννήματος, ἅτε ἀφῃρημένου τινὸς μέρους αὐτῆς δυσ-
κόλως ἡ ἐπαγωγὴ γίνεται· αὐτῶν δὲ τούτων ἔτι δυσθεραπευ-
τότεροι, ἐφ' ὧν καὶ τοῦ κάλλου μέρος τι γεγύμνωται· τῆς χει-
ρουργίας δὲ τὸν καθ' ὑποδορὰν τρόπον ἐκθήσομαι· σχημα-
τίσαντες τὸν κάμνοντα, λίνῳ πάχος ἔχοντι ἱκανὸν, ἢ ῥάμμα-
τι εὐρώστῳ σφόδρα πλέξαντες ἐξ αὐτοῦ ναυτικὸν βρόχον ἢ
ἄλλον τινὰ τῶν ἀνισοτόνων, καὶ περιβάλλοντες κατωτέρου τῆς
βαλάνου περὶ αὐτὴν τὴν στεφάνην ἀνατεμοῦμεν τὸ αἰδοῖον·
παραδώσομεν τε τὰς ἀρχὰς τοῦ βρόχου διακρατεῖν ὑπηρέτῃ καὶ
ἀνατείνειν· αὐτοὶ δὲ κυκλοτερῆ τομὴν περιγράψαντες ὑπὸ
τὸν βρόχον, ἥν τινα περιγραφὴν στεφανιαίαν ὀνομάζομεν· μετὰ
ταῦτα τῇ χειρὶ τῇ ἀριστερᾷ λαβό||μενοι τοῦ δέρματος τοῦ κατὰ P. 309.
τὸν καυλὸν, πρὸς αὐτῇ τῇ περιγραφῇ ἀφέλκομεν, ἀντιβαίνον-
τος διὰ τοῦ μέσου δακτύλου, πρὸς τὸν καυλὸν ἀπολύσομεν· ῥᾳ-
δίως δὲ χωρίζονται διά τε ὀλιγότητα καὶ δι' ἀσθένειαν αὐ-
τῶν· μετὰ τὴν ἀπόλυσιν τὴν τῶν ὑμένων ἐκτρέπειν πειρασόμεθα
ἔξω τοῦ δέρματος, ὥσπερ ἐπὶ τῶν ἱερείων ἐπειδὰν περιδέρηται· καὶ
ἐπειδὰν τὸ καθ' αὐτοὺς μέρος ἐπιδείρωμεν, μετὰ ποσὸν ἐπι-

(1) Ἀπὸ τοῦ β τῶν χειρουργουμένων κεφ. τοῦ ἔμπροσθεν.

©BIU Santé

τρέψαντες τὴν βάλανον διὰ τοῦ βρόχου καὶ τὸ ἀπάντικρυ μέρος περιδεροῦμεν.

2. Μέτρον δὲ τῆς ὑποδορᾶς ἔστω τὸ λεῖπον μέρος τῆς πόσθης· ἐπὶ μὲν γὰρ τὸν ἐπ' ὀλίγῳ λειπόδερμον, χρησόμεθα τῇ ὑποδορᾷ· ἐπὶ δὲ τὴν πολὺ τοῦ περιόντος, μεγάλην παραληπτέον τὴν ὑποδοράν· ἐπεὶ δὲ συμβαίνει πολλάκις τῆς ὑποδορᾶς ἑλκωμένην τὴν πόσθην συμφύεσθαι τῇ βαλάνῳ, ὡς μηκέτι μετάγεσθαι δύνασθαι, χρὴ διὰ τοῦτο μετὰ τὴν ὑποδορὰν ἄκραν τὴν βάλανον ὀθονίῳ τρυφερῷ περιελίσσειν· εἶθ' οὕτως ἐπάγειν τὸ δέρμα· μετὰ δὲ τοῦτο ἐπισπᾶσθαι δεῖ τὸ δέρμα, ὥστε αὐτάρκως καλύψαι τὴν βάλανον· ὀθονίῳ τε ἔξωθεν στενῷ κατειλῆσαι· τὴν μὲν ἀρχὴν τῆς ἐπινεμέσεως τοῦ ὀθονίου πρὸς τῇ βάσει τάττοντας τοῦ καυλοῦ· τελευτῶντος δὲ πρὸς τῇ βαλάνῳ, ἵνα ἐπεκτείνηται ἡ πόσθη· ἄκραν δὲ τὴν πόσθην ἀνεπίδετον καταλιπόντας, ἵνα μὴ συμφυῇ τῷ καυλῷ· καὶ μετέπειτα σπόγγους ὕδατι ψυχρῷ ἢ ὀξυκράτῳ διαβρόχους περιβαλεῖν ἐν κύκλῳ· ἐπιδῆσαι τε ἐπιδέσμῳ τῷ ἁρμόζοντι ἐπὶ τῶν αἰδοιϊκῶν· τὰ πολλὰ μὲν οὖν ἐναίμως ἀγομένη παρακολλᾶν εἴωθεν· εἰ δὲ ἀτυχηθείη τὰ τῆς κολλήσεως, ἐγκλύσμασι χρηστέον, τοῖς ἀνακαθαίρειν δυναμένοις τε φαρμάκοις τοῖς
P. 310. πρὸς συσσάρκωσιν ἐπιτηδείοις· εἰ δέ γε | νομὴ γένηται περὶ τὴν πόσθην, χρηστέον ἁλσί τε καὶ μέλιτι, φακοῦ τε ἀφεψήματι καὶ ῥόδων· εἰ δὲ νεκρωθείη ὑποδαρεῖσα πόσθη, περιαιρετέον αὐτήν.

## II. Ἐκ τῶν Ἀντύλλου καὶ Ἡλιοδώρου περὶ ὑποσποδιαίων. (1)

1. Ἐκ γενετῆς ἐνίοις ἡ βάλανος οὐ τέτρηται κατὰ φύσιν·

(1) Ἀπὸ τῶν Ἀντύλλου χειρουργουμένων βιβλίον β κατὰ γ μέρος·

©BIU Santé

ἀλλ' ὑπὸ τῷ κυνὶ καλουμένῳ καὶ κατὰ τὸν ἀπαρτισμὸν τῆς βαλάνου τὸ τρῆμά ἐστιν· ἐντεῦθεν οὔτε οὐρεῖν εἰς τὰ ἔμπροσθεν δύναται, ἂν μὴ πάνυ ἀνακλάγωσι τὸ μόριον ὡς πρὸς τὸ ἦτρον· οὔτε τεκνοποιεῖν, τοῦ σπέρματος ἐπ' εὐθείας εἰς τὴν μήτραν ἐξακοντίζεσθαι μὴ δυναμένου, ἀλλὰ παραῤῥέοντος εἰς τὸ γυναικεῖον αἰδοῖον· ἔνιοι δὲ ἐξ ἐπιγεννήματος γίνονται· οἷς τῆς βαλάνου κατὰ φύσιν ἐχούσης πεπωρωποιημένης τῆς οὐρήθρας ἐκ νομῆς ἢ ἄλλης περιστάσεως, παράτρητοι γίνονται οἱ οὐρητικοὶ πόροι· ποτὲ μὲν οὖν πόῤῥω τοῦ κυνὸς εὑρίσκεται τὸ τρῆμα κατὰ μέσην τὴν οὐρήθραν πρὸς τῇ τοῦ καυλοῦ βάσει, ὅτε δὴ ἀθεράπευτοι εἰσί· ποτὲ δὲ κατὰ τὸν λεγόμενον κύνα, καὶ ἔστι θεραπευτὸν τὸ πάθος.

2. Χειρουργίας δὲ τρόπος βέλτιστός ἐστι καὶ ἁπλούστατος καὶ ἀκινδυνότατος ὁ καλούμενος κατὰ ἀποκοπήν· χρὴ δὲ σχηματίσαι τὸν κάμνοντα ὕπτιον· ἔπειτα ἀνατείνειν τὴν βάλανον διὰ τῆς ἀριστερᾶς χειρὸς ἰσχυρῶς· εἶτα ἀκμῇ σμιλίου τὴν βάλανον κατὰ τὴν στεφάνην ἀποκόπτειν· ὑπὸ πλαγίων δὲ μὴ ποιητέον τὴν ἀποτομήν· ἀλλὰ περιγλυφῇ ὁμοίᾳ· ὥστε καταλειφθῆναι τινὰ ἐξοχὴν βαλανοειδῆ· καὶ εἰ μὲν ὀλίγον αἷμα φέροιτο, ἐπιδέσμῳ τε καὶ ὀξυκράτῳ καταπαυστέον τὴν φοράν· εἰ δὲ ἰσχυρὰ ἡ φορὰ γένοιτο, καυτηρίοις ἐπικαίειν τὸν τόπον· δεῖ δὲ τὴν ἀποκοπὴν ἐν τῇ βαλάνῳ μᾶλλον ἢ ἐν τῷ καυλῷ ποιεῖσθαι· νάστη γὰρ οὖσα ἡ βάλανος ἧσσον αἱμοῤῥαγεῖ· μετὰ δὲ τὴν χειρουργίαν, εἰ μὲν || P. 511. καυτηρίῳ χρησαίμεθα, παραληπτέον θεραπεύειν τὴν ἁρμόζουσαν ταῖς καύσεσιν· εἰ δὲ μὴ γε, μυσακτέον· γιγνώσκειν δὲ χρὴ πῶς οὐδὲ πρὸς παιδοποιίαν ἐμποδισμόν τινα ἡ ἀποκοπὴ ἐργάζεται· διότι ἐν τῇ συνουσίᾳ ἡ

---

ὑποσποδιαίαν δὲ λέγεσθαι φησὶν αὐτὴν ὁ Ἡλιόδωρος ἐν τῷ δ̄ τῶν χειρουργουμένων παρὰ τοῦ σπᾶσθαι τὴν βάλανον.

©BIU Santé

βάλανος οὐκ εἰς τὸ τῆς μήτρας στόμιον ἐμπίπτει, ἀλλ' ὁ μὲν πλησιασμὸς ἐν τῷ γυναικείῳ αἰδοίῳ γίνεται· διϊσταμένου δὲ τοῦ τῆς μήτρας στόματος, τὸ σπέρμα εἰς αὐτὴν ἀκοντίζεται, ἐάν τε μεῖζον ᾖ, ἐάν τε μικρότερον τὸ μόριον.

## III. Ἐκ τοῦ Ἡλιοδώρου περὶ ῥοιάδος. (1)

Ἡ τοῦ οὔρου γίνεται ῥοιὰς διακοπέντος τοῦ τῆς κύστεως λεπτοῦ, ἢ τοῦ τραχήλου περιαιρεθέντος ὅμοιον τῇ περιαιρέσει παθόντος· ταῦτα δὲ συμβαίνει διὰ πλείονας προφάσεις· ἔστι δὲ τὸ πάθος ἀθεράπευτος.

## IV. Ἐκ τοῦ Ἀντύλλου περὶ φιμώσεως. (2)

VI, 95. Διττὸν τὸ τῆς φιμώσεως ἐστί· ποτὲ μὲν γὰρ ἡ ποσθὴ καλύψασα τὴν βάλανον, ἀποσύρεσθαι πάλιν ἀδυνατεῖ· ποτὲ δὲ ἀπαχθεῖσα ὀπίσω, οὐκέτι ἐπάγεται· τοῦτο τὸ εἶδος ἰδίως περιφίμωσιν προσαγορεύεται· ἡ μὲν οὖν πρώτη διαφορὰ γίνεται δι' οὐλὴν ἐν ποσθῇ γενομένην, ἢ διὰ σαρκὸς ἔκφυσιν· τὸ δὲ δεύτερον μάλιστα ἐν ταῖς αἰδοιϊκαῖς φλεγμοναῖς ἀποτελεῖται· ὁπόταν ἀπαχθέντος τοῦ δέρματος ὀπίσω, ἡ βάλανος ἂν οἰδήσασα, οὐκέτι ἐπιδέχεται τὴν ποσθήν· εἰ μὲν δὴ τὸ πρῶτον εἶδος τῆς φιμώσεως γένοιτο, χειρουργήσομεν τόνδε τὸν τρόπον· μετὰ τὸ σχηματίσαι τὸν κάμνοντα, ἐπισπάσαμενοι τὴν ποσθὴν εἰς τὸ ἔμπροσθεν, καθήσομεν ἀγκίστρια εἰς αὐτὴν τὴν ἄκραν· καὶ διδόντες ὑπηρέταις διακρατεῖν, ἀξιώσομεν ἐφ' ἴσου οἷον τε διατείνειν καὶ διανοίγειν αὐτήν· ἔπειτα, ἐὰν μὲν ἐξ οὐλῆς ᾖ συνδρομή, φλεβοτόμῳ ἢ σκολοπίῳ ἐκ τοῦ ἔνδοθεν,

---

(1) Ἐκ τῶν χειρουργουμένων κεφ. τοῦ ὁμοίου.
(2) Ἀπὸ τοῦ βιβλίου τῶν χειρουργουμένων κεφ. τοῦ ὁμοίου.

©BIU Santé

ὧν διαιροῦμεν τὴν πόσθην, ἐν τρισὶν ἢ τέτρασι τόποις ποιού-
μενοι τὰς διαιρέσεις, καὶ μόνα τὰ ἔνδοθεν μέρη εὐθυτενεῖς
τε καὶ ἧσσον | ἀπ' ἀλλήλων διεστώσας· ἔστι δὲ διπλῆ καὶ τὴν P. 312.
βάλανον τῇ πόσθῃ· τὸ μὲν οὖν αὐτῇ τὸ ἔνδοθεν μέρος διε-
λοῦμεν· οὕτως γὰρ τὸ οἷον ἀγκύλιον τὸ ἐκ τῆς ὅλης γινόμενον
διαλύσαντες ἐπάξομεν τὴν πόσθην· εἰ δὲ σὰρξ προσ-
πεφυκυῖα ἐκ τῶν ἔνδοθεν μερῶν ἐργάζοιτο τὴν φίμωσιν
κατ' αὐτὸν τῆς σαρκὸς πάσας ἐγχαράξεις τάξομεν, ἀπροσύραν-
τες τὴν πόσθην, τὰς μεταξὺ τῶν διαιρέσεων τῆς σαρκὸς ὑπερ-
μετοχὰς ἀποξύσομεν· μετὰ δὲ τοῦτο μολίβδου σωλῆνα περι-
βαλοῦμεν τῇ βαλάνῳ πάσῃ κατειλήσαντες αὐτὴν ἐσκελετευμένῃ
παπύρῳ· οὕτως γὰρ διὰ τὴν τοῦ σωλῆνος περίθεσιν κυκλωθή-
σεται σύμφωνα ἡ πάλιν ἐπαχθεῖσα ἡ πόσθη· ἐν διατάξει
δὲ φυλάξομεν αὐτὴν τὴν ὑπό τε τοῦ μολίβδου καὶ τῆς κατειλημέ-
νης παπύρου· ἀνοιδοῦσα γὰρ ἐκ τῆς κάτω βροχῆς ἔτι μᾶλ-
λον διαστήσει τὸ δέρμα· εἰ δὲ ἡ λεγομένη περιφίμωσις γί-
νοιτο, εἰ μὲν χρονίσει, συμφύεται καὶ ἀνίατός ἐστιν· εἰ μή τις
ἐθέλοι χειρίζειν ὡς λειποδέρμιον· εἰ δὲ μήπω συμπεφυκέναι
τύχοι, κατασχάσαντες αὐτὴν εὐθυτενέσιν ἀμυχαῖς πέντε ἢ
ἓξ κύκλῳ, καὶ καταντλήσαντες ἐπιμελῶς οὕτως ἐπισπασόμεθα.

## V. Περὶ προσφυοῦς πόσθης. (1)

Ἑλκώσεως προηγησαμένης περὶ τὴν βάλανον ἢ περὶ τὴν πόσθην ἢ περὶ ἀμφότερα γίγνεται πρόσφυσις· δεῖ οὖν ἀποσύραντα ἐφ' ὅσον οἷόν τε διὰ ἀκμῇ σμιλίου τὰς ἀντοχὰς ἀπολύειν, πειρωμένους μάλιστα μὲν καθαρῶς τὴν βάλανον ἀπὸ τῆς προσπεφυκυίας πόσθης διακρίναι· εἰ δὲ δυσχερὲς εἴη τοῦτο, προσλαμβάνειν ὀλίγον τι τῆς βαλάνου πρὸς τὴν πόσθην, ἤ-

(1) Ἀπὸ τοῦ αὐτοῦ κεφ. τοῦ ὁμοίου.

περ τὸ ἐναντίον· λεπτὴ γὰρ οὖσα ἡ ποσθὴ διατιτρᾶται ῥᾳδίως· μετὰ δὲ τὴν ἀπόλυσιν τῆς προσφύσεως, ἐβένιον λεπτὸν ὕδατι || ψυχρῷ διαβρόχῳ μεταξὺ θετέον τῆς βαλάνου καὶ τῆς ποσθῆς, ἵνα πάλιν μὴ πρόσφυσις γένηται. P. 313.

## VI. Περὶ τῶν περιτεμνομένων. (1)

Οὐ περὶ τῶν διὰ θεότητα τεμνομένων νῦν ὁ λόγος ἐστὶν, ἀλλὰ περὶ τούτων οἷς διαθέσεως αἰδοιϊκῆς γενομένης ἡ ποσθὴ μελαίνεται· χρὴ τοίνυν τὰ μεμελανισμένα περιελεῖν κατὰ κύκλον· τὰ πολλὰ μὲν οὖν ἀναιμόῤῥαγητος ἡ ποσθὴ διαμένει· νεκρούμενα γὰρ ὑπό τ' ἐπινεμήσεως τὰ ἀγγεῖα τυφλοῦται· ὅθεν ἐπὶ τούτων χρηστέον μετὰ τὴν ἐπιτομὴν λεπίδι σὺν μέλιτι· τήν τε γὰρ νομὴν ἵστησι· καὶ τὸ ἕλκος ἐπιεικῶς διατίθησι τοῦτο τὸ φάρμακον στῦφον ἰσχυρῶς· ἐπεὶ δὲ ἐνίοτε αἱμοῤῥαγίαι ἐξακολουθοῦσι, κάλλιον ἔχει παρασκευάζεσθαι διὰ τὴν φορὰν αὐτῶν καυτῆρι μάλιστα μηνοειδεῖ, οἷς καὶ καταστελοῦμεν τὴν φορὰν τὴν τοῦ αἵματος καὶ ἄλλως δὲ διαστήκον τι ἔχει τῆς νομῆς τὰ καυτήρια· ὁ δὲ ἀκόλουθος τρόπος μετὰ τὴν καῦσιν τῆς ἀποθεραπείας.

## VII. Περὶ θύμων τῶν ἐν αἰδοίοις.

Σαρκώδεις καὶ ἐνερευθεῖς ἐπαναστάσεις γίνονται, ποτὲ μὲν ἐπὶ τῆς βαλάνου, ποτὲ δὲ ἐπὶ τῆς ποσθῆς, θύμοι καλούμενοι· εἴδη δὲ διττὰ τῶν θύμων· οἱ μὲν γὰρ αὐτῶν εἰσὶ κακοήθεις, οἱ δ' οὔ· τοῖς μὲν οὖν μὴ κακοήθεσι ἀποξύειν σμίλης ἀκμῇ προσήκει, φαρμάκῳ τε χρῆσθαι μετὰ τοῦτο τῶν ἠρέμα ἐσχαρούντων· ἐπὶ δὲ τῶν κακοήθων, μετὰ τὴν ἀφαίρεσιν

(1) Ἀπὸ τοῦ αὐτοῦ βιβλίου κεφ. τοῦ ὁμοίου.

καύσει χρηστέον· ἐπεὶ δὲ πολλάκις ἐπὶ τῆς ποσθῆς γίνονται
θύμοι κατὰ τὰ ἔνδον αὐτῆς καὶ κατὰ τὰ ἔξω μέρη, καί τινες
αὐτῶν καὶ κατὰ τὸ αὐτὸ μέρος, ὥστε εἶναι καταλλήλων, χρὴ μὴ
πᾶσιν αὐτοῖς ἀθρόως ἐπιχειρεῖν· εἰ γάρ τις καύσει κἀκ τῶν
ἔνδοθεν κἀκ τῶν ἔμπροσθεν μερῶν τὴν ποσθὴν, καὶ μάλιστα
ἐπ' ἀλλήλοις ποιούμενος τὰς καύσεις, λήσεται | διατρήσας P. 314.
αὐτήν· ἄμεινον οὖν κατὰ μέρος πρῶτον τὸ ἔνδοθεν ἀποτεμόν-
τας καὶ διακαύσαντας καὶ ἀπουλώσαντας κατὰ τρόπον οὕτως
ἐξυστέρου καὶ ἐπὶ τὴν τῶν ἄλλων θεραπείαν παραγίνεσθαι.

## VIII. Ἐκ τοῦ Ἡλιοδώρου περὶ συσσαρκωθείσης οὐρήθρας. (1)

1. Σαρκοῦται ἡ οὐρήθρα, ἑλκώσεως προηγησαμένης· σαρκοῦται δ' οὐχ ὅλη ἀλλὰ κατά τι μέρος, ἢ ἀπὸ μέρους στενοχωρουμένου τοῦ πόρου, ἢ ὅλου τῇ σαρκὶ πληρουμένου· ὅταν οὖν ἀπὸ μέρους γένηται συσσάρκωσις, δυσουρεῖ ἢ στραγγουρεῖ ὁ πάσχων· ὅλου δὲ τοῦ πόρου πληρωθέντος κατὰ τὸ τῆς εὐρυχωρίας διάστημα, ἰσχουρία γίνεται· δεῖ οὖν σκόλοπι τῷ στενῷ τὴν σάρκα ἐκτέμνειν· ὁ δὲ τρόπος τῆς ἐγχειρήσεως ἐστὶ τοιοῦτος· τοῦ πάσχοντος ὑπτίου ἐσχηματισμένου, καὶ τοῦ καυλοῦ ἀπευθυσμένου, τοῖς δακτύλοις τῆς ἀριστερᾶς χειρὸς παραπιέζεται τὰ ὑπὸ τὴν σάρκα τῆς οὐρήθρας μέρη, ἵνα συμπέσῃ, καὶ μήποτε ἐν τῇ ἐκτομῇ αἷμα εἰς τὸ βάθος κατενεχθῇ· γενομένου δὲ τούτου, τῇ δεξιᾷ χειρὶ διακρατουμένης τῆς τοῦ σκόλοπος λαβῆς, ἡ ἀκμὴ καθίεται εἰς τὴν οὐρήθραν· καὶ διωθεῖται κατὰ τὴν βάσιν τῆς ἐκπεφυκυίας σαρκώσεως, οὐ κενεμβατήσει· μετὰ δὲ τὴν κενεμβάτησιν περίαγε κατὰ κύκλον τῆς σαρκὸς περιτμηθείσης· καὶ τῆς τοῦ σκόλοπος ἀκμῆς ἀνεκκόπως περιενεχθείσης, τοῖς δακ-

(1) Ἀπὸ τοῦ δ τῶν χειρουργουμένων κεφ. τοῦ ὁμοίου.

©BIU Santé

τύλοις περιπιέζεται ἡ οὐρήθρα· ἵνα συμπεσούσης, προσπέσῃ ἡ σάρξ· ὅταν δὲ προκύψῃ καὶ μὴ ἐκπέσῃ, μυδίῳ ἐξελκύσθω· καὶ τῆς σαρκὸς κομισθείσης, φυλάξαι δεῖ τὸν οὐρητικὸν πόρον ἐν οὐρήτητι· μάλιστα δὲ ἀνευρύνεται ταῖς πρώταις ἡμέραις ἱποτηρίου ἐντιθέντος τοῦ ἀπὸ τῆς κελετευμένης παπύρου· ἐχέτω δὲ ἐν ἑαυτῷ τὸ ἱποτήριον σωληνάριον χαλκοῦν ἢ κασσιτήρινον, ἢ ἀντὶ τοῦ || σωληναρίου καλαμίδα πτεροῦ ὀρνιθίου.

P. 315. 2. Ἡ δὲ προπαρασκευὴ τοῦ ἱποτηρίου γίνεται τρόπῳ τοιούτῳ· βρέχεται ἡ πάπυρος· ἐπὶ δύο ἢ τρεῖς ἡμέρας· ὅταν δὲ ἐμφυσηθῇ, ἐντίθεται εἰς αὐτὴν τὸ σωληνάριον· καὶ τότε περισφίγγεται· ἐὰν δὲ πτεροῦ καλάμης ᾖ ἡ ἐντιθεμένη, πρὸ τῆς περισφίγξεως εἰς αὐτὴν ἐντιθέσθω μηλοτρίδος ἔλασμα· καὶ τότε σφιγγέσθω, ἵνα μὴ τῇ εἰκαίᾳ σφίγξῃ συμπέσῃ· ἐᾶται δὲ ξηρανθῆναι τὸ ἱποτήριον ἕως οὗ μάλιστα σκελετευθῇ καὶ πρὸς τὴν χρείαν τότε ἡ πάπυρος περιγλύφεται ἀναλόγως τῇ οὐρήθρᾳ· εἶτα εἰς τὸν οὐρητικὸν πόρον ἐντίθεται· ἔξωθεν δὲ τῷ καυλῷ περιτίθεται σπογγίον ψυχρῷ ὕδατι βεβρεγμένον· ἐπίδεσις δὲ δοκιμάζεται ἡ οἰκεία· καὶ πάλιν τὸ μόριον ἀναλαμβάνεται τῷ τετρασκελεῖ ἀναδέσμῳ· καὶ οὕτως ἐᾶται ὁ πάσχων ἕως τρίτης· νοτίζομαι δὲ διὰ τοῦ σωληναρίου· τῇ τρίτῃ λύεται, καταντλεῖται ἐντάζεται εἰς τὴν οὐρήθραν μέλι, διὰ τὴν τοῦ ἕλκους ἀνακάθαρσιν· καὶ πάλιν ἐὰν ἐπείγῃ, ἄλλο ἱποτήριον ἐντίθεται, ἵνα προανευρυνθῇ ὁ πόρος· ἔξωθεν δὲ περιτίθεται τῷ καυλῷ δυνάμεως ἀφλεγμάντου σπληνίον· ἐπίδεσίς τε καὶ ἀνάληψις ἡ συνήθης γίνεται· ἀπὸ δὲ τῆς δ̄ ἀντὶ τοῦ ἱποτηρίου σωληναρίου ἐντίθεται εἰς τὴν οὐρήθραν κασιτήρινον ἢ μολίβδινον, ἀσπιδίσκην ἔχον προκειμένην· ἵνα τῷ σωληναρίῳ διατελλομένη ἡ οὐρήθρα κατουλωθῇ· τὰ δὲ λοιπὰ τῆς ἐπιμελείας τὰ αὐτὰ παραλαμβανέσθω.

©BIU Santé

## IX. Περὶ τῶν ἐν τῷ αἰδοίῳ ῥαγάδων. (1)

Ῥαγάδες γίνονται ἐν τῇ ποσθῇ, μάλιστα δὲ ἐν τῇ ἀκροποσθίᾳ, ὅταν στενὴ οὖσα ἀπάγηται· κατ' ἀρχὰς μὲν οὖν πᾶσα ῥαγὰς νεαρὰ οὖσα ἐκμάσσεται· * χρονίζουσα δὲ τυλοῦται· (* Γρ. αἱμάσσεται.) καὶ πάλιν ὅταν βίᾳ διίστηται ἐπιῤῥηγνυμένη, αἱμάσσεται· σπουδάζειν δὲ δεῖ τὰς ῥαγάδας | ταύτας φαρμακείᾳ θεραπεύειν· (P. 316.) ὅταν δὲ χρόνιαι οὖσαι ἐντετυλωμέναι βραδύνουσι, συμφέρει τῷ δέρματι (2) πάγη· καὶ τετυλωμένα τῶν ῥαγάδων χείλη ὑπτίῳ τῷ σμιλίῳ ὡσανεὶ ἀπογλύψαι· αἱ γὰρ νεαροποιούμεναι ῥαγάδες ὑγιάζονται τάχιστα.

## X. Περὶ κρικώσεως.

Ὁ κρικούμενος τῷ ἐνεργοῦντι ἀντίως παρίσταται· καὶ τότε τοῖς δακτύλοις τὸ τῆς ἀκροποσθίας δέρμα καθέλκεται· καὶ τὸ καθελκώμενον ἐᾶται ἀναχωρῆσαι· τοῦτο δὲ γίνεται ἢ δὶς ἢ τρὶς, ἵνα ὅσον ἐστὶ φυσικὸν τῆς ἀκροποσθίας χάλασμα φανῇ· μετὰ δὲ ταῦτα ὑπὸ ἄκραν τὴν βάλανον κατὰ τὴν ἀρχὴν τῆς ἀκροποσθίας ἡ κρίκωσις γίνεται· ἐγὼ μὲν οὖν τῇ τεχνικῇ γυμνασίᾳ χρώμενος αὐτόθεν εἴωθα ἐνεργεῖν· οἱ δὲ ἄλλοι πρότερον ἐσημειώσαντο ἑκατέρωθεν τὴν τῆς ἀκροποσθίας ἀρχὴν μέλανι γραφικῷ, ἵνα κατὰ τὰ στίγματα γένηται καὶ ἡ κρίκωσις· πρὸς δὲ τὴν κρίκωσιν, ῥάμμα δεῖ λαβεῖν φοινικοῦν· τοῦτο γὰρ τετήρηται τὸ ῥάμμα, συνεργούντων τῶν τρημάτων ἀνευρυσμῷ· εἰρομένου δὲ αὐτοῦ εἰς βελόνην εὔρωστον κατὰ τὸν εἰρημένον τόπον, κατὰ τὴν τῆς ἀκροποσθίας ἀρχὴν διακεντείσθω τὸ δέρμα ἐκ τῶν πλαγίων εἰς τὰ πλάγια·

---

(1) Ἀπὸ τοῦ αὐτοῦ κεφ. τοῦ ὁμοίου.
(2) Cod. τῷ δέρμα. Tum et sequens πάγη ambiguum.

καὶ ἡ ἰθὺ βελόνη ἐξελκέσθω· τὸ δὲ ῥάμμα κεχαλασμένον ἀμματιζέσθω, ἵνα φανῇ ὡς κρίκος· ταῖς δὲ ἑξῆς ἡμέραις παράγεται τὸ ῥάμμα ἢ ἁλὶ μεθ᾽ ἐλαίου κεχρισμένον· ἀλλὰ δεῖ πάλιν μετὰ τὸν τῶν τρημάτων ἀνευρισμὸν ἀντικαθιέναι κασσιτήρινον ἐλασμάτιον πρὸς τὴν τῶν τρημάτων κατούλωσιν· ἔστω δὲ τὸ ῥάμμα διπλοῦν ἐστραμμένον, οὗ τὰ ἅμματα λυέσθω· καὶ τότε τοῦ ἐλασματίου τὸ πέρας κατὰ ἐλάτησιν λελεπτοποιημένον εἰς τὴν τοῦ ῥάμματος ||

* * *

Desunt in codice, praeter partem huius capitis, alia quoque eiusdem Heliodori capita, ut ex indice (cod. p. 306.) constat.

Ἐκ τοῦ Ἡλιοδώρου ια (1) περὶ κερκώσεως.

ιβ. περὶ προπτώσεως καὶ τοῦ ἀπευθυσμένου ἐντέρου.
ιγ. περὶ τῶν ἐν ἕδρᾳ κονδυλωμάτων.
ιδ. περὶ ῥαγάδων.
ιε. περὶ ἀτρήτου ἕδρας.
ιϛ. περὶ θύμων.
ιζ. περὶ τοῦ ἐν ἕδρᾳ φιμοῦ.
ιη. περὶ ῥοιάδος.
ιθ. περὶ κρεμαστηρίων καὶ παραστατῶν.
κ. περὶ τριχωνειδῶν.
κα. περὶ τῶν τρεφόντων ἀγγείων.
κβ. περὶ τῶν διδύμων.
κγ. περὶ ἐρυτροειδοῦς.
κδ. περὶ ὄρχεων.
κε. περὶ ὄπισθεν προσφύσεως.
κϛ. περὶ τοῦ στάχυος.
κζ. περὶ τῶν λεγομένων κενεώνων.
κη. περὶ ὑδροκηλικῶν.
κθ. χειρουργία ὑδροκηλικῶν.
λ. περὶ κεκακωμένου διδύμου.
λα. χειρουργία ὑδροκήλης τῆς

(1) Nobis ια (id est XI) fuit X, quia praetermissimus caput I, quod erat ex Galeno sumptum.

©BIU Santé



ἐπιγεννητοῦ.
λϐ. περὶ διπήλων ὑδροκηλικῶν.
λγ. περὶ τοῦ μετὰ τὴν χειρουργίαν ἀπαθείας.
λδ. περὶ σαρκοκήλης.
λε. περὶ χειρουργίας σαρκοκήλης.
λϛ. περὶ κιρσοκήλης.
λζ. περὶ πνευματοκήλης.
λη. περὶ πωροκήλης.
λθ. περὶ ἐντεροκήλης.
μ. περὶ τοῦ κατ' ἐπέκτασιν ἐντεροκήλης.
μα. περὶ τοῦ κατὰ τὴν πρόπτωσιν ἐντεροκήλης.
μϐ. πῶς διακριτέον τὴν κατ' ἐπέκτασιν ἐντεροκήλην τοῦ κατὰ ῥῆξιν.

Capitis $\overline{\mu\alpha}$ superest extremum fragmentum in codice p 317.

καὶ τοῦ ἐπίπλου ῥαγέντος μόνον τὸν (1) . . . P. 317.
κατολισθαίνει ποτὲ δὲ οὐ ῥαγέντος . . .
τεισι μόνον· ποτὲ δὲ σὺν τῷ ἐντέρῳ . . .
ταῖς ἐπάνω προειρημέναις.

XLI. [cod. μϐ.] Πῶς διακριτέον τὴν κατ' ἐπέκτασιν ἐντεροκήλην τῆς κατὰ ῥῆξιν.

Ἐπὶ μὲν οὖν τῆς κατ' ἐπέκτασιν ὅτε βυθ . . .
καὶ διὰ πολλῶν σωμάτων ὁμαλός τε . . .
πανταχόθεν· κατανοοῦμεν τὲ ἐν ταῖς ἀν . . .
εἰ μείζων ὁ ὄγκος εἴη καὶ ἔτι μ . . .
ἢ δι' οὐδέν· ἧσσον γὰρ εὐογκώτερα τὰ κατὰ τὴν θέσιν τῶν ἀγγείων ὑποπίπτει σώματα εἴτις αὐτὰ παραβάλη πρὸς τὰ ἀντικείμενα διὰ τὸ ἐκεῖνα . . .
φύσιν ὑποπίπτειν σώματα, ἐνταῦθα . . . περιτόναιον τοῦτο

(1) Lacera charta est.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 207 sur 544

©BIU Santé



ἰσχυρὸν ὂν τὸ σημεῖον ἐπὶ τῶν δικήλων, καὶ ἐπὶ τῶν νηπίων παιδίων οὐ πάνυ τι εὐδοκιμεῖ· ἐπί τε γὰρ τῶν δικήλων, ἐξ ἀμφοτέρων τῶν μερῶν εἰ τύχοι κατολισθηκέναι τὸ περιτόναιον ἀμφοτέρωθεν ἀναθλιβέντων τῶν ἐντέρων, ὅμοιον ὄγκον ἐξ ἑκατέρου μέρους κατὰ τὴν τῶν ἀγγείων θέσιν δείκνυσιν· ἐπί τε τῶν παιδίων σφόδρα λεπτὸν ὂν τὸ περιτόναιον, οὐκ αἰσθητὴν παραλλαγὴν τῇ συγκρίσει πρὸς τὰ κατὰ φύσιν ἔχοντα σώματα παρέχεται· ἐπὶ δὲ τῆς κατὰ ῥῆξιν ἐντεροκήλης, πρῶτον μὲν πλησίον τοῦ κατὰ τὸν ὀσχέον δέρματος ὁ ὄγκος ὑποπίπτει· αὖθις δὲ διπλοῦς ἢ πολλαπλοῦς, οὐδαμῶς δὲ ἁπλοῦς, εὑρίσκεται· κἄν τε γὰρ μία ἕλιξ ἐντέρου κατολισθαίνειν τύχοι, δύο ὄγκοι φανοῦνται· καὶ μᾶλλον ἡνίκα ἢ πνεῦμα ἢ σκύβαλον καταβαίνει κάτω· γινομένου τοῦδε ἐπὶ τῶν κατ' ἐπέκτασιν, δηλονότι τὸ πάσαις ταῖς ἕλιξιν ἐν κύκλῳ περικεῖσθαι τὸ περιτόναιον· ἐν δὲ τοῖς ἀναπιεσμοῖς τῶν ἐντέρων ἐπὶ τῇδε τῆς [δια]φορᾶς κατὰ φύσιν ἔστι δεῖξαι τὰ ἀγγεῖα ἔχειν σὺν κρεμαστῆρι· μετά γε μὴν τὸν ἀναπιεσμὸν ἐπὶ μὲν τῶν | . . .

. . . . . . . . . . . . λισθησις βραδυτέρα γίνεται τῶν περὶ

P. 318. . . . . . . . . . . . . . κατὰ ῥῆξιν ταχεῖαν ἡ κατάβασις.

## XLII. [cod. μγ.] Πῶς σημειωτέον τὴν ἐντέρου πρὸς τὸ ἐπεκτανθὲν περιτόναιον πρὸς φύσιν.

. . . . . . . . . . . . . . περιτοναίου συντελεσθείη, σημειωσόμεθα . . . . . ισιν δι' ἀναθλίψεως· ὥσπερ γὰρ πρότερον ὁ
. . . . . . . . . τοῦτο τὸ περιτόναιον ἢ ἄν τις παραλλαγὴ
. . . . . . . . . . . ασμὸν τῶν ἐντέρων πρὸς τὰ ἐπιθάτερα
. . . . . . . . σιν ἔχοντα· οὕτως πολὺ μᾶλλον ὀφθήσεται
. . . ὁ ὄγκος περὶ τὸν τῶν ἀγγείων τόπον κατὰ τὴν ἀνάθλιψιν
. . . . . . . . . . οἷα δὴ καὶ ἐντέρου διπλώσης ὑποπιπτούσης,
. . . . . . . . . . . . . . κατὰ τῆς ἀνακρίσεως· οἷς μὲν γὰρ

©BIU Santé



. . . . . . . . . . . υὲς ἔντερον ὀλιγάκις ἐνοχλοῦνται ὑπὸ . . . καὶ σκυβάλων κατερχομένων εἰς τὸν ὀσχέον· τὰ γὰρ ἔντερα μὴ προσφυῆ ὡς ἐπίπαν κενὰ μένοντα κατολισθαίνει· πλήρη δὲ γενόμενα πνεύματος ἄνω μένοι, διὰ τὸ εὐογκωτέραν γίνεσθαι τῆς πόρκ δι' οὗ κατέρχεται· ὅσοις δὲ τῶν ἐντεροκηλίκων προσφύεται τὸ ἔντερον τῷ περιτοναίῳ, τούτοις ἐκ πάσης ἀνάγκης πάροδος τῶν περιττωμάτων τὲ καὶ πνευμάτων διὰ τῶν ὀσχέου γίνεται· ὀδυνῶνται οὖν ἰσχυρῶς ἔν τε ταῖς πνευματώσεσιν ἐν ταῖς πληθώραις· βορβορυγμοὶ τὲ αὐτοῖς κατὰ τὸν ὀσχέον γίνονται καθ' ἑκάστην ἡμέραν· καὶ μὴν ἔν τε ψύξεσι καὶ χειμῶσι τέλεον ὁ ὄγκος οὐδέποτε συσταλήσεται, καὶ μάλιστα εἰ μὴ θλίβοι τις αὐτόν· τοῦτο δὲ τὸ ἦθος ᾠήθησαν δυσχώριστον τινὲς ἀπὸ ὑδροκήλης καὶ σαρκοκήλης τυγχάνειν· οὐκ ἔστι δὲ χαλεπὸν διακρῖναι· ὑδροκήλη μὲν γὰρ καὶ σαρκοκήλη πάντοτε ἀνώδυνός ἐστι· σφήνωσις δὲ σκυβάλων οὐδεμίαν ὑπερβολὴν ὀδύνης καταλείπει· οἵ τε κίνδυνοι διὰ ταχέων ἐξακολουθοῦσιν ἐπὶ τούτων.

XLIII. [cod. μδ.] Πῶς σημειωσόμεθα ἕτερον δαρτὸν ἢ ἐρυτροειδῆ προσπεφυκέναι. ||

* * *

Cetera Heliodori aliorumque desunt, deficientibus in codice chartis; quam lacunam ut lector aestimet, persequar capitulorum indicem, usque ad libri quinquagesimi finem.

με. [Ἡλιοδώρου] χειρουργία ἐντεροκήλης.
μϛ. διάκρισις περιτοναίου.
μζ. περὶ διαφορᾶς περιτοναίου καὶ δὴ τῶν σωματοποιημένων.
μη. περὶ ἀκοπῆς περιτοναίου.
μθ. περὶ τῆς μετὰ τὴν χειρουργίαν ἐπιμέλειαν.



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 209 sur 544

ν. τίνα σημεῖα τοῦ ἀκινδύνως ἔχειν τὸν χειρουργηθέντα.
να. τίνα σημεῖα τῶν ἐπισφαλῶς ἐχόντων μετὰ τὴν χειρουργίαν.
νβ. περὶ τῶν αἱμοῤῥαγούντων μετὰ τὴν χειρουργίαν.
νγ. περὶ τωνευρη (1) καὶ συμπαθείας γινομένης.
νδ. περὶ κρεμαστῆρος θλασθέντος ἢ τρωθέντος.
νε. περὶ εὐρυτροειδοῦς τρωθέντος ἢ διδύμου ἢ ἀγγείου.
νϛ. περὶ ἀποσφίγξεως περιτοναίου.
νζ. περὶ εὐνούχων ἐντεροκηλίκων.
νη. περὶ βουβωνοκήλης.
νθ. χειρουργία γυναικῶν βουβωνοκηλίκων.
ξ. περὶ ἐπιπλοκήλης.
ξα. περὶ ἐντεροπιπλοκήλης.
ξβ. περὶ ὑδροεντεροκήλης.
ξγ. Γαληνοῦ πρὸς κήλας.
ξδ. ἐκ τοῦ Ἀντύλλου περὶ μηκροκήλης.
ξε. περὶ κρυψορχέων.

Sequens fragmentum non pertinet ad librum quinquagesimum, quia in indice capitulorum superstite libri huius non continetur. Quia tamen de pudendorum medela heic quoque sermo fit, pertinere videtur ad quinquagesimum primum librum, in quo continuatam fuisse praecedentis materiam, credibile est. Sic igitur se habet fragmentum, sive id editi sive inediti auctoris est.

P. 319. . . . . . . . . . . ἐπὶ χρονίων καὶ . . . . . . . . . . πεδόντων
. . . . . . . . . . λώτων ἑλκῶν μεγάλως ὠφεληθείη δὲ χρῆσις
. . . . . . . . . . . τὸ μέγεθος τοῦ τοῦ ἕλκους κακίας· τὸ μὲν
. . . . . . . . . λίαν πλαδαρὸν καὶ ῥυπαρὸν ἀνέχεται δι' ὃ
. . . . . . . . . . τῆς λημνίας λελυμένης εἰς πηλώδη δηλονότι

(1) Ita est in cod.

. . . . . . . . . . . νου ἢ ὕδατος ἢ ὀξυμέλιτος, ἢ ὀξυκράτου
. . . . . . . . . ἂν ἡ χρεία κελεύῃ ἐπιτήδειον ἐστὶν εἴ τις
. . . . . . . . . μολίβδου σκευάσας μετὰ δέδυκος μολιβδίνου
. . . . . . . . βαλὼν ἢ ὀμφάκινον ἔλαιον ἢ χυλὸν ἀειζώου
. . . δόνος ἢ σέρεως ἢ θριδακίνης ἢ χονδρίλης ἢ ψυλλίου ὄμ-
φακος ἢ ἀνδράχνης τρίβοι, ὡς ἐστὶ χυλόν τινα ἀ . . τον ἔ-
ξει φάρμακον πρὸς τὰ καρκινώδη καὶ κακοήθη· πρὸς δὲ τὰς
ἐν αἰδοίοις καὶ ὄρχεσι καὶ τιτθοῖς φλεγμονὰς, πρός τε τὰς ἐν
ἕδρᾳ μεθ' ἑλκῶν ἢ στολίδων ἀνεξασμένων, γάλα τοῖς ἀνω-
δύνοις ὠφελίμως μίγνυται φαρμάκοις· πρὸς τὰ κακοήθη καὶ
καρκινώδη τῶν ἑλκῶν, γάρος καὶ ἡ ἀπὸ τῶν ταριχηρῶν ἰχθύων
ἅλμη πρὸς τὰ σηπεδονώδη τῶν ἑλκῶν ἁρμόττει κενταύριον τὸ
μικρὸν καταπλασσόμενον πρόσφατον· τά τε παλαιὰ καὶ δυσε-
πούλωτα τῶν ἑλκῶν ἀπουλοῖ, καὶ τὰ κακοήθη ἰᾶται, κυπα-
ρίσσου φύλλα καὶ οἱ βλαστοὶ καὶ τὰ σφαίρια τὰ νέα καὶ ἁπαλὰ·
τὰς κατὰ βάθους ὑγρότητας ἐν ταῖς πλαδαραῖς σηπεδόνεσι
διαθέσεσιν ἀλύπως τε ἅμα καὶ ἀσφαλῶς ἐκβόσκεται κυπέρου
ῥίζα· τὰ διὰ ὑγρότητα πολλὴν ἑλκύδρια δυσεπούλωτα θαυ-
μαστῶς ὠφελοῦσιν· ὑπερικοῦ τὸν καρπὸν μετὰ τῶν φύλλων ξη-
ράνας καὶ κόψας εἰ ἐπιπλάττοις ἰάσῃ τὰ πλαδαρὰ καὶ σηπε-
δονώδη τῶν ἑλκῶν· κολοκαύτης ἐξηρασμένης ἡ τέφρα τοῖς
ὑγροῖς ἅμα καὶ χωρὶς φλεγμονῆς τετυλωμένοις ἁρμόττει καὶ
μάλιστα τοῖς ἐπιποσθῆς αἰδοίου ὅμοιον καὶ ἀνήθου ῥίζης ἀρ-
νόγλωσσον πρὸς τὰ κακοήθη καὶ πρὸς ῥεύματα καὶ σηπεδόνας
ἁρμόττει· καὶ μάλισθ' ὅσαι κακοηθέστεραι τισὶ | καὶ χρονιώ- P. 320.
τεραι· καὶ τὰ μεμελασμένα κα . . .
μετὰ μέλιτος ἀποκαθαίρει· καὶ ἄνθρακας . . .
τὶς ἥμερος πρὸς πᾶν ἕλκος κακόηθες δρ . . .
κἂν σήπηται καὶ ἀναβιβρώσκηται· εἰ δ . . .
κάμνοντος φύσεως ἰσχυρότερα φαίνο . . .
τοῖς φύλλοις αὐτοῖς λειωθεῖσι ἢ ἄρτον ἢ . . .

©BIU Santé



ἢ ϖύρινον ἢ ἄλφιτα κατὰ τὴν ἑκάστῳ κ . . .
ἡ δὲ ἀγρία ϖρὸς μὲν τὰς ἰσχυρὰς σηπεδόνας . . .
ὀστράκων τῶν ὀνομαζομένων ἰδίως ὀστέων . . .

μένων χρῶμαι πρὸς τὰς ἐκ ῥευμάτων χρονίας ϗ [δυ]κώτους κοιλότητας ὅσαι συριγγώδεις εἰσὶ ϗ ϐαθεῖαι· ϖάντα δὲ ταῦτα τὰ ὀστρεώδη καὶ τὰ ὑϖοσαρκοῦντα μετρίως καθαίρει καὶ προστέλλει· σηϖίας ὄστρακον ἄκυπτον κοπτόμενόν τε ϗ λειούμενον, ἕλκη ξηραίνει· ἔρια κεκομμένα τὰς πλαδαρὰς σάρκας ἐπὶ τῶν ἑλκῶν ἀποτήκει τάχιστα· πλατάνου φλοιὸς καθ᾽ ἑαυτὸν ἐπιϖλαττόμενος, τὰ δι᾽ ὑγρότητα πολλὴν ἕλκη πλαδαρὰ ϗ ῥυπαρὰ ἰᾶται· σκόρδιον ξηρὸν ἐπιϖασσόμενον ἀνακαθαίρει τὰ ῥυπαρὰ ϗ εἰς οὐλὴν ἄγει τὰ κακοήθη· ϖάνακος τοῦ ἡρακλείου τῆς ῥίζης ὁ φλοιὸς ϖοιεῖ πρός τε τὰ γυμνὰ τῶν ὀστῶν ϗ τὰ κακοηθευμένα τῶν ἑλκῶν· πευκεδάνου ῥίζα λεπίδας ὀστῶν ἀφίστησι τάχιστα· καὶ τοῖς κακοήθεσιν ἕλκεσιν ἄριστον ἐστὶ φάρμακον ἐπιϖλαττομένη ξηρά· αὕτη γὰρ ϗ καθαίρει ϗ σαρκοῖ ϗ ἐϖουλοῖ· ἀναγαλλίδες αἱ δύο τοῖς σηπομένοις ϐοηθοῦσιν· ἀλόη τὰ δυσεϖούλωτα τῶν ἑλκῶν ἰᾶται· ϗ μάλιστα τὰ καθ᾽ ἕδραν τε ϗ αἰδοῖον· ὠφελεῖ δὲ ϗ τὰς φλεγμονὰς αὐτῶν ὕδατι διιθεῖσα· καλαμίνθης ὁ χυλὸς τοὺς σηπεδονώδεσιν ἕλκεσι συνισταμένους σκώληκας ἀναιρεῖ· ϖαλαιὰ κάρυα τὰ ἐλαιώδη πρὸς ἄνθρακας ποιεῖ, ϗ κυπαρίσσου τὰ φύλλα ϗ οἱ ϐλαστοὶ ϗ τὰ νέα σφαιρία σὺν ἀλφίτοις.

### νη. Περὶ τῶν ἐν αἰδοίοις ϗ κύστει ϗ μήτρᾳ ϗ ἕδρᾳ ἑλκῶν.

* * *

Deest capitis huius materia.

## Ex incerto oribasianae collectionis libro.

### Ἐκ τῶν Ῥούφου περὶ λοιμώδους ἕλκους. P. 329.

Καλεῖται δέ τι καὶ λοιμῶδες ἕλκος, ᾧ συνεδρεύει φλεγμονὴ ἰσχυρὰ, καὶ πυρετὸς ὀξὺς, καὶ παραφροσύνη· ἐνίοις δὲ καὶ οἱ βουβῶνες ἐπωδύνως σκληρύνονται· καὶ οὐκ εἰς μακρὰν ἐπὶ τούτοις τοῖς ἕλκεσιν ἀπόλλυνται· γίνεται δὲ τὰ πολλὰ τοῖς περὶ τὰ ἕλη οἰκοῦσιν.

### Ἐκ τοῦ Ἀρχιγένους περὶ λοιμικῶν ἑλκῶν. (1)

Τὸ δὲ λοιμῶδες καλούμενον ἕλκος, οὐκ ἐν στόματι μόνον ἀλλὰ καὶ ἐπὶ τοῦ λοιποῦ γίνεται σώματος, μάλιστα δὲ ἐν κνήμαις· ἀλλὰ τὰ μὲν ἐν στόματι, ἑλκώσεις δεῖ παρὰ τὸ τῆς κνημίδος ἢ τὰ ὑπερώας μέρη, λευκὴν καὶ δυσώδη νομὴν ἔχουσα ταχεῖαν· καὶ ποτὲ μὲν, εἴσω· ἔσθ᾽ ὅτε δ᾽ ἐπὶ τοὺς ἐκτὸς τόπους· τῇ μὲν οὖν εἴσω, βηχία παρέπεται· καὶ ἐν τῷ χρέμπτεσθαι, ἐσχαρίον ἀνάγεται, ἢ δίαιμον ἢ ἰχωροειδές· | ἀναβαι- P. 330.
νούσης δὲ τῆς νομῆς, ἤτοι μᾶλλον τὰ βηχία γίνεται· ποιεῖ δὲ ἐπὶ τούτων ὁ ἐν στόματι συνεχὴς ἀνακογχυλιασμὸς ὅτε διὰ φακοῦ καὶ . . . ασσιδίων καὶ κορυφάνων (1) ἢ κικίδος ὀμφακίνου ἀφέψημα . . . βάτου ἀγριελαίας τε καὶ ἐλαίας ἡμέρου φύλλων ἢ καὶ σχίνου ἐλξίνης τε καὶ χυλοῦ ὑποκυστίδος, ἢ στυπτηρία σχιστὴ, ᾗ οἱ βαφεῖς χρῶνται· ἤ τε βεττονικὴ βοτάνη, καὶ ὁ χυλὸς αὐτῆς· φάρμακα δὲ τὰ μὲν ἁπλᾶ, τὰ δὲ * Γρ. σωρίηρα.
σύνθετα· καὶ ἁπλᾶ μὲν μῆρα * στυπτηρία * σχιστὴ κεκαυμέ- * Γρ. μισυπτηρία.

(1) Ἀπὸ τοῦ βιβλίου τῆς συνόψεως τῶν χειρουργουμένων μετὰ τὸ ἥμισυ τοῦ βιβλίου.

(1) Ἀντὶ τοῦ κορυφῶν ἢ κελυφῶν.

©BIU Santé

νη διφρυγὸς· ταῦτα καὶ σὺν μέλιτι μιγέντα ἐναργῶς ποιεῖ· καὶ ἡ βεττονίκη δὲ καὶ ἡ ἀλόη· σύνθετοι δὲ αἵ τε ἀνθηραὶ, καὶ περίχριστοι διὰ τῆς μήρων καὶ διὰ ῥοᾶς· ἥτε διὰ τῶν οἰσυπηρῶν ἐρίων, καὶ ἡ λεγομένη σφαγὶς, πᾶσαι τὲ αἱ ὑπὸ τὸ αὐτὸ πίπτουσαι γένος· περιφείδεσθαι δὲ τοῦ μή τι καταποθῇ· ταύτῃ δὲ δοκῶ καὶ εἰς τὸ ἀνίατον περιΐστασθαι τὰ νήπια· ἔξω δὲ καταπλάττειν οἷς εἰς τὰς νομὰς παρεκελευσάμην· ἀλλὰ καὶ εἴ τις περιχρίστοις ἢ ὡς ἔμπλαστρον ἐν ὀθονίῳ ἐπιθέσει, οὐχ ἁμαρτήσει· ἐν τόπῳ δὲ περιψύχοντι κατακλίνειν· καὶ τροφαῖς ὑγραῖς διαιτᾶν· παντὶ δὲ κοιλίαν ἐξυγραίνειν, τὰς δὲ ἐκτὸς ἐπικαίειν.

Sequuntur excerpta ex Galeno. Hactenus autem pertingit acephalus mutilusque codex vaticanus MDCCCLXXXV, qui universam hanc nobis materiam suppeditavit. Iam huius collectionis libri priores quindecim quos latine Rasarius italus, graece autem Matthaeius germanus, ediderunt, extant graece etiam in codice vaticano CCLXXXVIII, quem ego conferens cum mosquensi Matthaeii editione, comperi paulo diversum, tum quia lacunae variant, tum quia vaticanus hic codex scholiis caret.

---

## RUFI FRAGMENTUM
## EX ALIO CODICE VATICANO.

In Rufi opere περὶ τῶν ἐν κύστει καὶ νεφροῖς παθῶν contuli codicem vaticanum CCXCI. cum editione Matthaeiana mosquensi anni 1806, quam ab erudito viro germano brevi tempore commodatam habui. Sane in ce-

©BIU Santé

teris lacunis praedicti operis congruit codex vat. cum editione; verumtamen in editione opusculum explicit in verbis προσωφελεῖ δὲ καὶ νίτρῳ μετὰ ὄξους ἀνατρίβειν; Matthaeius autem ex indiciis codicis sui augurabatur deesse tria folia usque ad finem opusculi. Sane in codice vaticano pergit scriptum sic p. 18.

μετὰ ὄξους ἀνατρίβειν . . . . . . . . . . . . . . . οὐ μύρου καὶ κάγχροι μετὰ κηρωτῆς ὑ . . . . . . . . . . . . . . . ἄλλο, αστίριον· εἴς τε τὰ ἄλλα νο . . . . . . . . . . . . . μείζω καὶ ἐμφανεστέραν παρέ . . . . . . . . . . . . . . . τε καὶ πίνειν τινὶ ἀρκεῖν· καὶ εἰ προκενώσας . . . . . . . . . . . . ἔπειτα τούτῳ κλύζοις· καὶ εἰ διὰ τοῦ οὐρητῆρος . . . . . . . . . . . . . . . . . . . . . τοῖς ἄλλοις κλυσμοῖς τοῖς ἰσχυροτέροις χρῆσθαι . . . . . . . . . . . . . κλύσματά δεῖ σικυωνίας τε ἀπόβρεγμα καὶ ἐλλεβόρου μέλανος, καὶ μελανθίου καὶ κενταυρίου· πρὸς γὰρ τὴν αἴσθησιν συμφέρει· ταῦτα δὲ εἰς μετὰ τὴν ἕδραν ἐνίεται· τοῦ δὲ οὐρητῆρος ἀπέχειν· ἑλκῶσαι γὰρ κίνδυνος· δεῖ δὲ καὶ τῇ ἑφθῇ ῥητίνῃ πυκνὰ καταπλάττειν, τό τε ἦτρον καὶ τὴν ὀσφὺν ἐν κύκλῳ, καὶ τῷ νάπυϊ συνεχῶς θερμαίνειν· καὶ ἐν θαλάσσῃ κελεύειν νήχεσθαι; καὶ ἐν θερμοῖς ὕδασι· καὶ τὸ σύμπαν ἐκπυριᾶν, καὶ πότιμα προσφέρειν, ἅμα μὲν θερμαίνοντα, ἅμα δὲ ἐπὶ κύστιν ῥέποντα· ὥσπερ τοῦ τε ἄγνου τὸν καρπὸν, καὶ πάνακος τοῦ ἡρακλείας τὴν ῥίζαν, καὶ μήου ῥίζαν, καὶ κύμινον αἰθιοπικὸν, καὶ ἐρπύλλου σπέρμα, καὶ ἀψινθίου κόμην, μετὰ νάρδου κελτικῆς· ἀγαθοὶ δὲ καὶ ἔμετοι τὸ φλέγμα ὑπεξάγοντες· καὶ οἱ ἐλλεβορισμοί· ἐπὶ δὲ ταῖς τοιαύταις κενώσεσι, θαψίας χυλὸν παραλείφειν τῷ ἤτρῳ καὶ τῇ ὀσφύϊ, καὶ μάλιστα ἣν ἰσχναίνηται· καὶ μετὰ κηρωτῆς πραΰνειν τὰ οἰδηκότα, καὶ μαλάγματα ἐπιτιθέναι εὐώδη· τὰς δὲ ἀῤῥώστους κύστεις, καὶ μὴ δυναμέ-

νας τὸ οὖρον ἐπὶ πλέον κατέχειν, ἴασθαι· καὶ γυμνάζοντα καὶ ἀνατρίβοντα, ὥσπερ ἐν τῇ παραλύσει εἴρηται· τὰ δὲ οὐρητικὰ μὴ προσφέρειν· ἐπιθεμάτων δὲ τῶν αὐτῶν πειρᾶσθαι, καὶ διαίτης τῆς ἄλλης θερμοτέρας· τῷ γὰρ θερμῷ πάντα ἐγκρατῆ γίνεται· τὸ δὲ ψυχρὸν ἀκρατέστατον τῇ κύστει.

Explicit opusculum, περὶ τῶν ἐν κύστει etc., ut patet in codice. Fallitur ergo Matthaeius qui in supradicta lacuna desiderari putavit folia tria. Etenim in lacuna pauci versus perierunt; reliqua vero scriptura, quam dedimus, nonnisi paginam unam occupat.

---

## AUCTORES MEDICI

quorum scripta in hac parte collectionis oribasianae proferuntur.

Antyllus. Lib. XLIV. cap. 1. 12. 13. Lib. XLV. 1—4. 10. 15. 16. 18. 20. 21. Lib. L. 1. 2. 4. 5. 6. 7. 64. 65. In scholiis p. 66.
Apollonius. Lib. XLIV. cap. 17. (Vide etiam Lib. XLVIII. 40.)
Archigenes. Lib. XLIV. cap. 15. Lib. incert. p. 197. In scholiis p. 71.
Diocles. Lib. XLIV. cap. 9. Lib. XLVIII. 24—67.
Heraclas. Lib. XLVIII. 1—18.
Heliodorus. Lib. XLIV. cap. 1. 2. 3. 4. 5. 6. 13. Lib. XLV. 5. 6. 7. 9. 14. 19. Lib. XLVIII. 19—23. (Vide etiam cap. 32. 33. 34.) Lib. XLIX. 1—24. Lib. L. 2. 3. 8. 9. 10—62. In scholiis p. 13. 33. 35. 47.
Meges. Lib. XLIV. cap. 14.
Philumenus. Lib. XLV. 24.
Rufus. Lib. XLIV. cap. 7. 8. 10. 11. 16. Lib. XLV. 8. 11. 12. 13. 23. 25. 26. Lib. XLIX. 25—34. Lib. incert. p. 197. In scholiis p. 121. Lib. περὶ τῶν ἐν κύστει etc. p. 198. 199.

©BIU Santé



## ALII AUCTORES QUI CITANTUR.


Amyntas p. 99.
Andreas p. 122. 123. 126. 127.
Apellides p. 155. (*In titulo* Apellis.)
Archimedes p. 155.
Aristion Pasicratis pater p. 146. 152. 153.
Artion Pasicratis filius (*nisi est error pro* Aristion) p. 158.
Democritus p. 11.
Dionysius gibbus p. 11.
Dioscorides p. 11.
Galenus p. 12. 27. 35. 194.
Glaucias p. 106.
Heraclides ephesius p. 126.
Hermippus p. 10.
Herodotus organicus p. 131.
Hippocrates p. 12. 95. 98. 121. 124. 167. 168. 169. 176.
Homilus p. 86.
Leonidas p. 26.
Menecritus p. 110. 129.
Nileus p. 123. 130. 131. 153. 155.
Nymphodorus p. 123. 124. 151. 152. 153.
Pasicrates organicus p. 131. 152. 156. 157. 158. 168. 171.
Philo p. 11.
Posidonius p. 11.
Praxagoras p. 12. 13.
Soranus p. 11.
Tecton p. 122. 123. 124. 125. 126. 159. 161.
Themison p. 27.
Xenophon p. 12.


---

P. 160. mendosa divisio (ubi non fuerit emendata) corrigatur sic: τὸ λεγόμενον κέφαλον, absque nota 2, quae alibi ponenda est.

©BIU Santé



# ΠΡΟΚΟΠΙΟΥ ΣΟΦΙΣΤΟΥ

## ΕΠΙΣΤΟΛΑΙ ΑΝΕΚΔΟΤΟΙ.

### I. Ἱερωνύμῳ.

Ἐγὼ μὲν ὤμην σε τὸν Νεῖλον πάλαι κατειληφέναι· καὶ πολλάκις εἰς μνήμην λαμβάνων, τοῦτο δὴ τὸ εἰωθὸς ἐμοὶ, ὡς εὐδαίμονες ἔλεγον τοῖς αἰγυπτίοις οἱ παῖδες πάλαι μὲν τὸν Νεῖλον ἔχοντες χορηγὸν τῶν ὅσα φέρειν οἶδεν ἐκεῖνος· νυνὶ δὲ καὶ τὴν σὴν μοῦσαν προειληφότες οὐδὲν ἀτιμοτέραν τοῦ Νείλου, παρ᾽ ἐμοὶ δὲ κριτῇ τάχα καὶ μείζω· ὁ μὲν γὰρ τὴν χώραν αὐτοῦ ἐπιῤῥέων, πλουτεῖν ἐπιτρέπει· σὺ δὲ ταῖς τῶν νέων ψυχαῖς τὴν γλῶτταν ἐπαφιεὶς, ἐπὶ τὸν τῆς ἐπιστήμης πλοῦτον ἰθύνεις, οὐδὲν ἔλαττον ἢ πάλαι Πυθαγόρας αὐτοῖς ἐπιδημιῶν, καὶ μὴν ἐκεῖνος ὁ Πλάτων· ταῦτα μὲν οὖν ἐλογιζόμην· σὺ δὲ οὐ μακρὰν ἀπέχων ἐλάνθανες, ὡς δὴ καὶ ὁ τὴν ἐπιστολὴν ἐπιδοὺς, τὸ πρῶτον θαυμάζων ἀπάτην ἡγούμην τὸ πρᾶγμα, καὶ οὐκ ἐπειθόμην τοῖς ὀφθαλμοῖς· ὡς δὲ τοῖς ἐγγεγραμμένοις ἐντυχὼν ἐπείσθην μὴ ἂν ὑπάρχειν ἄλλου τὰς χάριτας, ἤσθην πῶς δοκεῖς; ἐγγυτέρας γὰρ αὐτὰς ἐμοὶ τὰς τοῦ σὲ πάλιν ἰδεῖν ἡγούμην ἐλπίδας· καὶ συνέχαιρον εἰκότως εἰς τὴν πατρίδα· ζηλωτὴν γοῦν μικρὸν ἀπέφηνας χρόνον· σὺ δέ μοι δοκεῖς παίζων αὐτοῖς κατηγορεῖν· ὅτι μὲν γὰρ τὸν ὑπὲρ κεφαλῆς ἀέρα οἷον ἔφης εἶναι συμβαίνει· καὶ ὡς τὸ ὕδωρ τοὺς πίνοντας εἰς μνήμην ἄγει θαλάττης· καὶ ἄρτος ἡμῖν ἐκ κριθῆς εἰκῇ μεμιγμένος, οὐκ ἂν ἀρνηθείην· ἀλλὰ καὶ ἔλαττον ἐτραγῴδηταί σοι ταῦτα φειδοῖ τῆς πατρίδος· ἀλλ᾽ ὅμως ὦ βέλτιστε χάριν ἐχρῆν εἰδέναι ταύτῃ πρὸς φιλοσοφίαν ἀσκούσῃ τὴν γνώμην, ὅπως ἂν εἰδείης ποτὲ τρυ-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 218 sur 544

φῆς αἰγυπτίας ὑπερορᾶν· Ὀδυσσεὺ δὲ τὸν σοφὸν νῆσον οἰκοῦντα μικρὰν ὁμοῦ καὶ τραχεῖαν· καὶ τί γὰρ ἄλλο ἢ τὴν Ἰθάκην ἀντὶ τούτων ᾑρεῖσθαι; ἀλλ' οὐδὲ σπαρτιάτης οἶμαι τὴν οἴκοι δίαιταν ἐννοῶν, τὴν Σπάρτην ἐμέμψατο· ἀλλ' οἶδα πόθεν ποτὲ κατηγορεῖν ἐπήρθης· φιλοχρημάτως ἔχεις ὦ λῷστε· εἶτα βραχύ τι τοῦ λήμματος ἀποστὰς, ἰοὺ ἰοὺ βοᾷς, καὶ τὸν Νεῖλον πολλάκις καὶ τὸν ἐκεῖθεν πλοῦτον ἀνακαλεῖς· τοῦτο σε πῶς ξένον ὡς αὐτὸς ἔφης ποιεῖ, καὶ τὸ σῶμα τοῦ Χαιρεφῶντος οὐδὲν ἀστειότερον ἔχειν· οἶμαι δέ σε καὶ τῆς νύμφης ἐρωτικῶς περιέχεσθαι, καὶ πειρᾶσθαι μόλις ὁπόσα δεινὸς πόθος· ἀλλὰ γένοιτο ταῦθ' οὕτως, Ἀφροδίτη φίλη· καὶ ἔρρωσο· καὶ σε θᾶττον προσείποιμι καὶ παίδων πατέρα.

## II. Πυθίῳ.

Εἴ μοι τίς προσελθὼν οὐ πρότερον τοῦτο ποιήσας ἠξίου μανθάνειν εἰ λύραν ἔχοιμι, καὶ περὶ ἁρμονίας λόγον ἐποίει, πάντως ἂν ᾐσθόμην τὸ πρᾶγμα, καὶ ὅτι μουσικὸς οὗτος εὐθὺς ἠπιστάμην· εἰ δὲ περὶ ὅπλων ἦσαν οἱ λόγοι, καὶ μάχας ἔλεγε καὶ πολέμου τύχας ἀεὶ διηγεῖτο, οὐκ ἔδει δήπουθεν θεῷ δὲ ἰέναι, καὶ ὅτι στρατιώτης οὗτος ἀκούειν· ἀλλὰ τί μοι βούλεται ταῦτα; πάντα μὲν ἤδη μανθάνεις· οὐδὲν δὲ ἧττον ὅμως εἰρήσεται· ἐμοὶ δοκεῖς ὡς παρὰ τὴν σὴν ψυχὴν ὄντως οἰκοῦσιν αἱ μοῦσαι· εἶτα κάτοικος ὢν ταῖς θεαῖς, βίον ἔχεις αὐταῖς ἀνειμένον καὶ οὐδέν σοι θαυμαστὸν, ὅτι μὴ βιβλία καὶ λόγοι καὶ ὅσα ψυχὴν ἐπὶ τὸ κρεῖττον ἀνάγει ἐντεῦθεν ἡμῖν ἐπεξενώθης ἀρχὴν φιλίας ποιησάμενος πρέπουσαν οἶμαι σαυτῷ· ἀλλὰ γὰρ εἴθε μὴ τῆς ἐφ' ἡμῖν ἐλπίδος διήμαρτες· ἀλλ' ὅπερ αἰτεῖς βιβλίον, τοῦτο δὲ ἦν παρ' ἡμῖν· οὕτω γὰρ οὖν σὺ μὲν εἶχες ἀεὶ τὸ ποθούμενον, ἐμοὶ δὲ μέγιστον ἦν τὸ δοκεῖν ὑμῖν κεχαρίσθαι· νυνὶ δὲ ὄμνυμι οὐ

©BIU Santé

τὴν πλάτανον τὴν Σωκράτους ἀλλὰ τοὺς λόγους αὐτούς, μήπως γε τετυχηκέναι τοῦ κτήματος, καί τοι πλεῖστον ἤδη χρόνον ἐρῶντα· μικρὸν δὲ ὕστερον, ἀλλὰ σὺν Ἑρμῇ καὶ μούσαις εἰρήσθω, ἐκ τῆς Ἀλεξανδρείας κομισθήσεται· τοῦτο γὰρ ἐκεῖθεν ἡμῖν οἱ προσταχθέντες ἀπέστειλαν· ὅπερ εἰ πρὸς ἔργον ἐκβαίη, ὄψει με πάντως αὐτόματον ὑμῖν προσιόντα περὶ τοῦ μεταδοῦναι ὡσεὶ καὶ αὐτὸς λαβεῖν ἐβουλόμην.

## III. Διοδώρῳ.

Ἡ περὶ τῆς σῆς παιδεύσεως φήμη ὁποίων ηὐχόμεθα λόγων τὰς ἡμετέρας ἐνέπλησεν ἀκοάς· ὁ μὲν γὰρ τὴν τῆς συνηγορίας ἀφηγεῖτο σπουδὴν, ὁ δὲ τὸ ἐν τοῖς δικαστηρίοις εὔπονον ἀπεθαύμαζεν, ὁ δὲ τὴν περὶ τοὺς προσιόντας εὔνοιαν, πλὴν εἰ μή τις ἀδικήσας ἐτύγχανεν· οἶδα καὶ τόδε ἀκούσας ὡς ὁρῶν τινὰς μέγα μὲν δυναμένους, θαυμάζοντας δὲ τῶν δικαίων μηδὲν πολὺς ἔπνευσας κατ' αὐτῶν, καὶ λοιδορίαν ἐπαινουμένην κατέχεες· ἐγὼ δὲ τούτων ἀκούων, ἄλλων ἄλλα διηγουμένων, ὥσπερ ἔνθους ὑφ' ἡδονῆς ἐγινόμην, καὶ μέγα γε τοῖς λόγοις φρονῶν, ἐδόκουν αὐτὸς ἐπαινεῖσθαι· ἤδη δὲ καὶ χάριν ὡμολόγουν τοῖς ἐπαγγέλλουσιν, ὥσπερ εἰώθασιν οἱ τῶν αὐτοὺς ἐπαινούντων ἀκούοντες· οὕτω δὲ ἔχοντι καὶ λογιζομένῳ προσελθὼν ὁ καλὸς Ὡρίων τὴν παρ' ὑμῶν αὐτῷ γραφεῖσαν ἐπιστολὴν ἐπεδίδου· καί μοι τῆς φιλίας συνέχαιρεν, ὥσπερ δεινὸν ἡγούμενος, εἰ λανθάνεις παρ' ἐμοὶ τοιοῦτος ὑπάρχων· ἐγὼ δέ σε μετὰ τὴν φήμην τῇ πείρᾳ μαθὼν, καὶ οἷος περὶ τοὺς δεομένους κἂν μὴ παρῶσι καθέστηκας, οὐδ' ἂν εἰπεῖν ἔχοις ὅσον ἐθαύμασα, καὶ αὐτὸν ἐπεκάλουν εὐδαίμονα τὴν σὴν εὐτυχηκότα σπουδήν· ὡς δὲ καὶ γραμμάτων ἠξίου τυχεῖν παρ' ἐμοῦ, τῇ τῆς φιλίας μνήμῃ τὴν σὴν προθυμίαν ἔτι μᾶλλον ἐγείραντα, εὐήθη τοῦτον ἐκάλουν· μὴ γὰρ ἂν σε πρὸς

©BIU Santé



ἀρετὴν πεφυκότα καλῶς, γραμμάτων δεῖσθαι πρὸς ταύτην παρακαλούντων· ἀλλ' ὅμως τοῦτον οὐκ ἔπειθον· ἐδόκει γάρ τι καὶ δίκαιον λέγειν, ὡς ὁ καθ' ἑαυτὸν τοιοῦτος, τίς ἂν γένοιτο γραμμάτων τυχὼν παρὰ σοῦ; οὐκοῦν γένοιο μὲν αὐτὸς ὁποῖος καὶ πρότερον· ἐπαινοίμην δὲ πάλιν τῆς φιλίας ἐγώ· μὴ διαμάρτοι δὲ τῆς ἐφ' ὑμῶν ἐλπίδος ὁ νέος· ἀλλὰ γνώτωσαν οἱ τὰ μεγάλα δύνασθαι δοκοῦντες, ὡς ἄρα τῶν δικαίων ἐστὶν εἰκότως ἡττᾶσθαι.

## IV. Ἱερωνύμῳ.

Ἐγὼ μὲν τῆς ἀδελφῆς λανθάνειν ὤμην τὸν γάμον, καὶ δὴ τοῖς προσήκουσι τὴν οἰκίαν ἐγνῶσθαι, μή τι σοὶ, ὃν ὤμην ἔτι παρὰ τῷ Νείλῳ καθῆσθαι· σὲ δὲ λανθάνειν ἔοικε τῶν εἰς τρυφὴν ἡκόντων οὐδέν· ἀλλ' ὑμᾶς τέ τι δρᾶται, καί σε προσβάλλει πόῤῥωθεν ἡ τῶν ἐπιτελουμένων ὀσμή· καί πυ τάχα τὸν ὁμηρικὸν Δία νικᾷς λοιβῆς καὶ κνίσσης ὁρῶν ἑλισσομένης περὶ καπνῷ· ταῦτά σε Νεῖλος διέθηκε, καὶ οἱ παρ' ἐκεῖνον εὐδαίμονες ἄνθρωποι, μεθ' οὓς τὴν ἐλοῦσαν οἰκῶν, ὀξυτέραν ἔχεις τὴν αἴσθησιν, εἴ πυ δέ γε καπνὸς ἀναδίδοται· τὸν δὲ σὸν παῖδα μικροῦ δεῖν ὥρμησα διαθεῖναι κακῶς, ὅτι μὴ μαζόγραφος εἰς πλάτος ἀφῆκε σε τὴν ἐπιστολὴν, ἀλλὰ παρὰ σοῦ δῶρα προσάγων, μετέλαβέ τε τῇ θέᾳ· καὶ οὐκ οἶδ' ὅπως μοι διέλυσε τὸν θυμόν· οὐκ εἰς μακρὰν δέ σε τοῦτον ἀμείψομαι· ἢ γὰρ γέγονέ σοι θυγάτριον, ἢ γενήσεται.

## V. Ἀλύπῳ καὶ Στέγῳ γραμματικοῖς
## καὶ Ἱερίῳ ῥωμαϊκῷ.

Σόλωνι τῷ νομοθέτῃ ἐπειδὴ νόμων ἕνεκα καλῶς ἔχειν ἡ πόλις ἐδόκει, δεινὸν ἡγούμενος μέχρι τῆς ἀττικῆς αὐτῷ τῆς

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 221 sur 544

σοφίας ἑστάναι τὸ θαῦμα, ἐφοίτα μὲν παρ' αἰγυπτίους καίπερ σοφωτέρους τῶν ἄλλων αὐχοῦντας· ἐφοίτα δὲ καὶ παρὰ Κροῖσον ὡς ἐπ' εὐδαιμονίᾳ τῷ πλούτῳ κομῶντα· μεῖζον γὰρ ἐδόκει τῷ Σόλωνι σοφίᾳ τρυφᾷν, ἢ χρυσῷ ῥέων ὁ Πακτωλὸς γῆν τὴν ὅσην ἐπῆλθεν ἐκεῖνος· καὶ οἱ μὲν ὁρῶντες ἐθαύμαζον· ὡς δὲ ἀπεφοίτα, πάλιν ἐπόθουν τὸν Σόλωνα· ἀθηναῖοι δὲ παρ' οἷς τὴν κρηπῖδα τῶν μαθητῶν ἐβάλετο, τάχα καὶ τὴν Ἀθηνᾶν ηὔχοντο, τὸ, νομοθέτην αὖθις ἀποδοῦναι τῇ πόλει· εἰ δὲ καὶ τούτου ἕνεκα τὴν ἀποδημίαν σοφίζεται, γνῶναι θέλων ὅπως ἔρωτος ἥκουσιν εἰς αὐτὸν ἀθηναῖοι, οὐκ ἂν οἶμαι θαυμάζοιμι· πλὴν ἑνὸς ἀνδρὸς ἀπόντος ἐδάκρυσαν ἀθηναῖοι, καί τοι σοφοὺς ὡς εἰκὸς εὐτυχοῦντες ἑτέρους, τίνες ἂν γενοίμεθα τὸ κεφάλαιον ὅλον ἀφαιρούμενοι; καὶ ἣν ἄν τις ἐδίστασε πρότερον, εἴ τε τὴν Ἀττικὴν εἴ τε τὴν Ἰταλίαν προσῆκεν εἰπεῖν, αὕτη σιγᾷ νῦν ἐξαίφνης καὶ τῶν γνωρισμάτων ἀφήρηται· καὶ ταῦτα πάσχειν ἔοικε τῷ Κιθερῶνι ὅτι πολὺν δεξάμενος ποτὲ θεὸν, ἀπιόντος πάλιν ἐξαίφνης ἔρημος ἦν· καὶ ὁ Διονύσιος οὐδαμοῦ· ὅθεν καταβοήσομαι τοῦ Ἀπόλλωνος, ὃς καὶ παρ' ἑαυτὸν ἐκάλει τὰ ἡμέτερα παριδών· καὶ οἶμαι τούτοις συνήδεσθαι τῆς εὐτυχίας τὰς μούσας· ὑμεῖς δήπου καὶ παλαιῶν μυθολογημάτων ἐμπίπλασθε, παρ' αὐτὴν ἤδη τὴν δάφνην λογιζόμενοι τοῦ θεοῦ τὸ πάθος· τὴν δάφνην, τὴν σωφροσύνην καὶ τὸ φιλάνθρωπον, καὶ φυτὸν παραμυθούμενον ἐραστήν· καὶ παρ' ὑμῖν μόνοις τῶν ἐρωμένων ἡ θέα τῷ λόγῳ τὴν μαρτυρίαν χαρίζεται· εἰ δὲ καὶ κυπάριττοι πυκναὶ πρὸς χάριν ἀνεῖνται τῆς ἐρωμένης Ἀπόλλωνος, καὶ ὕδωρ ἄφθονον καὶ τέττιγες ᾄδουσι, καὶ ὁδὸς τῇ πόᾳ μαλακῇ παρακέχυται, καὶ δένδρα ἄλλ' ἐπ' ἄλλοις, καὶ οἰκίαι τῷ τούτων ὕψει κατὰ μέσον κρυπτόμεναι, αὔρα τε μετρία, καὶ ὀσμὴ συμμιγὴς, καὶ σκιὰ τοῦ ἡλίου τὸ λυπηρὸν ἀποκλείουσα, ὑμέτερον ἢ ὡς τάχος ἀγγέλλειν ἢ διηγεῖσθαι τοῖς γράμμασι· πλὴν βουλοίμην εἰς ὑ-

©BIU Santé



μᾶς ἐλθόντας ἰδεῖν ἵνα πρὸς τοῖς ἄλλοις καὶ μαντευομένων ἀκούσωμαι· καὶ τοῦτο γὰρ ὑμῖν οἶμαι δεδωκέναι τὴν δάφνην.

## VI. Παλλαδίῳ.

Τὴν τῶν μέγα δυναμένων ἀρετὴν μεγίστην οἶμαι τοῖς ἀδικουμένοις παραμυθίαν· δυνάμεως γὰρ εἰς ταυτὸν ἐλθούσης καὶ γνώμης τιμώσης τὰ δίκαια, τί κωλύει πρὸς πέρας ἰέναι τὰ δοκοῦντα τοῖς νόμοις; ἀλλὰ τί μοι βούλεται τὸ προοίμιον; Ἰσίδωρος ὁ σχολαστικὸς, ὁ πάλαι μὲν φίλος ἡνίκα ἔζη, νῦν δὲ μέχρι τῆς μνήμης, οἷος μὲν ἦν τὸν βίον, καὶ ὡς πανταχόθεν αὐτὸν παρεῖχε θαυμάζειν, καὶ ἑτέροις αὐτὸς ἐξηγήσαιο· νυνὶ δὲ ἀπελθὼν ἐξ ἀνθρώπων, ἔρημον συμμαχίας κατέλιπε τὴν οἰκίαν· ἡ μὲν γὰρ πάλαι μήτηρ, νῦν ἄπαις ἐπὶ γήραος οὐδῷ, καὶ μήτηρ οὐκέτι· ἡ δὲ σύνοικος χηρείας ὑποφέρει ζυγόν· τὰ δὲ παιδία τί δεῖ λέγειν; κόραι γὰρ αὗται μικρὰν ἄγουσαι τὴν ἡλικίαν, καὶ ὀρφανίας τύχης πειρώμεναι· συνελόν τι δὲ φάναι, πρόκεινται πᾶσι τοῖς ἀδικεῖν βουλομένοις, εἰ μὴ σὺ κωλύσεις, αἱ τούτων ὀρῶσιν ἐλπίδες· ὁ δεῖνα γὰρ φύσει μὲν ἐπιπόνηρος· προσοικῶν γὰρ τὴν τούτων οἰκίαν, καὶ τὸν ἐκ τοῦ γειτνιάζειν φθόνον λαβὼν, μίαν πεποίηται γνώμην ἄχρηστον αὐταῖς ἀποφαίνειν τὴν οἴκησιν· ὅθεν οὔτε τῶν οἰκοδομούντων ἐννόμως κωλυομένων ἠνέσχετο· καὶ πρὸς ἀλλήλους διαγράμματα συγκείμενα λῆρον ἡγούμενος, κυριώτερον αὐτὸν ἀποφαίνει τῶν νόμων, καὶ ὧν αὐτὸς ὡμολόγησεν· ἀλλὰ δικαστοῦ καὶ μισοῦντος τὰ φαῦλα γνώμην λαβὼν, γενοῦ ταῖς κόραις πατὴρ, καὶ τῇ μητρὶ παῖς, καὶ τῇ γυναικὶ πάλιν ἴσα καὶ σύνοικος, ἡμῖν δὲ τοιοῦτος οἷον ἡ προλαβοῦσα πεῖρα πολλάκις ἀνέδειξε· καὶ γνώτω ὡς οὐκ ἔστιν ἔρημον τῆς συμμαχίας, ἕως ἂν οἵ τε νόμοι σώζονται καὶ ἄνδρες τιμῶντες τὰ δίκαια.

©BIU Santé



## VII. Γεσσίῳ ἰατροσοφιστῇ.

Τὴν ὑμετέραν ἐπιστολὴν εἰς χεῖρας λαβὼν, αὐτὰς ἔδοξα μόλις ἀπειληφέναι τὰς μούσας, ἔνθους τε ἦν ὑφ' ἡδονῆς, καὶ οὐκ εἶχον ὅ τι καὶ γένωμαι· ὥσπερ οἱ Δελφοὶ ἐπειδὰν ὡς ἐξ ὑπερβορείων ἐλθόντος Ἀπόλλωνος τὸ πρὶν σιγῶντες, πλήρεις ἐξαίφνης γένωνται τοῦ θεοῦ· τοιοῦτος ἦν τις ἐγὼ, πάντα θαυμάζων, τῶν ὀνομάτων τὴν ὥραν, τὴν πρὸς ἄλληλα τούτων ἁρμονίαν, τὸ διὰ πάντων κάλλος ἐπιφαινόμενον· καὶ τὸ δὴ μέγιστον τοὺς ὑμετέρους τρόπους ἐξ ὧν ἡμῖν προῆλθε τὰ πράγματα· καί σοι πολλάκις ἀγαθὰ γένοιτο τοιαύτην ἡμῖν ἀποδεδωκότι τὴν ἑορτήν· ἀλλὰ γὰρ μία χελιδὼν ἔαρ φησὶν οὐ ποιεῖ· οἷον δὲ καὶ ἡ προλαβοῦσα χελιδὼν εἰς ἔργου ἤρκεσε χρείαν· εἰ δὲ καὶ δευτέραν προσθείην καὶ τρίτην εἶτα πολλὰς, οὐδὲν ἂν εἴη ἔαρ ἡμῖν· οὔτε Κροῖσος ἐκεῖνος οὔτε χρυσοῦ ῥέων ὁ Πακτωλός· τοὺς δὲ ὑμετέρας παῖδας εἶδον ἡδέως, καὶ ὥσπερ δι' εἰκόνος ἀνηγόμην πρὸς σέ· ὅθεν ηὐξάμην καὶ πλείους ἰδεῖν· καὶ εἰ μεγάλα λέγειν, τοῦ πατρὸς ἀμείνους· ἀλλ' οὖν εὐχομένῳ ῥᾴδιον λέγειν ὅσα γε βούλεται, καὶ μιμεῖσθαι τὸν Ἕκτορα· τὸν ἑταῖρον Δωρόθεον αὐτόν με δοκεῖ παρόντα προσάγειν ὑμῖν· καὶ λέγειν ἄλλο μὲν οὐδὲν, πληρῶσαι δὲ τοῦτο τὰς ἐλπίδας αὐτοῦ παρέσχε τὰ ὑμέτερα διηγούμενος· εἰ δὲ καὶ δι' ἐμέ τι πλέον ἕξειν ἐλπίζει, ὑμέτερον ἂν εἴη τοῦτον μὴ ψευσθῆναι τῆς συγγνώμης· συστήσει δὲ τὸν νέον ὑμῖν καὶ τρόπος ὁμοίως καὶ σπουδὴ, ἅπερ εἰ ἦν αὐτὸν ἅμα τῇ θέᾳ παραστῆσαι σαφῆ, οὐδὲν ἂν ἴσως ἔδει τῶν ἡμετέρων γραμμάτων· νῦν δὲ δι' ἐμὲ τὰ πρῶτα τιμήσας, ὕστερον οἶμαι θαυμάσεις καὶ δι' αὐτόν· οἶμαι δὲ καὶ ἑταῖρον Ἀναστάσιον εὐμενέσιν ὑμᾶς ἰδεῖν ὀφθαλμοῖς ὡς καὶ τὸ ἡμέτερον γένος· τί γὰρ δεῖ πλέον εἰπεῖν πρὸς ἄνδρα πάλαι τε καὶ φίλον καὶ νῦν οὐδὲν ἧττον εὐνοεῖν εἰρημένον;

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 224 sur 544

## VIII. Ζαχαρίᾳ ἀδελφῷ.

Ὡς ἔοικεν, ὦ λῷστε, τῶν εἰς ἡμᾶς σκωμμάτων οὔ ποτε παύῃ· μὴ δέ γε παύσαιο τούτων, ὦ πάντες θεοί· ὡς ἐγὼ λεγομένων προσγελῶ τε τούτοις γράμμασι, καὶ πρὸς ὑμᾶς ἀφικνοῦμαι τῇ διανοίᾳ, καὶ λέγειν τί δοκῶ πρὸς ἡμᾶς καὶ λεγόντων ἀκούειν· ὥστ' εἰ σοι μέλει τῶν ἐν τοῖς γράμμασι χαρίτος, μέλει δὲ πάντως, βάλλ' οὕτως, καὶ μείζονα χαρίζεσθαι δόξεις, ἢ εἴ μοι παρεῖχες Κροίσῳ γενέσθαι· κάλει δὲ πάλιν σοφιστὴν, καὶ λέγε κρότων ἐρᾷν· ὀφρῦν τε προστίθει καὶ τῦφον, καὶ πᾶν ὅ τι σοὶ φίλον· πολλάκις δὲ καὶ σοφιστὴν εἰπὼν ἀπηλλάγης ὡς ταυτὸν ὂν τοῦτο εἰπεῖν καὶ ἀλάζονα καλέσαι· ἐγὼ δὲ τὴν ἐμὴν τέχνην οὐκ ἀρνήσαιμην· εἰ δὲ ταύτης ἴδιον τὸ πρὸς ἀλαζονείαν ἐπαίρειν, καὶ σοί που μέτεστιν ἄγων τῆς τέχνης· ὥστε δέδοικα μὴ ὅσης ταύτης μετέχεις· ἀλλὰ γὰρ αἰδοῖ τῇ πρός σε σιωπήσομαι· ἴσως δὲ θαυμαστὴς εἶς σοφιστὴς ὤν· καὶ τὸ ἔργον ἤδη θεώμενος, δέον ἐκπομπεῦσαι τῷ λόγῳ· εἶτα παρῆλθον σιγῇ καί που ζητεῖς ἐν τοῖς γράμμασι ἄνθη καὶ χελιδόνας καὶ θαλάττης μεταβολὴν ἥμερον, τόν τε Ἄδωνιν τὸν καλὸν, καὶ τὴν Ἀφροδίτην ἐκείνην τὴν παραδόξως ἐρῶσαν, καὶ ὅτι μὴ τὸ ῥόδον ἀκούεις, καὶ τὴν ἐπ' αὐτῷ χάριν πάλαι θαυμάζεις· ἐγὼ δὲ τοιοῦτον οὐδὲν ἂν εἴποιμι καὶ μάλιστά γε πρὸς σέ· μήποτε πάλιν γελάσας, ἀπειρόκαλόν με καὶ σοφιστὴν ὀνομάσῃς.

## IX. Ἐπιφανίῳ.

Δεινὸς ἄρα τις ἦσθα κινεῖν ὃν ἂν ἐθέλῃς πρὸς λόγον καὶ σιωπήν· καί μοι δοκεῖς παραπλήσιόν τι ποιεῖν, ὥσπερ εἴ τις λύραν ἔχων κεχρῆσθαι ταύτῃ μαθὼν, νῦν μὲν ὑφαίνοι μέλος, νῦν δὲ τῶν κρουμάτων ἀπόσχοιτο· εἰ γάρ τι περὶ ταῦτα

©BIU Santé



κρεῖττον νομισθείη, εὐθὺς πρὸς ἐκεῖνο γε ἐστὶ, καὶ οὐδὲν ἂν εἴποι μουσικὸν, οὔτε αὐτὸς οὔτε ἡ λύρα· καὶ σοῦ σιωπῶντος ἡμῖν, πρὸς τὰ καινότερα μεταβεβλημμένου κατηφεῖς εὐθὺς· καὶ σιωπῶντες οἱ πάλαι μὲν φίλτατοι, νῦν δὲ ἴσως φίλοι· ἀλλ' ἤδη πόθεν τὸ πρᾶγμα· οἱ νόμοι σε παρασκευάζειν ἠνάγκασαν σεμνὸν ταῖς ὀφρύσιν ἀνέλκειν· εἶτα φρόνημα νομοθέτου λαβὼν, καὶ δόξας ἤδη τὰ ῥωμαίων ἄγειν τῇ ψήφῳ, τοσοῦτον ἡμῶν κατεπήρθης· ἀλλ' ἐπειδή σε μόλις ὑπεισῆλθε τῆς παλαιᾶς συνηθείας λόγος καὶ μνήμη, εἴθε μὲν καὶ πάλαι γέγονε τοῦτο· ὁ μὲν δὲ τῆς σῆς γλώττης μετὰ τῶν χελιδόνων ἡδύ τι φθεγγομένης ἀκούσας, διανίσταμαι τῇ ψυχῇ· καὶ λαμπρότερόν μοι τὸν ἥλιον προσβάλλειν δοκῶ· καὶ νῦν ὄντως ἔαρ ἐμοί· ἀλλὰ γένοιο λοιπὸν ἡμῖν εὐμενὴς, καὶ μηκέτ' ἔλθῃς πολεμιῶν, ἐρώτων εἰς λήθην.

## X. Σοσιανῷ.

Εἴ τις χρημάτων ἐστὶν ἐραστὴς, οὐδὲν ἂν ἡδέως ἢ ταῦτα λέγει, καὶ λεγόντων ἄλλων ἀκούσειεν· εἰ δὲ καὶ χρυσὸν ἄγων παράσχοις, ἔχει τὰ παρ' ἐκείνῳ τιμῆς· οὕτως δὲ ἐν ὅπλοις τὰ πράγματα καλὴν οὕτως ἀσπίδα λαβὼν ἐφρόνησέ τι μέγα, καὶ τῇδε κἀκεῖσε περιφέρων τὸ κτῆμα πληροῦται μᾶλλον τοῦ Ἄρεως· ἀνδρὶ δὲ ἀγαθῷ τί πράττων ἄν τις χαρίσαιτο ἢ παραπλησίως ἄνδρας παρέχων ἰδεῖν; ὅθεν σε τοιοῦτον εἰδὼς καὶ γεγονότα καὶ εἶναι βουλόμενον, τὸν σχολαστικὸν Διόδωρον ἀγνοεῖν οὔ μοι πρέπον ἐφαίνετο, ἀλλ' ἄγω καὶ δίδωμι, σὺ μὲν ἐκεῖνον, ἐκεῖνος δὲ σέ· ἀμφοτέρον· ὑμῖν νομίζων χαριεῖσθαι, εἰ ἀλλήλων ἐν πείρᾳ γενήσεσθε· ἐπαινέσει δέ με πάντως ἑκάτερος, οἷα τοῖς φίλοις προξενεῖν ἐπιστάμενος.

©BIU Santé



## XI. Ἰωάννῃ.

Ὁ λογιώτατος Διόδωρος λύσις ἡμῖν ἔστω τῆς πρὸς ἀλλήλους σιγῆς· καὶ σὲ γράφειν ἐπαιτῶν, καὶ τὰ παρ' ἡμῶν σοι διδούς· φίλος μὲν γὰρ οὗτος ἐμός· ἤδη δὲ πρὶν ἰδεῖν καὶ σὸς ἐραστὴς ἐτύγχανεν· οἱ γὰρ ἐξ ἡμῶν λόγοι τὰ περὶ σοῦ διηγούμενοι πρὸς τὴν θέαν ἐπιοῦσι τὸν ἔρωτα· ὁ γὰρ ἀνὴρ ἐρωτικός ἐστι τῶν καλῶν, καὶ πολυπραγμονεῖ τοὺς χρηστούς· ὥσπερ δεδιὼς μή ποτέ τις τοιοῦτος ὢν διαλάθοι· καὶ τί σοι τὰ περὶ τούτου λέγειν με δεῖ; πάντως γὰρ τῇ πείρᾳ τοῦτο μαθὼν, ἐλάττω νομίσεις τὸν ἔπαινον· καὶ ἀθενῆ μὲν καλέσειας ῥήτορα, ὡς οὐδὲ τὰ προσόντα λέγειν δυνάμενον.

## XII. Διοδώρῳ.

Τοῦτο ἐκεῖνο ὃ καὶ προσδοκῶντι μοι γέγονεν· ᾤμην γὰρ εὐθὺς ὡς ἐκεῖσε γενόμενος ἀρχόντων ὁρᾷν βῆμα, καὶ ῥητόρων χορὸν, καὶ προσφύγων οὐχ ἑπόμενον, πλησθήσῃ μὲν αὐτίκα φρονήματος· κἂν λαλεῖν τις ἐθέλῃ, μόνον οὐκ ἀνέξῃ τοῦ λέγοντος· ἡμῶν δὲ λόγος ἔσται βραχύς· καί τι μοι τοὺς ἐν σκότῳ κεκρυμμένους ἐκείνους λέξεις δήπου πάντως περὶ ἡμῶν; εἰ δὲ χαμαὶ ἐρχομένοις προσείποις, οὐδὲ τοῦτο θαυμάζοιμι· τὸ αὐτὸ καὶ προσεδόκων καὶ γέγονε τοῦτο τῶν καθ' ὑμᾶς ῥητόρων τὸ φρόνημα· οἵ, τοὺς ἄλλους πρόσφυγας καλοῦσι καὶ τὰ καθ' ἑαυτοὺς ἀπομιμνήσκοντες πράγματα· καὶ νῦν δοκεῖς φίλους ἡμᾶς εἰρῆσθαι, τὸ πρότερον οὐκ ἄξια κρίνας ὥσπερ εἰκὸς, ἀλλ' ὅτι κρειττόνων ἀπορίᾳ, τοῖς παροῦσιν ἐχρήσω· καὶ μεταμέλει σοι παντὸς τοῦ χρόνου, ὃν παρ' ἡμῖν ἀναξίως διέτριβες· καὶ νῦν δέδοικα γράφων μὴ πρὸς τὴν παρ' ἡμῶν δυσχεράνῃς ἐπιστολήν· ἐγὼ δέ σε καλῶς πράττειν εὐξαίμην· κἂν



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 227 sur 544

δέῃ πάλιν καταφρονεῖσθαι, λυπηρὸν μὲν, οἴσομεν δ' οὖν ὅμως τῇ σῇ τύχῃ παραμυθούμενοι.

## XIII. Ζαχαρίᾳ καὶ Φιλίππῳ.

Τῆς μὲν προλαβούσης σιωπῆς τὴν αἰτίαν ὁ χειμὼν ἀποφερέσθω τὰ εἰωθότα λυπῶν· τῆς δ' ἐντεῦθεν, εἴ τις ἄρα καὶ γένοιτο, ὑμεῖς ἂν εἰκότως ὑπέχοιτε τὰς εὐθύνας· καί τοι γε ἡλίκον τοῖς παθοῦσιν πρᾶγμα τῶν παίδων ἡ σιγὴ, πῶς ἄν τις παραστῆσαι τοῖς μὴ πρὸς πεῖραν ἐλθοῦσιν τοῦ πράγματος; ὑμεῖς δ' ἂν εἰδείητε πάντως πῶς φίλους διατεθέντες ἐρωτικῶς· οὐ γὰρ ἂν τοσοῦτον φρονήσαιμι, ὡς καὶ αὐτὸς οἴεσθαι παρ' ὑμῶν ἀντερᾶσθαι· καί τοι εὐξαίμην οὖν μοι τοῦτο γενέσθαι μᾶλλον ἢ πολλῷ κομᾷν τῷ χρυσῷ καὶ ἡστινοσοῦν τύχης εἰς ἄκρον ἀφῖχθαι· οὔτε γὰρ ἂν ἕκαστος ῥαθυμεῖν οὐκ ἔχων διὰ τὸν πόθον ἐμοῦ πάντως ἂν παραμυθεῖτο τὸν ἔρωτα· εἰ δὲ τοιοῦτο μὲν οὐδὲν, ἔτι δὲ σιωπήσεσθε, κατηγορήσω μὲν, τοιαῦτα παθών· κρίνει δέ τι ἐρωτικὸς δικαστὴς, καὶ ψηφιεῖται ὅ τι χρὴ παθεῖν ὑμᾶς καὶ ἀποτῖσαι . . εὖ μὲν παθεῖν ἀπο . . . ται ἵνα μὴ τὸν ἐρῶντα μὲ πάλιν . . . (1) ψηφιεῖται δὲ ὑμᾶς ἀποτῖσαι τοιαύτας ἐπιστολὰς, ὥστε τῷ πλήθει τοῦ προλαβόντος χρόνου παραμυθεῖσθαι τὴν σιωπήν.

## XIV. Βίκτορι ἀδελφῷ.

Δέδεγμαι τὸ βιβλίον τὸ πρὸ τῆς πείρας ποθούμενον· ἥκει γὰρ τῇ μὲν ἐπιστολῇ θαυμαστὸν ἡλίκον, τῷ δὲ πράγματι ξένον φέρον οὐδὲν, ἀλλ' ὃ καὶ πολλοῖς καὶ ποικίλοις ἐσπούδασται· σοῦ δὲ χάριν καὶ ὃ τὸ βέλτιον εἰπεῖν σεσιγήσθω·

(1) In his lacunis perpauca verba legi nequeunt.

ἀλλ' οὖν κείσεταί σοι χάρις εἰς ἐμὴν μνήμην ἀνάγραπτος· πλὴν οὐχ οἷα παρὰ τῷ Παυσανίᾳ τῷ μὴ μέχρι παντὸς σωφρονοῦντι· ὁ μὲν γὰρ οὐδὲ Πλαταιὰς αἰδεσθεὶς, οὐδὲ τρόπαια φίλα, προὐδίδου βαρβάρῳ τὴν δι' αὐτοῦ σωθεῖσαν Ἑλλάδα, ὥσπερ οὐκ ἀνέχων εἰς τέλος εὐτυχὴς ἐπιμεῖναι· σὺ δὲ τὰ οἰκεῖα περιέπων, οὐδὲν ὅ τι μὴ δράσεις· κείσεταί σοι τοίνυν ἡ χάρις οὐ πρώτη, μὰ Δία, πρὸς πολλαῖς δὲ πρώταις ἑτέρα· μία δὲ χάρις παρὰ τῶν εὖ παθόντων ἀρκέσει τοῖς ἀγαθοῖς, μεμνῆσθαι μόνον ὅτι πεπόνθασιν· ἐμοὶ δὲ γένοιτο τὸ μὴ δὲ τῶν μέχρι βουλῆς εὐποιεῖν ἐθελόντων ἀμνημονεῖν· εἰ καὶ μὴ πέρας ἔσται τοῖς δόξουσιν.

## XV. Διοδώρῳ.

Ἔτι σιγᾷς; ἔτι περιφρονεῖς τὰ ἡμέτερα; καὶ μὴν ᾤμην σε πρὸς κόρον ἀφῖχθαι φρονήματος· σεμνὸν μὲν ἡγούμενον τὸ σιγᾶν, ἡμῶν δὲ φιλοτιμότερον χρησομένων τῷ πράγματι, ἵνα καὶ νικήσωμεν ὀφρὺν διὰ σιγὴν ἐπηρμένην· τοῦτο γὰρ ἐκεῖνο τὸ σύνηθες· ἅμα καὶ τὴν καίσαρος εἶδες, καὶ βαίνεις ὑψοῦ καὶ ἀγανακτεῖς, ὅτι μὴ Περσέως πτεροῖς αἴρῃ μετέωρος· τὰ δὲ ἡμέτερα σοὶ λογιζομένῳ, μικρά τε ἔτι δοκεῖν καὶ οὐδέν· ὅθεν σοι νόμος παλαιὸς καὶ πανταχοῦ κρατῶν παρεβαίνετο· χρὴ γὰρ ἐπειδάν τις τοὺς συνήθεις καταλιπὼν ἐπ' ἀλλοδαποῖς ἰθύνοι τὸν δρόμον, αὐτὸν εἶναι πρῶτον τὸν ἐπιστέλλοντα, ὁποῖον αὐτὸν ἦγεν ἡ θάλαττα, ὅπως ἡ γῆ τοῦτο ὁδοποροῦντα παρέπεμπεν, εἰ χρηστῆς ἀπήλαυε τύχης, εἰ τὸν αὐτὸν εὐμενῶς ὑπεδέχετο· τούτων μὲν αὐτὸς ἔφης οὐδὲν, οὔθ' ἡμεῖς ἔχομεν διηγήσασθαι· ἀλλὰ τοὐμὸν μέρος, αὐτῶν ἰχθύων γέγονας ἀφωνότερος· ἀλλ' ἵνα μὴ τὰ τῆς φιλίας τῇ σιγῇ πρὸς λήθην ἐλθόντα κατὰ μικρὸν ὑποῤῥέῃ, ἀνανεοῦμαι πάλιν τὸ πρᾶγμα καὶ γίνομαί σοι φιλανθρωπότερος· καὶ σὺ πρὸς φιλίαν παίζε

πρὸς ἡμᾶς τὰ συνήθη καὶ τῆς σῆς χάριτος ἄξια· εἰ δέ τι γέγονε τῶν ἀνιώντων, αὔραις τοῦτο διδόσθω, καὶ τῇ τύχῃ τῶν ἀνθρωπίνων πραγμάτων, ἥ τις ἐντρυφῶσα τοῖς ἡμετέροις ἄνω καὶ κάτω μεταθεῖ καὶ βραχείᾳ ῥοπῇ μεταβάλλεται, μηδὲν ἐθέλουσα βλέπειν ἑστηκὸς καὶ ἀκίνητον· καὶ δεινὸν μὲν οἶμαι τὸ πάθος, δεινότερον δὲ τοῖς εἰδόσι τὸ θέαμα· κόρη μὴ δὲ τοῖς οἰκείοις ἅπασιν ἐγνωσμένη, ἐν πάντων ὄψεσιν ἀντὶ παστάδος ἀγομένη πρὸς τάφον· καὶ κεναὶ μὲν ἐντεῦθεν μνηστῆρος ἐλπίδες, συγγραφὴ δὲ γαμήλιος ἐπ᾽ αὐτῇ διερρήγνυτο· δεινὰ μὲν οἶμαι ταῦτα, καὶ οὐκ ὤφελε γενέσθαι· πλὴν οὐκ ἐφ᾽ ἡμῶν πρῶτον ἡ τύχη στρατεύεται, πολλὰς ἤδη που καὶ ἄλλας ἥρπασε τῆς πατρίδος, καὶ νυμφικὸν θάλαμον εἰς θρῆνον μετέβαλεν· ὦ πόσοι ταῖς ἐλπίσι τρυφῶντες, μῦθος διὰ ταύτην ἐγένοντο· ἀλλ᾽ οὐδὲ τῇ ψήφῳ νικᾷ· καὶ ἅμα τι θέλει καὶ γίνεται· νικάσθω φιλοσοφία καὶ γνώμη· καὶ ἔστω τι πλέον τοῖς ἀνακειμένοις ταῖς . . σαις τὸ φέρειν εἰδέναι τὰς τύχας· θαυμάζω γὰρ ἔγω γε καὶ τὸν εἰρηκότα σοφῶς, ἀλλ᾽ ἐπειδὴ μὴ γίνεται ἃ θέλομεν, θελήσωμεν τὰ γινόμενα· οἴχεται τὴν γῆν ἀπολιποῦσα, καὶ γάμου κακὰ καὶ παίδων ὠδῖνας, εἴποτε καὶ ἐγένοντο· καὶ σιωπῶ τοὺς τῆς παιδοτροφίας κινδύνους, καὶ τὸν ἐν εὐτυχίᾳ φόβον, μή ποτε γένοιτο τῶν παρόντων διαμαρτεῖν· τῶν δὲ συντρόφων τῷ βίῳ κακῶν γενομένη πάντων ἐλεύθερος οἴχεται λεωφόρον ὄντως ὁδὸν, καὶ ἣν ὁδεῦσαι δεῖ πάντας, ἐπειδὴ καὶ γεγόναμεν.

## XVI. Τῷ αὐτῷ.

Νῦν ἔγνων ὅσον ἠδίκεις πρότερον σιωπῶν· ἐξ ὧν γὰρ ηὔφρανας γράφων, ἐκ τούτων ὅλως σιγήσας λυπεῖς· τὴν γὰρ ἐπιστολὴν εἰς χεῖρας λαβὼν, παλαιᾶς ἐμνήσθην εὐδαιμονίας· σὲ παρεῖναι δοκῶν ἐν τοῖς γράμμασι, καὶ τί λέγειν ὡς παρ-

ὄντι προήχθην· καὶ τὰ μὲν εἶπον, τὰ δὲ λέγοντος ἀκούειν ἐδόκουν· καὶ μόλις ἀνενεγκὼν, ἔγνων ὡς ὄναρ ἦν ἐκεῖνα, καὶ ἠπατήμεθα· οὐκοῦν γράφε πολλάκις, ἵνα τῆς θέας ἀποροῦντες, ὀνείρασιν εὐφραινώμεθα· ἐπειδήπερ καὶ δεινὸς ἐραστὴς τῶν παιδικῶν ἀτυχῶν, χρηστὸν ὄναρ εἶδε καὶ μεταβάλλεται· ἀλλὰ δέδοικα ταυτὶ λέγειν, μὴ καὶ νομίσας ἀληθῆ, φρονήματος ἐμπλησθεὶς, καὶ γένοιτο πάλιν σιγῶν· νόμιζε τοίνυν εἶναι ψευδῆ· καὶ μόνον λαλοῦντος ἀκούσομαι· τὸν δὲ φέροντα τὴν ἐπιστολὴν ἀνεψιὸν ὄντα καὶ κηδεστὴν, εἴ γε δεῖ τὸ μᾶλλον εἰπεῖν, εὐμενέσιν ἰδὼν ὀφθαλμοῖς· κἂν δέῃ, παρασχὼν αὐτῷ συμμαχοῦσαν τὴν γλῶτταν, ἐμοί τε πᾶν διδόναι ἐδόκει τῆς χάριτος.

## XVII. Τῷ αὐτῷ.

Ὅσης ἀπήλαυσε παρ' ὑμῶν τῆς εὐποιίας ὁ καλὸς Ζαχαρίας, αὐτός τε διηγεῖται, πολλάκις καὶ ἡμεῖς ἀκηκόαμεν· ἐδήλου δὲ καὶ τὰ ὑμέτερα γράμματα, πλὴν ἀλλὰ τῆς ἀληθείας ἐλάττονα· ὅπως ἂν οἶμαι δόξης τὰ χρηστὰ ποιεῖν εἰδέναι μᾶλλον ἢ λέγειν· ὅπερ οὐκ ἀπορία τοῦ λέγοντος, ἀλλὰ σώφρων αἰδὼς τὴν ἑαυτῆς ἀρετὴν ἐπικρύπτουσα· τὴν δὲ σὴν εἰς ἡμᾶς σπουδὴν καὶ πρὶν γενέσθαι πᾶσι βοῶ· καὶ ξένον οὐδὲν ἡμῖν ἅπαντα ἃ μὲν ἂν ἐλπίσωμεν γενέσθαι· καὶ μεγάλης οὔσης ἀεὶ τῆς ἐλπίδος, οὐκ ἐλέγχει ταύτην ἡ πεῖρα· ἐγὼ μὲν οὖν καὶ πλείω λέγειν ἐθέλω· σὺ δέ με παίζειν οὐκ οἶδ', ὅπως ἡγῇ, καὶ σιγήσομαι· τοσοῦτον γάρ σοι τὸ μέτριον, ὡς καὶ τὸν ἀληθῶς ἐπαινοῦντα παίζειν ἡγῇ· ἐγὼ δὲ οὔτε παίζων τῆς ἀληθείας ἐξίσταμαι, οὔτε ἀληθεύων τοῦ παίζειν, ἡνίκα δή μοι πρὸς τοὺς φιλοῦντας ὁ λόγος· ὥστε (δέχου) τοὺς ἐμοὺς ἐπαίνους· οὔτε γὰρ παντελῶς τῶν ἀπερριμμένων εἶ παρ' ἐμοί.

©BIU Santé

©BIU Santé



## XVIII. Δωροθέῳ.

Δεινός ἄρα τις ἦσθα τὰ σμικρὰ μεγάλα ποιεῖν, καὶ οἷς ἂν ἐθέλῃς καὶ μοῦσαν διδόναι· καί τοι ἐπαίνοις οὐχ οἷος ἐγὼ λέγειν, ἀλλ' οἷον προσήκει γενέσθαι· ἀλλὰ καὶ δι' ὧν μοι τοὺς λόγους αἰτῶν, ἀττικόν τι φθέγγῃ καὶ ταῖς χάρισιν ἀνειμένον πείθεις, ὡς μήτε ἑκὼν εἶναι τούτους ἐκπέμψαμεν, φόβῳ τοῦ μὴ παρά σοι κριτῇ τοὺς ἐμοὺς ἐλέγχεσθαι παῖδας· τὸ γὰρ ἡμέτερον παρ' εὐνοοῦσι μὲν δικασταῖς τυχὸν ἴσως μέγα· παρεξετάζειν δὲ βουλομένοις ἐναντίον δόξει· ἀλλά μοι γένοιο τὸ πρότερον· ὡς τὴν σὴν ἐπιστολὴν δεδιότες οἱ λόγοι, εἴα λανθάνειν ὦ πάτερ πολλάκις ἐβόων· ἐγὼ δὲ πολλάκις παρεμυθούμην οἴκοθεν οἴκαδε φοιτήσειν ἐπαγγελλόμενος· ἐπάγεται δὲ τούτῳ πολίτης ὑμέτερος, ᾧ τὰ μουσῶν μέλει· Δωρόθεος ὄνομα αὐτῷ, καὶ Πελαγίου τοῦτον ἐπονομάζουσιν.

## XIX. Ζαχαρίᾳ καὶ Φιλίππῳ ἀδελφοῖς.

Εὖ γε τῶν ὑμετέρων γραμμάτων· ὡς πρὸς εὐθυμίαν ὅσην ἡμῶν οἶδεν ἐπαίρειν τὴν γνώμην· τί γὰρ ἥδιον ἢ φθεγγομένων ἀκούειν ὅτε παρεῖναί τις ἂν αὐτῷ φθόγγοις προσηύξατο; ὡς ἔδει μὲν καὶ πάλαι τούτῳ τὴν τύχην ἐπινεῦσαι· γένοιτο δ' ἂν ποτε καὶ πρὸς πέρας ἔλθῃ βουλομένων ὑμῶν ὦ θεοί, ἐν ὅσῳ γε μὴν μέλλουσιν ἀνθ' ἑαυτῶν ἡμῖν χορηγεῖσθαι τὰ γράμματα, ἄλλῳ μὲν γὰρ ἐν ἡδονῇ Κροίσῳ τε εἶναι καὶ τἀκείνου κεκτῆσθαι, τῷ δὲ βασιλεῖ ὁ μέγας ἀκούειν· ἀλλ' ὁ τὰς χελιδόνας ἰδών, τὸ ἔαρ ἔχειν ὁρίζεται· ἐγὼ δὲ τῆς ὑμετέρας ἀπολαύων φωνῆς, μεῖζον ἐφρόνουν ἢ Κροῖσος ἐπὶ τοῖς ταλάντοις ἐκείνοις, καὶ βασιλεὺς ὁ μέγας ὑπὸ τῇ πλατάνῳ καθήμενος· καὶ ἀντὶ τῶν χελιδόνων αὐτάς μοι προσᾴδειν ἐδόκουν τὰς μούσας· ἀλλὰ γὰρ παύσομαι, μὴ τὴν ἡδονὴν ἄγαν ἐμφέρειν ἐθέ-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 232 sur 544

λων, σοφιστὴς οὕτω που τάχα δόξω τοῖς γράμμασι καὶ γε-
λῶντες ἀλλήλοις τοῦτο δὴ τὸ σύνηθες ἡμῖν ἐπίσης ὑφιπε·
πλὴν ὅτι μοι διπλασίαν ἐνεποίει τὴν ἡδονὴν τὸ κοινῇ προσε·
ρεῖν ὑμῖν· ὥσπερ τοὺς εἰς Δελφοὺς ἀφικομένους, ἐπειδὰν ὑμ-
νον εἰπόντες Ἀπόλλωνά τε σχοίεν τῷ λόγῳ, καὶ Ἄρτεμις ἅμα
μέρος ἦν τῆς ᾠδῆς· τοῦτο δὲ καὶ τοὺς θεοὺς ηὔφραινε μᾶλλον,
ἢ εἰ καθ' αὐτὸν τὶς ἀπολαβὼν ἑκάτερον ὕμνησεν· ἀδελφοὶ
γὰρ ὄντες, καὶ ταῖς ᾠδαῖς τοιοῦτοι μένειν ἠβούλοντο.

## XX. Ζαχαρίᾳ ἀδελφῷ.

Σὺ μὲν ἐγκαλεῖς ὡς παρῴχοντο τοὺς ἑταίρους αἱ ὧραι·
ἐγὼ δὲ ὡς καὶ πάρεισι πάλιν· τί τοίνυν ἔτι σιγᾷς; οὐ γαρ
ἱκανὸν εἰς ἀπολογίαν, προλαβεῖν τὶς καθ' αὐτοῦ τινος ἔγ-
κλημα· ἀλλ' ὅστις ἔνοχος ὤν, εἶτα τοῖς ἄλλοις μέμφεται,
ἂν ἀφέλῃς τὸ δῆθεν ἑτέρων κατηγορεῖν, ἑαυτὸν αἰτιᾶται· καὶ
μή μοι πρόσφερε τὴν ἐν Βυζαντίῳ διαγωγὴν σιγώντων ἡμῶν·
ἐμοὶ γὰρ καὶ πάμφυλος μάρτυς αὕτη ὡς πολλὰ μὲν ἔλεγεν,
ἤκουε δὲ οὐδέν· ἀλλ' εἴθε μοι πάλιν ἦν βῆμα σεμνὸν καὶ δι-
καστὴς ἀττικὸς καὶ σχῆμα λαμπρὸν Ἀθῆναι· ὅτε ῥητορικὴ
μὲν ἐπὶ σεμνῆς ἤκμαζε τύχης· Πλάτων δὲ πῶς ἂν εἴποιμι
μετρίως οὐκ ἔφερεν εὐτυχοῦσαν· γραφὴ γὰρ ἂν εὐθὺς ἀπέ-
κειτο κατὰ σοῦ· ὡς ἀδικεῖν τὴν Ἑλλάδα ῥητορικήν, ἐφ' ἧς
ἑστήκασιν αἱ πόλεις, οὐδέν ἐστι τί θέλεις παρελθὼν, κατη-
γόρει· ἀλλά μοι μικρὸν δίδου νεανιεύεσθαι· ἤδη γὰρ ὑπ' ὀρ-
γῆς καὶ λόγων κατηγορίας ἐμπίπλαμαι· καὶ τὴν ἀρχὴν, οὐκ ἂν
σιωπήσαιμι, οὐδὲν ἦν ἄρα δεινότερον ὦ δικασταί, ἢ ὅταν ἄν-
θρωπος τοῦτο λέγῃ κακῶς ὅθεν αὐτῷ προσῆλθεν, οἷος ἡμῖν
ὁ χρηστὸς οὑτοσὶ λέγων περὶ σοῦ κατὰ ῥητορικῆς τολμᾷ τι καὶ
φθέγγεσθαι· ἐξ ἧς αὐτῷ βίος εὐδαίμων καὶ φῆμαι· ὥστε κἂν
τὴν ψῆφον λάβῃ, νενίκηται ταύτῃ κρατῶν, ἐξ ἧς αὐτῷ τὸ

νικᾶν· καὶ μάρτυρι χρῆται τῷ Πλάτωνι ὃς τὴν ῥητορικὴν ἐσχάτῃ δίδωκε μοίρᾳ, καὶ εἰς ῥητόρων ὕβριν ἐχώρει πολύς· ταῦτα μαθόντας τοὺς τῷ λόγῳ δικαστὰς, οὐκ ἂν ἔτι προσθεῖναι τὸ τίμημα. Πῶλον δὲ καὶ Καλλικλέα λέγων, προστίθει τοῦ Πλάτωνος· τούτους γὰρ ἑαυτῷ δημιουργεῖ καθάπερ ἐν δράματι φθεγγομένους, ἃ δὴ συνέθεντο· εἰ δὲ μὴ, τὸν ἐν τῇ κωμῳδίᾳ δίδου Σωκράτην ἡγεῖσθαι. (*)

## XXI. Τῷ αὐτῷ.

Δέχου τὴν παροῦσαν ἐπιστολὴν, χρονίαν μὲν ἀλλ' ὅμως θαρρεῖσαν ὅτι παρὰ φίλων ἀφίκηται· οὐκοῦν μὴ ψεύσῃς αὐτὴν τῆς ἐλπίδος, ἀποστρεφόμενός τε καὶ τὰς ὀφρῦς συνάγων αὐτῇ· ἐπεὶ καὶ τοὺς ἐρῶντας φασὶ χρόνῳ καὶ μόλις ἐπιτυχόντας, ὑπὸ τῆς παρούσης ἡδονῆς τῶν προλαβόντων πόνων ἐπιλανθάνεσθαι· εἰ δὲ σκυθρωπὸς πρὸς ταύτην φανείης, λυπηρὸν μὲν ὅλον, λέξω δ' ὅμως· δέδοικα γὰρ μὴ οὐδὲ ἄλλη πρὸς σὲ ῥᾳδίως ἀφίξεται, ὑβριστήν τε νομίζουσα, καὶ τὴν προλαβοῦσαν οἷα πέπονθε λογιζομένη.

---

(*) Epistola quae in editis est LII. incipitque νῦν ὄντως ἔγνων, ὡς οὐκ ἦν ἄρα λόγος ἀλλ' ἔργον ἡ φήμη, lacunam prae se fert in libris itemque in codice regio vat. 139. p. 231. b. sic ὃν ἐν ταῖς εὐ . . . . ακούειν· καί τοι γε etc. Porro quae continuatur pars epistolae in libris et in praedicto codice sine dubio aliena est ab hac epistola importuneque adsuta. Bandinius nihil aliud adnotavit, nisi hanc epistolam aliquantum in medio diversam esse, scilicet a codice laurentiano. Ecce autem in vaticano praestante 306. (p. 106) qui mihi tot ineditas Procopii epistolas suppeditat, ita se habet genuina eius epistolae clausula (neque aliter in laurentiano codice legi auguror) ὃν ἐν ταῖς εὐτυχίαις μᾶλλον ὁρῶ μετριώτερον· ὅθεν ἀεὶ καὶ τὰ μείζω προσδέχομαι· τοῖς γὰρ τοιούτοις ἐπιμετρεῖται πάντως ἡ τύχη, μηδὲν τῶν προλαβόντων βασκαίνουσα. Sequitur epistola δέχου τὴν παροῦσαν ἐπιστολήν.

©BIU Santé



## XXII. Θωμᾷ ἀδελφῷ.

Ἔοικα τῶν ὑμετέρων γραμμάτων μετειληφὼς, οὐ μένειν ἐφ' οἷς πω καὶ πρότερον, ἀλλὰ τρυφᾷν τῷ καιρῷ· καὶ ἕρμαιον ἡγεῖσθαι τὴν ἀφορμήν· ἰδοὺ γάρ σοι τῶν αἰτούντων ἐξαίφνης ἐγώ· σὺ δὲ τὸ τάχος οἶμαι θαυμάζων, ταχὺ τὸ τῆς κωμῳδίας ἐρεῖς· ἀλλ' ἐγὼ δεινὸν ἡγούμην εἰ τὸν χρόνον περισκοπῶν, οὐκ αἰτήσω θᾶττον ὃ καὶ σοὶ διδόναι κἀμοὶ λαβεῖν εὐπρεπές. Αἰνείας γὰρ ὁ τὴν ἐπιστολὴν ἡμῶν ἐπιδιδοὺς, πολίτης ἐστὶν ἡμέτερος, ὃν εὐτυχεῖν βούλομαι δι' ὑμῶν· γένους τε γὰρ ἔχει καλῶς, καὶ τὸν τρόπον ἐστὶν ἐλεύθερος, καὶ τέχνην οἶδε τοὺς νόμους· βούλεται δὲ τοσοῦτον ἀπολαύειν τῆς τέχνης, ὡς θεῷ, καὶ τὴν γνώμην μένειν ἐλεύθερον· οὐ γὰρ οὐδὲ κέρδος τοσοῦτον εὐφραίνειν, μὴ μετὰ δικαίου γενόμενον· πάρεστι δὲ τοῦτο καὶ τῇ πείρᾳ μαθεῖν· πόλεων γάρ τινων ἐπὶ τοῖς δικαίοις προβεβλημένος, καὶ τὴν ἐκδίκου προσηγορίαν λαβὼν, οὕτως ἐμιμήσατο τοὺς νόμους, ὥστε καὶ συκοφάντου φύσιν ἐνίκησεν· οὐδεὶς γὰρ οὐδόλου οὐδὲ ἀδίκως ἐμέμψατο, ἀλλὰ τοῦτο τάχα καὶ γέλως ἐδόκει τοῖς ἄρχουσι πρὸ ὑμῶν· μόνου γὰρ ἦσαν τοῦ λαβεῖν· ὁ δὲ τῶν διδόντων οὐκ ἦν· ὅθεν ὁ μὲν ἐπαύετο, ἕτεροι δὲ ἦσαν ὡς εἰκὸς ἄξια δρῶντες ὧν ἐδεδώκεισαν· βούλεται δὲ νῦν ἐπὶ τῆς αὐτῆς τύχης γενέσθαι, δωρεὰν ὑμῖν προσάγων τὸ δικαίαν ἔχειν τὴν γνώμην· ἆρά σοι τοῦ αἰτεῖν ἐκ μητρὸς ἡκόντων κατάρχομαι; οὐκοῦν εἰ θαυμάζεις τὴν αἴτησιν, τίμα ταύτην τοῖς λόγοις.

## XXIII. Τῷ αὐτῷ.

Ἐγώ σου τὴν ἐπιστολὴν ἀσμένως ἰδὼν ὥσπερ εἰκὸς, ἐπαινεῖν δὲ πρὸς ἀξίαν οὐκ ἔχων, μικροῦ δεῖν σοι τὴν αὐτὴν ἀντεπέθηκα, τοὐπιγεγραμμένον μεταβαλών· οἷς γὰρ τὰ μὲν θαυ-

μάζων ἐπέστειλας, τῶν σῶν ἐπαίνων ἀκούειν ἐδόκουν· καί μοι τι παραπλήσιον ἐδόκεις ποιεῖν, ὡς ἂν εἰ καὶ τὸν Θερσίτην ἐθαύμαζεν ὁ Νιρεὺς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε· ὅθεν αἰδώς μοι προσέπιπτε τῶν ἐπαίνων· πλὴν οὐχ ὥστε μὴ χαίρειν τῷ πράγματι· ἡ γὰρ ἐπιστολὴ δι' ὧν δῆθεν ἐπῄνει τὰ ἐμὰ, ὡραΐζετό τε, καὶ πρὸς μείζω πόθον ἐκίνει τὸν ἐραστήν· ἀλλὰ καὶ τὴν πρεσβείαν οὐ μετρίως ἐτήρα τοῖς γράμμασιν· εἰ δὲ πρεσβεύων ἐπαινοῦμαι, τίς ἂν εἴην αὐτὸς ἐπινεύσας; ὅθεν γὰρ μεῖζον τοῦ αἰτεῖν τὸ διδόναι, τοσοῦτον ἀρετῆς λόγον ὁ διδόναι μέλλων τὸν ἡττηκότα νικᾷ· ὁ δὲ λογιώτατος Αἰνείας ὡς ἤδη λαβὼν ἀνυμνεῖ· ἤδη γὰρ ἡμῶν εἰς πεῖραν ἐλθὼν, ἐν ἴσῳ τὸ μέλλον τῷ πραχθέντι λογίζεται· εἰ δὲ πρὶν λαβεῖν κηρύττει, τίς ἂν γένοιτο τοῦ ποθουμένου τυχών; καί ποτε τὰ σὰ διηγούμενος προσθήσει πάντως, ὡς καὶ τῷ τάχει διπλασιάζειν ἔδει τὰς χάριτας· τὸν δὲ βέλτιστον Μέγαν, εἴπερ οἷόν τε ἦν αὐθήμερον μετασκευάζειν εἰς ῥήτορας, οὐκ ἂν ἡμῖν ἔδει δευτέρας ἡμέρας.

## XXIV. Ζαχαρίᾳ καὶ Φιλίππῳ ἀδελφοῖς.

Τὸν θαυμαστὸν Ἰουλιανὸν καὶ ἄλλως μὲν ἠγάπων· ἱκανὸς γὰρ ἐφέλκεσθαι πάντας εὐτυχοῦντα πρὸς πόθον· πολὺ δὲ μᾶλλον ἤσθην ὅτι μοι καὶ πρὸς ὑμετέρων γραμμάτων γέγονε πρόφασις· τούτου γὰρ εἴ ποτε λαβοίμην, ἐπὶ τὸν Κινύραν εἶναι δοκῶ· αἰτεῖ δὲ δυσχερὲς οὐδέν· ἀλλὰ τῷ με παρεῖναι κακεῖσε βουλόμενος, δι' ὑμῶν ἐλπίζει τοῦτο γενέσθαι, ὅπερ πάντως κἀγώ· ἐγὼ δὲ οὐδὲν ἂν ὅ τι μὴ παρὼν ἐγινόμην· τὸν δὲ κονσιστόριον, ὅ τι μέν ἐστιν ἀγνοῶ· ῥωμαϊκῷ γὰρ κόσμῳ προσβάλλει τὴν ἐμὴν ἀκοήν· δι' ὑμᾶς δὲ καὶ τοὔνομα φιλῶ, καὶ θεῖον ὄντως αὐτὸ βουλοίμην ὑπάρχειν· καὶ τιμῶ προσηγορίαν, ἧς τὸ ἔργον ἠγνόηκα· εἰ δὲ καὶ μεταβέβληταί σοι πρὸς τὸ μεῖ-

©BIU Santé



ζον ἡ τύχη, ἀλλὰ μεῖναι ὅπερ εἴωθα πάλαι τοῖς ἔργοις, ἵνα μή σε ἀλάζονα κονσιστοριανὸν ὀνομάσω.

## XXV. Ζαχαρίᾳ.

Ἡ πατρὶς, σὺν θεῷ δὲ εἰρήσθω, εὐμενέσιν εἶδεν ἡμᾶς ὀφθαλμοῖς· τοὺς γὰρ ἐπιτηδείους παρέστησεν ὁποίους ηὐχόμην ἰδεῖν· βραχὺ δὲ διαλιποῦσα θέατρα μοι συνῆγε καὶ κρότους ἐκίνει· καὶ μέ τις φήμη λαβοῦσα διὰ πάντων ἤδε στομάτων, εἴ τι ὡς καὶ νεανιεύεσθαι δοκῶ· καὶ τὸν νοῦν ἐπήρθη τοῖς κρότοις, καὶ τὸ σοφιστικὸν ἀτεχνῶς ἔχειν, ὡς ἂν αὐτὸς εἴποις· σὺ μὲν οὖν σκῶπτε τοιαῦτα· ἐγὼ δὲ οὐκ ἀνέξομαι μὴ οὐ λαμπρὸς εἶναι, καὶ τὴν ὀφρὺν ἄνω φέρειν, καὶ τῷ τῆς ἐμῆς τέχνης ἕπεσθαι νόμῳ· ταῦτα μὲν οὖν μοι πεπαίχθω, ὡς ἂν σοι καὶ τοῦ σκώπτειν συνήθως ὕλην παράσχω· εὐφραίνεις γάρ με σκώπτων, εὖ ἴσθι, ἢ πολλοῖς ἐπαίνοις βάλλοντες ἕτεροι.

## XXVI. Φιλίππῳ ἀδελφῷ.

Ἰδού σοι καὶ πάλιν ἕτερα γράμματα· τί παθὼν οὐκ οἶδα, πάλιν σιγᾷς· εἰ μὲν γὰρ σχολὴν οὐκ ἄγειν ἐρεῖς, ἀλλά σοι διὰ παντὸς ἡ τέχνη φέρει τι κέρδος, δεινὸν μὲν οἶμαι δεινὸν, εἰ μὴ δὲ βραχὺ τοῦ παντὸς ἔτους ἡμῖν παρέχεις σεαυτόν· ἀλλ' οὖν συνήδομαί γέ σοι τῆς ἀσχολίας· εἰ δὲ πλουτῶν ἄλλως ἀπὸ τῆς τέχνης σιγᾷς, συγχαίρω μέν σοι καὶ τούτου· οὐ μὴν ἐβουλόμην σε τοσοῦτον πλουτεῖν ὡς καθ' ἡμῶν ἐπῆρθαι, καὶ μηκέτ' εἰδέναι τοὺς πάλαι φιλτάτους· καί τοι κεχήναμεν γέ σου τοῖς γράμμασι· καὶ πρὸς τὴν θάλατταν ὁρῶμεν, οὐχ ἧττον ἢ Φυλλὶς τὸν Δημοφῶντα καλοῦσα τὸν ἄδικον ἐκεῖνον καὶ ἀντερᾶν οὐκ εἰδότα· ὃς ἐπειδὴ νυμφίος ἦν ἀρτίως καὶ ηὔξει τῇ Φυλλίδι τὸν ἔρωτα, ᾤχετο τὴν παστάδα καταλιπών·

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 237 sur 544

©BIU Santé



ἡ μὴν ὡς ἥξει πάλιν ἐλπίδας διδούς· ὡς δ' οὖν ἀμείφθη καὶ ᾤχητο, ὁ μὲν εὐθὺς μετεβοήθη, καὶ τὴν Φυλλίδα πάλιν οὐκ εἶδεν· ἡ δὲ πρὸς θάλατταν ἐδάκρυε, καὶ τὰς ὁλκάδας ἠρίθμει μή ποτέ τις αὐτῶν τὸν Δημοφῶντα κομίζοιτο. ἀλλὰ γὰρ τὸ καθ' ἡμᾶς οἶμαι δεινότερον ἐστίν· ὁ μὲν γὰρ οὐκ ἤθελεν ἔτι παρεῖναι, σὺ δὲ οὐ μακρὰν ἀπὼν ἐπιστέλλειν.

## XXVII. Κωνσταντίνῳ.

Ἔτι παρὰ τὸν Νεῖλον οἰκῶν τὴν καλὴν ἐκείνην ἐπιστολὴν ἐδεξάμην· οἷον δὲ περὶ ταύτης συνέβη, οὐ καλῶς ἂν ἔχοι σιγῇ παρελθεῖν· ὡς γὰρ ἐπέδωκέ μοι ταύτην ὁ φέρων, καὶ προσετίθει δὲ καὶ πόθεν, πάσχω τι πάθος ἐρώντων· βραχὺ γὰρ ἀποπλανηθεὶς τοῦ εἰκότος, ἤδη σε καὶ παρεῖναί μοι πάντως ἐδόκουν· καὶ τοίνυν ὦ φίλτατε βροτῶν ἔφην ὡς ἀπὼν ἄγαν ἐλύπεις· καὶ νῦν ποθοῦσιν ἀφῖξαι· ὡς τὰ δὲ τοιαῦτα πολλάκις εἶπον, τοῖς παροῦσιν ὑποψίαν παρέχων τοῦ πράγματος· καὶ δὴ τί πάσχεις ἔφησαν; οὐ γὰρ δή σοι καὶ παρὼν ἐκεῖνος τυγχάνει· εἰς δὲ μνήμην ἐλθὼν ἐμαυτοῦ ἠνιάθην, οἷα δή τις ἐκπεσὼν τῆς τοιαύτης ἐλπίδος, καὶ βραχὺ δακρύσας ἔγνων ὁποῖον ἔρως ἰσχύει, καὶ ὅτι πλάνη τις ἦν παραμυθουμένη τὸν λογισμόν· ὡς δὲ τὴν ἐπιστολὴν ἀναλύσας ἐσκόπουν, ἥσθην τοσοῦτον ὡς ὅτε τοῦ παρόντος ἑκὼν ἀφιστάμην, μὴ καὶ πάλιν πολλάκις εἰπών, καὶ ὁ τῶν μελλόντων με κατέπειγε πόθος.

## XXVIII. Οὐλπίῳ.

Band. Ὀλυμπίῳ.

Τὸν θαυμαστὸν Στρατήγιον καὶ πρότερον ἤδη φιλῶν, νῦν ἔτι καὶ μᾶλλον ἠγάπησα, διότι τῶν πρὸς ἀλλήλους ἡμῖν γραμμάτων ὑπῆρξεν ὑπόθεσις· τὴν γὰρ προτέραν σιωπὴν μεταστή-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 238 sur 544

©BIU Santé



σας, δέδωκεν ἡμῖν εἰπεῖν τι πρὸς σέ· καὶ φθεγγομένου πάλιν ἀκούσας· εἰ δὲ καὶ σοὶ καθ' ἡδονὴν τὰ ἡμέτερα γράμματα, τίμα δὲ τούτων τὴν αἰτίαν, ἤδη μὲν ὑμῖν χάριν ὁμολογοῦντα τῆς προλαβούσης σπουδῆς, μᾶλλον δὲ κηρύξαντα τὴν εὐεργεσίαν, εἰ πρὸς τέλος ἐνέγκοι τὴν χάριν· ἀλλ' ἐπίδειξαί τι νεανικὸν κατὰ τῶν ἀδικούντων, ὅπως ἂν αἴσθοιντο πάντες, οἵους ἄρα τοὺς φίλους ἔχων ἐλάνθανον· τὸν δὲ ὑμέτερον ἀδελφὸν καὶ πρὶν μὲν ἰδεῖν ἠπιστάμην· ἐγνώρισε γάρ μοι τοῦτον πολλάκις ἡ φήμη· νυνὶ δὲ μᾶλλον ἐθαύμασα τῇ πείρᾳ μαθών· καὶ τοῦτο ἰδών σε δι' ἑτέρου σώματος ἔχειν ἡγούμην· καὶ μακρὰν ἀπών, δι' ἄλλης ἡμῖν εἰκόνος ἐδόκεις παρεῖναι.

## XXIX. Σωσιανῷ.

Ἔπρεπε κἀμὲ θαῤῥοῦντα, χαίρειν αἰτεῖν παρὰ σοῦ· καὶ σὲ προθύμως διδόναι ἀμφοτέροις ἁρμόττον, ἐμοὶ μὲν λέγειν ὅτου δέοι, σοὶ δὲ πρὸς λόγον ἐκφέρειν· Στρατήγιος γὰρ ἀπήγγειλέ μοι τοσαύτην ὑμῶν γεγενῆσθαι τὴν εἰς αὐτὸν προθυμίαν, ὥστε τὰ ἐπὶ σοὶ καὶ πέρας ἔσχε ἡ δίκη καὶ νενικήκαμεν· ἀλλ' ὅπως καὶ τοῖς ἔργοις γένοιτο ταῦτα· τοσοῦτον γὰρ θαῤῥῶ διὰ σοῦ τὸ πέρας ἐλπίζων, ὥστε καὶ πρὸ τέλους ἤδη λόγους ζητῶ, δι' ὧν ὁμολογήσω τὴν χάριν.

## XXX. Οὐλπίῳ.

Baud. Ὀλυμπίῳ.

Πολλὴν ἡμῖν κατὰ σοῦ μελετωμένην κατηγορίαν διέφυγες· ὡς γὰρ ἧκεν ὁ Στρατήγιος, γράμματα δὲ οὐκ εἶχεν, ἠρυθρία μὲν ἡμῖν προσελθεῖν· πῶς γὰρ οὐκ ἔμελλε; πολλάκις δὲ διαφεύγων, μόλις ἑάλω· καὶ δὴ βδελυρὸν αὐτὸν καὶ θεοῖς ἐχθρὸν ἀπεκάλουν, ὅτι πρὸς ἡμᾶς ἀφιγμένος, οὐδὲν περὶ ὑμῶν τῶν φιλτάτων ἀπήγγειλε, περὶ ὧν πολλάκις ηὐχό-

©BIU Santé



μὴν ἀκούειν· ἀλλ' ὅμως ἐκεῖνος τὴν ἀπολογίαν ἱκανῶς ἐποιεῖτο· καὶ γὰρ αἴτιον ἔλεγε τὴν φυγὴν, ὅτι γράμματα μὴ κομίζοι· κἀκείνῳ μὲν συγγνώμην ἐδίδων, ἐπὶ τούτοις ἐρυθριῶντι· ἔλεγον δὲ πρὸς ἐμαυτὸν, ὅσα δὴ φέρειν καὶ μεταβάλλειν οἶδεν ὁ χρόνος· Οὔλπιος γὰρ ὁ καλὸς ἡνίκα μὲν ἡμῖν τῆς παλαιᾶς ἐκοινώνει τύχης, φίλος τε ἦν καὶ ἐδόκει, καὶ οὐκ ἄν ποτε ᾤμην ὡς μεταβάλλοιτο· ὡς δὲ λαμπρὸς ἤρθη καὶ γέγονε μέγας, ἀφόρητός ἐστιν εὐτυχῶν, καὶ τῆς πρώην ἐκείνων ἐπιλανθάνεται· εὐτυχοίη δὲ μόνον, καὶ μετρίως οἴσομεν παρορώμενοι· ταῦτα καὶ τὰ τοιαῦτα λέγων, πολλὴν κατὰ σοῦ κατηγορίαν συνέλεγον· ὡς δέ τις ἐλθὼν τὴν παρ' ὑμῶν ἐπιστολὴν ἐπεδίδου, πρῶτον μὲν πρὶν λύσαι πολλάκις τὴν ἐπιγραφὴν ἠσπαζόμην· εἶτα τοῖς [γράμμασι] περιτυχὼν, καὶ τὴν ἀπολογίαν τῆς βράδους εὑρὼν, ἤθλην σὺ μετρίως· καὶ μετέμελέν μοι τῶν πρώην ῥημάτων· ἔλεγον δὲ μᾶλλον, φεῦ ὡς πολλὰ μᾶλλον ὑποπτεύουσιν ἄνθρωποι· τὸν θαυμαστὸν γὰρ ἡμῖν Οὔλπιον μετέβαλλεν οὔτε χρόνος οὔτε ἡ τύχη, ἀλλ' εὐγνώμων τέ ἐστιν, κἀμὲ τὸν εὐεργέτην ἐπίσταται· ἀλλ' ὅμως μὴ πάλιν σιγῶν αὖθις ἡμᾶς εἰς τὴν κατηγορίαν ἐνέγκαις.

## XXXI. Σιλανῷ.

Band. Σιλβανῷ.

Ἐξέκρουσας ἡμᾶς ἐλπίδος, οὐδ' ἂν εἰπεῖν ἔχοις ὁπόσης· ἐγὼ γάρ σου τὴν προτέραν ἐπιστολὴν εἰς χεῖρας λαβὼν, καὶ γνοὺς ἐξ αὐτῆς ὡς μικρὸν ὕστερον ἡμῖν ἐπανήξεις, ἤθλην τε καὶ μέγα ὑφ' ἡδονῆς ἀναπνεύσας ἔφην, ὦ Ζεῦ γένοιτο ταῦτα· τοιγαροῦν μετέωρος ἦν ὁσημέραι καὶ ἐπὶ κυφῆς ἔβαινον τῆς ἐλπίδος, πυκνὰ δὲ λέγων· ἆρα ποτὲ ὄψομαι καὶ προσείπω χρόνιον, καὶ γενοίμην αὖθις ἐκεῖνος· ὡς δὲ χρόνος ἦν παρ' ἐλπίδας, οὐδὲ γράψαι ἠξίους, ἐρέθισμα φησὶν ἔρωτος τοῦτο ποιῶν, ὅπως ἂν καταφρονεῖσθαι δοκῶν, ἔτι μᾶλλον

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 240 sur 544

©BIU Santé



ἐπείγοιο πρὸς ἡμᾶς, ὀνειδίσαι θέλων τὸ μὴ φίλων μεμνῆσθαι· καί μοι δοκεῖς Στρατοκλῆς ἡμῖν ὁ ῥήτωρ γενέσθαι· ἐκεῖνος γὰρ ἡττωμένοις τοῖς Ἀθηναίοις καὶ τὴν τύχην ἀγνοοῦσι, νίκην ἀπήγγειλεν· εὐθὺς οὖν ἡ πόλις ὀρθὴ, καὶ παίζειν ἀνεῖτο, καὶ δυστυχοῦντες εὐφραίνοντο· ὡς δὲ τἀληθὲς ἠγγέλθη, καὶ τὸ δοκεῖν ἦν οὐκέτι, τί γάρ φησιν ὁ Στρατοκλῆς ἠδίκουν, εἰ δυοῖν ἡμέραιν ἡδίους γεγόνατε δι' ἐμὲ; καὶ κέρδος ἦν τὸ δοκεῖν· ἀλλ' ἐπειδὴ μητρὸς πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον τῷ Πινδάρῳ * δοκεῖ, ἴδοι σε θᾶττον ἡ πατρὶς καὶ μετ' ἐκείνην ἡμεῖς.

* Isth. 1. 2

## XXXII. Φιλίππῳ ἀδελφῷ.

Ἰδού σοι πάλιν ἐπιστολὴ παρ' ἡμῶν· καὶ πάλιν εὖ οἶδ' ὅ τι σιγήσας· καὶ εἴ μοι δοίης συγγνώμην ἀχθομένῳ λέγειν, μεταβέβληταί σοι πρὸς ἀλαζονείαν ὁ τρόπος, καὶ οὐ θέλεις μένειν οἷος ἦσθα καὶ πρότερον· ἀλλ' εὖ γε ὅτι μὴ τὴν τοῦ Βοσπόρου διέπλευσα θάλατταν, καὶ βασιλέως πόλιν ἀφῖγμαι· ἴσως γὰρ ἂν κἀγὼ βασιλέα τὸν μέγαν ὁρῶν, καὶ τὴν ὑπάτων στολὴν, καὶ ἀρχὴν δή τινα μεγίστην καλουμένην, καὶ τὰ σεμνὰ δὴ ταῦτα παρ' ὑμῶν, εἴ τε πράγματα βούλει λέγειν εἴτε ὀνόματα, ἐπῇρα τὴν ὀφρὺν καὶ νεανικὸν ἐφρόνουν, πρὸς τὴν τῶν ὁρωμένων ἐπαιρόμενος τύχην, καί μοι τὰ πάλαι φίλα λῆρος ἐδόκει· ὅπου γὰρ καὶ τούτοις ἑάλως, οὐκ ἂν εἴποιμι ῥᾳδίως ὡς διέφυγον ἂν τὸ μὴ οὐ ταῦτα παθεῖν, εἰ μὴ καί τις λογισμὸς ὑπεισῆλθεν, ὡς οὐ ταυτὸν ὦ λῷστε γνώμη καὶ τύχη· ἀλλ' ἡ μὲν ὡς ἂν αὐτῇ δοκῇ φέρεται, καὶ μεταπίπτει πολλάκις καὶ γελᾷ τὰ ἡμέτερα· τὸ δὲ κύριον εἶναι προσήκει τὸν σωφρονοῦντα, καὶ μή τε αἰρομένῃ συναναστῆναι, μή τε πιπτούσῃ συμμεταβάλλεσθαι.



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 241 sur 544

## XXXIII. Ζαχαρίᾳ ἀδελφῷ.

Τίς ἂν γενοίμην ἐραστὴν καὶ ἀδελφὸν κατηγοροῦντα λαβὼν, καὶ μηδὲν ἔχειν οἰόμενον ὅ τι καὶ λέξομεν; τί γὰρ δὴ φής; ῥήτορες ἡμεῖς καὶ θυγατέρων πατέρες πολλῶν· τὰς γὰρ ἐπιστολὰς οὕτως ὀνομάζειν ἐδόκει· ἀλλ' ἦν φὴς πάλαι ταῦτα, νῦν γὰρ οὐκέτι· ἀλλ' ὑβρισταί τινες ὑμεῖς, καὶ θεσμὸν ἀτιμάζοντες ἔρωτος· ἀλλ' εἰ μὲν ἦν τις ποιητικὸς, τὸν Ἀπόλλωνα δήπου καὶ τὰς μούσας ἐκάλουν· δῶντέ μοι λέγων εἰπεῖν καὶ παῖδας, καὶ μὴ ἄδικον φανῆναι τὰ παιδικά· νυνὶ δὲ μιμήσομαι γοῦν τι ποιητικὸν, καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι, θεοὶ δ' ἐπιμάρτυρες ἔστων, μὴ οὕτως ἔχειν τὰ καθ' ἡμᾶς ὥς που καὶ λέγεται· ἀλλὰ γὰρ ἐπὶ φιλίας ἡμῶν αἰδὼς καὶ μνήμη φιλτάτων· τί οὖν φὴς ἡ σιγή; δέδοικα μή τις ἄδικος τύχη ταῖς ἐμαῖς ἐπικωμάζῃ, γοναῖς· καὶ πρὸς σὲ τὰς ἐμὰς παῖδας ἐπείγομαι, ἄλλην ἄλλοτε φέρειν· καί που ξένων ταύτας ἠνέγκαντο χεῖρες, ἀγνοούντων τίνες αὗται καὶ πόθεν· ἀλλὰ γὰρ ἀτυχῶν ἐπὶ ταύταις καὶ ἀγνώμων ἐδόκουν καὶ κρίνομαι· τὰς μὲν οὖν ἄλλας τίς ἂν τις ἀνιῷτο λέγων; ἀλλὰ χθές που καὶ πρώην ἐστάλη τίς ὡς σὲ, τοὺς ἐμοὺς ἀγῶνας διηγουμένη· καὶ νῦν ὡς ἔοικε ξένη τις πλανᾶται καὶ ἔρημος· ἀλλ' ἥκοι ποτὲ χεῖρας ὡς σὰς, καὶ εὐφραινοίμην ἀκούσας· τὰ δὲ σὰ δῶρα λαβὼν ἥσθην ἐπὶ τούτοις, οὐχ ἧττον ἢ Ὀδυσσεὺς μὲν Ἀλκίνου φιλοτιμίαν ὁρῶν· ἐκεῖ μὲν γὰρ τὸ λαβεῖν εἶχε μόνον, παρ' ἡμῖν δὲ ἄμφω· ὅτι σὺ μὲν δίδως, ἐγὼ δὲ λαμβάνω.

## XXXIV. Ἐπιφανίῳ.

Ἔτι σιγᾷς; ἔτι τῶν ἀπερριμμένων ἡμεῖς; οὐδέ σε παλαιῶν ἐρώτων ὑπεισῆλθεν οὐδέν; νηλεὴς σύ γέ τι καὶ ἀμειλι-

©BIU Santé

χος ἀνάλαβέ μοι τὴν μνήμην, ὡς οὐκέτι τοιαύταις ἡμῖν ἀπήρας ἐλπίσιν· ἀλλ' ἐδάκρυες μὲν οἶμαι καὶ μόλις ἀπήχου· γράψειν διομολογεῖς μικροῦ δεῖν καὶ πρὶν ἐπιβῆναι τῆς γῆς· νυνὶ δὲ οἴχεται μὲν ἐκεῖνα, σιωπᾷς δὲ μόνον· ἡμῶν δὲ λόγος οὐδείς· εἰ δὲ σιωπήσεις ἔτι, ἀναβοήσομαί τι τραγικὸν ἰὼ Ζεῦ λέγων καὶ φιλία καὶ λόγοι· ἠδίκησθε μὲν ὑμεῖς· ἠδίκημαι δὲ ἐγώ· ὁ δὲ ἀδικῶν ἦν ὅτε φίλον ἐκάλει· νῦν γὰρ οὐκέτι.

## XXXV. Ἰωάννῃ.

Εἰ τὴν φιλίαν ἐψευσμένην δείκνυσι τὸ σιγᾶν, ἀνάγκη μέχρι λόγων αὐτὴν ἀεὶ συνεστάναι· εἴ γε τούτων ἀπόντων ἐλέγχεται, οὐκοῦν λείπεται καὶ τὸν δυσμενῆ φίλον ἡγεῖσθαι, μόνον ἀεὶ φθέγγοιτο· ἀλλὰ μὴ τοιοῦτοι κριταὶ φιλίας ἡμεῖς· τί γὰρ κωλύει καὶ σιωπῶντα τῇ μνήμῃ τοὺς φίλους ὁρᾶν; ὅπερ ἡμῖν καὶ νῦν ἐστι καὶ οὔποτε παύσεται· λογισώμεθα δὲ μᾶλλον ὡς οὐ δέδοται πάντα πράττειν ὡς ἕκαστος βούλεται· ἔξωθεν δὲ φροντίδες τοῦ βίου καὶ τὸ τοῦ μέλλοντος ἄδηλον ἐπικρατοῦσιν ἔσθ' ὅτε τοῦ λογισμοῦ· καὶ τὰ μὲν ἄγει, ὁ δὲ βουλεύει καὶ πείθεται· κἀμοὶ τοίνυν, ἐπειδὴ τοῦ διδάσκειν ἐπέβην, ἀγῶνές τε συνεχεῖς, καὶ αἱ περὶ τούτων φροντίδες ἐξ ἀρχῆς ἐπέθεντο, καὶ μέχρι νῦν οὐκ ἀπέλιπον· ταῦτα μᾶλλον ἐχρῆν ἐνθυμεῖσθαι, ἢ ἐπὶ μικροῖς ὑποπτεύειν ὡς ἦμεν ἀγαθοί τε πρὸς φιλίαν· καὶ νῦν ἤδη πεπαύμεθα· ἀλλ' ὦ Ζεῦ, καὶ ἔρωτες, καὶ ὅσοι φιλίας ἐπόπται, πείθοιτε τοὺς ἐμοὺς κατηγόρους· οὔποτε πρὸς λήθην αὐτῶν ἀφικόμην, ἀλλὰ σύνειμι τῷ λογισμῷ, καὶ λέγειν τί δοκῶ, καὶ λεγόντων ἀκούειν· καὶ ὡς εἰ τούτους ἀγνοῶ, καὶ ἐμαυτοῦ ἐπιλήσομαι.



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 243 sur 544

## XXXVI. Ζαχαρίᾳ καὶ Φιλίππῳ ἀδελφοῖς.

Ὅσῳ τῷ περὶ ἡμᾶς κεκράτημαι πόθῳ, πῶς ἂν δυναίμην παραστῆσαι τῷ λόγῳ, πλὴν εἰ μή που παραπλήσια τυγχάνετε πεπονθότες; ὁ γὰρ πεπονθὼς τὰ περὶ τοῦ κρίνειν ἐπίσταται· πέπεισμαι δὲ τοιοῦτος ἐστὶ, καὶ νόμον διασώζειν φιλίας ἅμα καὶ φύσεως ἐξ ὧν καὶ γράφετε καὶ παραμυθεῖσθε τοῖς γράμμασιν· ἐμοὶ δ᾽ οὖν ὅμως ἠπορημένῳ τῷ πάθει, καὶ τοιοῦτόν τι πολλάκις ἐπῆλθεν εἰπεῖν· εἴθε γενοίμην Περσεὺς καὶ φανείην ὑπόπτερος τὸν ἀέρα τέμνων, καὶ ὑπὸ τῆς θαλάσσης φερόμενος, ὅπως ἂν ἅμα τε δοκῇ, καὶ γίνωμαι παρ᾽ ὑμῖν καὶ ἀπονaίμην τοῦ ἔρωτος· παρὰ φύσιν μὲν, ἀλλ᾽ οὐ πόῤῥω ποθούντων ἡ γνώμη πλανᾶσθαί τε ῥᾳδίως καὶ ὀνειροπολεῖν ἃ πέφυκε γίνεσθαι· εἰ δέ μου πάλιν μυθολογοῦντος ἀνάσχῃ, ἤδη καὶ τὸν Ἄβαριν πολλάκις ἐζήλωσα, σκύθην μὲν ὄντα καὶ βάρβαρον, σοφὸν δὲ ἄλλως, εἰ δὲ θέλεις εὐδαίμονα· ὅτι τὸν ὀϊστὸν ἔχων ὑπερητοῦντα τῇ γνώμῃ, παρ᾽ οὓς ἤθελεν ἤγετο· καὶ ὁδοῦ μῆκος οὐδὲν παρελύπει τὸν Ἄβαριν· ἀλλὰ τί μοι τὰ πόῤῥω παρὰ φύσιν ζητεῖν; μόνον ἡμῖν λείπεται πρὸς παραμυθίαν τὰ γράμματα· Περσεὺς δὲ καὶ Ἄβαρις ποιηταῖς δεδόσθω καὶ μύθοις.

## XXXVII. Ἐπιφανίῳ.

Εἰ λαλούντων ἡμῶν σιωπᾷς, γράφεις δὲ σιωπώντων, δέδοικα γράφων, εἴ γε δέῃ πάντως ἢ λαλεῖν ἀφώνοις, ἢ σιωπῶντας ἀκούειν· καί τοι γε τὸ ἐπιστέλλειν ὡς εἰκὸς, ἐμηχανήσαντο ἄνθρωποι, ὅπως τοῖς ἀποῦσιν μίμημα σώζοιεν παρόντων· καὶ λέγοιεν ἐν τοῖς γράμμασιν, ὥσπερ ἂν εἰ καὶ συνόντες ὦσι· ἐγὼ δέ σου τὴν ἐπιστολὴν ἀναγνοὺς, ὑφ᾽ ἡδονῆς καὶ ἐδάκρυσα, καὶ σοῦ παρόντος ὥσπερ εἰώθεις ἐδόκουν ἀκούειν· καὶ

ἡδύ τι πνεύσας τοῦτο εἶπον, ἐκείνη ἡ φιλτάτη φωνή· ἀλλ' ὦ πρὸς ἔρωτος αὐτοῦ καὶ φωνῆς ἐκείνης, εἴ που ταύτην ἔτι οἶσθα καὶ μέμνησαι, μή μοι τοῖς γράμμασιν ἀποδήμει, μηδὲ τὴν μόνην ἀφέλῃς παραμυθίαν· μή ποτε τάχα ζηλώσω τοὺς μηδὲ τὴν ἀρχὴν ἐρῶντας, οὓς μηδὲ συμβαίνει τοιαῦτα παθόντας ὀδύρεσθαι.

## XXXVIII. Ζαχαρίᾳ καὶ Φιλίππῳ ἀδελφοῖς.

Τὸν δεῖνα φθάσας ὑμῖν συνέστησα διὰ τῆς προτέρας ἐπιστολῆς· οὐκ εἰς ἀκριβὲς ἐκεῖνον εἰδὼς, ἀλλ' ἐξ ὧν ἐπλάττετο, τοῦτον ἡγούμενος ὅπερ οὐκ ἦν· ἐλάνθανε γὰρ, προσχήματι μὲν καλῶς κεχρημένος, ὢν δὲ τοιοῦτος οἷον ὑπέδειξε τοῦτον ἡ πεῖρα· ἀπὸ γὰρ τῆς Γαζαίων ὁρμώμενος, καὶ μέλλων ἀνάγεσθαι, κατέλυε μὲν παρά τινι τῶν ἐπιτηδείων, ὥσπερ εἰκός ἐστι μέχρι πλοῦς γένηται· πιστευθεὶς δὲ νόμῳ φιλίας, καὶ πρὸς πολλαῖς ἑτέραις καὶ ταύτην χάριν λαβὼν, τοῦ ὑποδεξαμένου διώρυξε τὴν οἰκίαν· καὶ ὧν εἶχε χρημάτων τοῦτον ἐγύμνωσε· καὶ ἵνα λάθῃ τὰ τῆς ὑποψίας, κλεῖς μὲν ἦν αὐτῷ πρὸς τὴν ἐπιβολὴν εὐτρεπής· ταύτῃ δὲ διανοίξας, καὶ ἅπερ εὗρε λαβὼν, πάλιν τῷ κιβωτίῳ τὸ παλαιὸν ἐπέθηκε σχῆμα· ὡς δὲ μόλις αὐτὸς ἀνήχθη, καὶ πρὸς τὰ δοκοῦντα κεῖσθαι χρεία τῶν κτημάτων ἐκάλει, ἦλθε τὸ δρᾶμα πρὸς ἔλεγχον, καὶ τοῖς τεκμηρίοις ἀντιλέγειν οὐκ ἦν· τοιούτων καὶ Μενέλαος τῶν ξενίων ἀπήλαυσεν, ἀντ' ἀμοιβῆς τινὸς τὴν Ἑλένην ἀφῃρημένος· τοιαῦτα γράφειν ἐπήρθην, ἵνα μὴ δι' ὑμῶν πιστευθεὶς, ἕτερα τοιαῦτα τὸν πιστεύσαντα δράσῃ· καὶ μέμψεται μὲν ὑμᾶς ὁ παθὼν, ἐμὲ δὲ πάντως ὑμεῖς.

©BIU Santé



## XXXIX. Ἀθηνοδώρῳ.

Δεξάμενος τὸ βιβλίον, ὑμῖν μὲν χάριν ὡμολόγουν εἰκότως, ἐμαυτῷ δὲ συνηδόμην εἰ τοιούτους ὑμᾶς ὄντας πρὸς φιλίαν εὐτύχησα· καὶ μή με βαλλέτω λίθῳ τραχεῖ ὁ φθόνος, ὡς τῷ Πινδάρῳ δοκεῖ· ηὐχόμην δὲ καὶ τῇ τύχῃ, δύνασθαί με ποτὲ πρέσβεων ὑμῖν ἀνταποδοῦναι τὴν χάριν· ἡ δὲ ταχέως δίδωσι τὸν καιρὸν, οἷον σύ τε ἐβούλου, κἀγὼ πάλαι ζητῶν, νῦν μόλις ἐτύγχανον· τὸν γὰρ ἔχοντα τὴν καθόλου πέπεικα τοῦτό σοι μέρος ἀποδόσθαι, οὗ καὶ τυγχάνεις δεόμενος· εἰ μὲν οὖν ἔλθῃς ὡς ἡμᾶς, θᾶττον ἂν λάβῃς τὸ κτῆμα παρὰ τῆς τιμῆς, τὰ μὲν πείσας, τὰ δὲ πεισθεὶς, ὡς ὁ τῆς ἐμπορίας βούλεται νόμος· εἰ δὲ μὴ, αὐτὸς ἥξει πρός σε καιροῦ καλοῦντος, ὡς ἡμῖν ἐπηγγείλατο.

## XL. Σωσιανῷ.

Ὁ θαυμάσιος Ἀλφαῖος ἀπήγγειλέ μοι, τοιοῦτόν σε περὶ αὐτὸν γεγενῆσθαι, οἷον αὐτὸς μὲν ἐβούλετο· ἐγὼ δὲ τοῦτον ἀκούσας ἥσθην μέν· πῶς γὰρ οὐκ ἔμελλον; οὐ μὴν ἤδη μοι καὶ θαυμαστὸν ἐδόκει τὸ πρᾶγμα· εἰ δὲ βούλει, καὶ προλαβὼν διηγούμην οἷος ὑπογράφων περὶ τοῦτον ἐγένου· ὡς ἐκεῖνον ἀποροῦντα λοιπὸν ὅ τι καὶ λέγει ἅμα καὶ γέλωτι σιωπᾷ· καὶ εὐδαίμονά με τῆς φιλίας ἐγκαλεῖ· ἀλλ᾽ ὅμως τὴν ἴσην σπουδὴν εἰσενέγκῃς περὶ ὧν ὑμῶν ἐδεήθην παρὼν, ὅπως αὐτὸς μέν μοι χάριν εἰδείην, ἀμφότεροι δὲ πάλιν ὑμῖν.

## XLI. Νηφαλίῳ.

Εἰς ὅσον ἥκει τῆς ἀπορίας ὁ Στέφανος, οὐδ᾽ ὑμᾶς οἶμαι λανθάνειν· καὶ ὅτι μηδ᾽ ἐν ταῖς χερσὶ δύναται ποιῆσαι τὴν

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 246 sur 544

ἐλπίδα, τῶν βίᾳ μικροῦ δεῖν καὶ τὸν ὀφθαλμὸν ὑπὸ τῆς τύχης ἀφῃρημένος· ὅθεν θεραπείαν τινὰ πρὸς τὴν ἔνδειαν σοφιζόμενος εἰς διακόνων ἀνήλλακται σχῆμα· κινδυνεύει δὲ μηδὲν αὐτὸν ὀνῆσαι τὸ σόφισμα, πλὴν εἰ μὴ τῆς ἐπικουρίας τύχῃ τῆς παρὰ σοῦ, ἣν καὶ πᾶσι προκεῖσθαι πείθομαι τοῖς βουλομένοις τυχεῖν· ὑμῶν γὰρ αἰτούντων ἐπινεύσει τίς οἶμαι τῶν παρ' ὑμῶν ἐπισκόπων, ἢ λειτουργοῦντα τοῦτον ἕξειν, ἢ καὶ μόνον τρεφόμενον· ἴστε δὲ ὡς καὶ μηδὲν ὠφελούμενος, οὐ παύεται φλυαρῶν· εἰ δὲ τύχῃ τινὸς εὐεργεσίας, ποῦ τοῦτον οὐκ εἰκὸς ἀνακηρύξαι τὴν χάριν; ἀναλώσει γὰρ οἶμαι τὴν ἔμφυτον φλυαρίαν εἰς τὸ μενεῖσθαι τῆς χάριτος.

## XLII. Παλλαδίῳ.

Ἡ τῆς ὑμετέρας σοφίας ἐπιστολὴ ἐρρωμένη μὲν ἅπασιν ἐκίνει συνήθως τὴν ἡδονήν· ὡς δὲ καὶ μανθάνειν ἔδει τὰ γεγραμμένα, μικροῦ δεῖν καὶ δακρύων αὐτὴν ἐπληρώσαμεν· ὧν γὰρ αἱ εὐπραγίαι κοιναὶ, τούτοις καὶ εἴ τι λυπεῖ μετέχειν πάντως ἀνάγκη· ἀλλ' ὅρα πρὸς θεῶν, ὦ πόσον ἡ τύχη νεανιεύεται, μηδὲν ἐθέλουσα διακρίνειν, εἰ βάλλειν ἐπείγεται πονηρούς, εἰ κατὰ σπουδαίων ἀφίησι τὰ τοξεύματα· εἰ γὰρ ἦν ἀρετῇ μετρεῖσθαι τὰ πράγματα, οὐκ ἂν εὖ ἴσθι τῆς ἀδίκου τύχης πεπείρας· νῦν δὲ γυναῖκα θρηνεῖς, σώφρονα μὲν ὡς εἰκὸς, καὶ οἵαν ἔπρεπεν ἀνδρὶ σοφῷ συνοικεῖν· τὸ δὲ δεινότατον παίδων μητέρα, καὶ τούτων ἐπιδεομένων μητρός· ταῦτα τίς μὲν ἀκούων, οὐκ ἂν δακρύσειε; τίς δὲ παθὼν καρτερεῖ μὴ γνώμην εὐτυχήσας τὴν σήν; πέπεισμαι γὰρ ὡσεὶ Σωκρατίῳ πειθόμενος, πρίν τι παθεῖν, αὐτὸ ἐγγυμνάσω τοῖς πράγμασι, πολλὰ μὲν ὁρῶν τοιαῦτα, πολλῶν δὲ διηγουμένων ἀκούων· τί γὰρ τῶν χαλεπῶν ἡμῖν οὐκ ἄγει τὸν βίον; τί δὲ θαλάττης δείκνυσιν ἡμερώτερον; ὁ μὲν αἴρεται μέγας· ὁ δὲ

©BIU Santé

πρὸς ὕψος ἐλθὼν προδιδοῦσαν ἔσχε τὴν τύχην, καὶ πέπτωκε· καὶ ὁ μὲν γηρᾷ τὸν θάνατον εἰς παραμυθίαν αἰτῶν· ὁ δὲ πρὸ τῆς ἥβης ἀνήρπασται· γαμεῖ τις ἕτερος, τὴν συνοικοῦσαν ὀδύρεται· ταῦτα τὸν βίον πληροῖ· καὶ τὴν Ὁμήρου βεβαιοῦν ἐπείγεται γνώμην, ὡς οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο· πανταχόθεν γὰρ ψηφίζεται τὸ δαιμόνιον μηδὲν μένειν οἷον καὶ γέγονε· ἀλλ' εἴ τι κατὰ νοῦν ἐστιν ἀνθρώποις, μικρὸν φησὶν ἀνάμεινον, καὶ πάντα οἰχήσεται· τὸ μὲν οὖν παθεῖν θεοῦ προνοίᾳ δεδόσθω, καὶ νεύματι πάντως καλῶς ἄγοντι τὰ ἡμέτερα· τὸ δὲ φέρειν ὅ τι ἂν ὁ θεὸς διδῷ γενναίως, νικᾶν ἐστιν ἀρετὴν, καὶ μὴ πάντα διδόναι τῇ τύχῃ· τοῦτο γὰρ τοῖς ἀγαθοῖς ἐγκαλλώπισμα, τὸ μὴ τὴν γνώμην συμμεταπίπτειν τοῖς πράγμασιν· οὐκοῦν ἅλις ἔστω δακρύων· οὐ γάρ μιν αἰτήσεις πρίν τι κακὸν ἄλλο παθέσθαι· τοῖς δὲ παισὶν αὐτὸς καὶ μήτηρ γενήσεται· καὶ θεὸς τὰς ἐπ' αὐτοῖς ἐλπίδας εἰς ἔργον ἄξει τῷ νεύματι.

## XLIII. Νεστορίῳ.

Ἥσθην σου τῇ καλῇ καὶ λίαν ἐπιστολῇ, τὰ μὲν ἀπολογουμένῃ περὶ τῆς μακρᾶς σιωπῆς, ἣν εἰ καὶ πολλάκις ἐγεγράφεις, εὖ μοι γοῦν ἐσίγας μέχρι τὰς ἐπιστολὰς ἐδεξάμην· τὰ δὲ καὶ λίαν ἐπιτιμώσῃ, ὅτι σου τὴν ἀρχὴν ἐνεκάλουν σιγήν· ἥσθην ἄμφω ταῦτα μὰ τοὺς θεούς· τὸ μὲν γὰρ οὐχ ἡμαρτηκότος ἦν περὶ φίλους· τὸ δὲ μηδὲ βουλομένου τοιούτου τυχεῖν· ἥττημαι τοίνυν σιωπὴν ἐγκαλέσας· καὶ βουλοίμην ἂν διαπαντὸς ἐν τούτῳ νικᾶσθαι· δέδεγμαι δέ σου τὰς ἐπιστολὰς χρόνῳ καὶ μόλις· καὶ ἥ γε παρὰ σοῦ πρώτη πρὸς ἡμᾶς ἀφῖκται δευτέρα· σὸν δ' ἂν εἴη σκοπεῖν, ὡς εἰ δοκῶν ἀδικεῖσθαι τοσοῦτον κατηγορῶ, τίς ἂν γενοίμην ὄντως παθών.

## XLIV. Στεφάνῳ.

Σὺ μὲν ἔτι σιγᾷς· καὶ ταῦτα τὴν Δάφνην οἰκῶν, τὸ λάλον ὕδωρ ἐκεῖνο καὶ μαντικόν· ἐγὼ δὲ πάλιν περισκοπῶ τὰς ὁλκάδας, μετέωρος ἀεὶ πρὸς τὸ μέλλον γινόμενος· αἱ δέ που καταίρουσι καὶ δευτέρα καὶ τρίτη, καὶ τὰ καθ' ἡμᾶς διελέγχουσιν ὡς μόνον ἦσαν ἐλπίδες· τὴν δὲ τῆς σιγῆς αἰτίαν σκοπῶ, καὶ πανταχόθεν ἠπόρημαι· εἰ μὲν γάρ τι λελύπηκα καί τοι λυπήσας μηδὲν, ταῦτα μὲν οἰχέσθω καὶ φέροιεν αὖραι· μείζω δ' οὖν ὅμως τῶν ἐγκλημάτων ὑφίσταμαι δίκην, εἰ μὴ λαλοῦντος ἀκούσομαι· εἰ δὲ τηνάλλως ἀκκίζῃ μὴ δύνασθαι λέγων εἰς κάλλος εἰπεῖν, δικασταὶ τούτων ἡμεῖς, καὶ τὴν αἰτίαν μεμφόμεθα· ἀλλ' ἤδη που τάχα τὸ πρᾶγμα μαντεύομαι, μὴ δὲ τὴν ὑμετέραν Δάφνην πιών· ἐρυθριᾷν φήσεις ὡς παραβὰς τὴν ὑπόσχεσιν, καὶ τὰς συνθήκας ὑπεριδών, καὶ τὸ βιβλίον ἔχον που τρίτον ἢ τέταρτον ἔτος τουτὶ, ὃ μὴ δὲ τρίτον μῆνα καθέξειν ἐπηγγειλάμενος· ταῦτα τοίνυν εἰ μὲν ἀχθόμενος ἐρεῖς, δόξης μὴ πλείω χρόνον κρατήσεις, καὶ τὴν σιωπὴν ἀποδεξάμενος τὸ σύμβολον τῆς αἰδοῦς, δόξης μὴ πλείω χρόνον κρατήσεις· τῇ ἀνάγκῃ τὸ πρᾶγμα λογίζομαι· καί τοι βιβλίον ἡμῖν δεδωκὼς, οὗ τὴν τιμὴν οὐδέπω καὶ νῦν καταβέβληκα· ἀλλ' ἄδηλον εἴ τε τοῦ πιπράσκοντός ἐστιν, εἴ τε τοῦ δεδωκότος ὁμοῦ· ἀλλ' ὅμως οὐδὲν ἐμποδὼν τῇ σῇ χρείᾳ πεποίημαι· οὐ τὸ τοῦ κτήματος ἄδηλον· οὐ τὸ δεῖν ἐξ αὐτοῦ τι μαθεῖν· ἀλλὰ πάντα παριδών, μετὰ πολλῶν ἄν σοι παρέσχον εἰ καὶ τοῦτο ποιεῖν συνεχώρησα· ὅμως οὐδὲν δεινὸν εἰ μέχρι τοῦ νῦν ὁρίζῃ τὸ βράδος· εἰ δὲ προσθήσεις ἔτι, τοσοῦτον ἀπολαύσω τοῦ πράγματος ὅτι δὴ πάντας ἀπίστους ἡγήσομαι· τί γὰρ ἂν ἐλπίσαιμι, παρὰ σοῦ τοιαῦτα παθών; ἀλλ' οὐχ ὅ γε σοφώτατος Ἰωάννης τοιοῦτος, ὃς ἓν λαβὼν παρ' ἐμοῦ, μετ' οὐ πολὺν χρόνον δεύτερον προσαπέστειλεν· οὕτως εὐ-

©BIU Santé

γνώμων δοκεῖν ἤθελε μᾶλλον ἢ κεκτῆσθαι βιβλίον· καὶ μή μοι λέγε ὡς οὐκ ἀπορεῖν ἐθέλων κατέσχον· τοῦτο μὲν γὰρ τυγχάνω πεπεισμένος, καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι· ἀλλ' οὐκ ἔδει παρατεῖναι τῷ βράδει· ὅπου γε καὶ ἴσον δύναται τῷ ἀποστερεῖν τῷ χρόνῳ καὶ μόλις ἀποδιδόναι· ἀλλὰ πρὸς φιλίαν μὴ ἀναμείνῃς ἔτι δεύτερα γράμματα· μὴ δὲ πλεῖον ἕτερον ἢ τὸ κομίζον σοι τὴν ἐπιστολήν.

## XLV. Διοδώρῳ.

Ὁ φέρων σοι τὴν ἐπιστολὴν, οὐ νῦν πρῶτον πειραθήσεται τῆς εὐνοίας τῆς σῆς, ἀλλ' ἔτι τὴν πρώτην διηγούμενος, δευτέραν λείψεται πεῖραν· ὡς δὲ δοκῶ, τάχα καὶ μείζονα· ἐκείνης μὲν γὰρ ἀπήλαυσε, κηδεστὴς καλεῖσθαι μέλλων ἡμέτερος· ταύτην δὲ λήψεται, καὶ δὴ πρὸς ἔργον ἐλθών· ὁ δέ γε μέλλοντα τοῦτον τιμήσας, τίς ἂν εἴη γεγενημένος ἰδών; οἶμαι γὰρ ὡς τῶν νόμων εὐθὺς ταμεῖα κινήσεις· καὶ παραθήξας τὴν γλῶτταν καὶ τῶν ἀδικούντων λόγων ἐπαφίσεις πηγάς· καὶ τί γὰρ ἕτερον ἢ βήματος ἀττικοῦ πρὸς μνήμην ἥξεις τὸν θεατήν; ταῦτα λέγειν ἔχω· ταῦτα πάρεστιν ἐλπίζων ὁ νέος· καὶ οὔτ' ἐγὼ ψευδολογίας ἁλώσομαι, οὔτε μάτην ἐλπίσας ἐκεῖνος.

## XLVI. Ζαχαρίᾳ καὶ Φιλίππῳ ἀδελφοῖς.

Τὰ ὑμέτερα γράμματα καὶ τὴν εἰς ἡμᾶς εὔνοιαν ἐδήλου, καὶ γνώμης οὐκ ἀπηλήλατο σώφρονος· ἑκάτερον δὲ τῇ ἑτέρου παραθήκῃ καθαρὸν ὑπεφαίνετο· οὔτε γὰρ ὡς ποθοῦντες ἁπλῶς ἔχειν ἡμᾶς ἐβουλήθητε, ἀλλ' εἰ μὴ καὶ τὸ συμφέρον προσῇ, περιττὴν ἡγεῖσθε τὴν θέαν· οὔτε τῷ τοῦ μέλλοντος ἀδήλῳ περιδεεῖς γεγονότες, τὴν πρὸς ἡμᾶς ἰέναι πάλιν ἀπηγορεύσητε· ἀλλ' ἦν κενὸς ὁ τρόπος τῆς συμβουλῆς καὶ ῥητορικῆς

©BIU Santé

©BIU Santé



πρέπων ἐννοίᾳ· οὔτε τὸ καλοῦν ἔχων θρασὺ, καὶ τὴν ἀποτροπὴν ὑφορώμενος· ἐγὼ δὲ τοσοῦτον ἀπέχω τοῦ κόμπου καὶ πραγμάτων ἐρᾶν, καὶ τῶν ἑτέρων εὐδαιμονίαν ζηλοῦν, ὥστε καίπερ οὐ κατὰ νοῦν πράξας ἐνταῦθα, τοσοῦτον ὅμως ἐκαρτέρησα χρόνον· καὶ νῦν ἐπειδήπερ ἐπαγγέλλονταί μοι ποιήσειν τὰ μέτρια, οὐχ ἕρμαιον ἡγοῦμαι κουφαῖς ἁπλῶς ἐλπίσι βασιλέως πόλιν ἰδεῖν, καὶ ταῦτα τῆς ἡσυχίας ἐρῶν, καὶ μίαν ταύτην εὐδαιμονίαν ἡγούμενος, καὶ τοῦ Βυζαντίου πρὸς ἔννοιαν ὅλως ἐλθὼν ὅπως ἐφόδιον εὕροιμι τοῦ ποτὲ πραγμάτων ἔξω γενέσθαι, καὶ θειοτέρας ἀπολαῦσαι ζωῆς· πλὴν οὐκ ἐρᾶν τῶν πραγμάτων τίθεμαι τὸ δοκοῦν· οὐδὲ γὰρ αἱρετὸν ὃ μὴ θεοῦ δέχεται νεῦμα· καὶ μὴ γινόμενον ἕκαστον, τὸ μὴ θεὸν ἔχειν ἐπαινοῦντα δηλοῖ· ὥσπερ κἄν τι γένηται, μὴ πάθει συνεζευγμένον θεῷ πάντως ἐδόκει καὶ γέγονε· καὶ οὔτέ τι μὴ δοκοῦν δεῖ γενέσθαι, οὔτε γεγενημένον μὴ δοκεῖν· ὥστε εἴ τι τῶν ἐπηγγελμένων προβαίη, μένειν ὡς ἔοικε δεῖ, καὶ ἀντιλέγειν οὐκ ἔχω· εἰ δὲ λόγοι ταῦτα καὶ οἴχεται ἡ τῶν μὴ γενομένων ἀνάγκη, τὴν τοῦ θεοῦ δείκνυσι ψῆφον, ὡς ὑμᾶς ἰέναι κελεύουσαν· εἰ γὰρ μὴ τοῦτο πάντως ἂν ὑπῆρξεν, ἐφ' οἷς με μένειν ἐξῆν;

## XLVII. Διοδώρῳ.

Ὤιμην σε τὴν τῶν μαρτύρων παρ' ἡμῖν ἐπιτελέσαι πανήγυριν, καὶ διδόναι μόλις ἡμῖν εὐτυχῆσαι τῇ θέᾳ· σὺ δὲ κἂν ὄναρ ἴδῃς τὸν μαιμᾶν ὡς ἔοικε δυσχεραίνεις, καὶ τὸν οἰωνὸν δεδιὼς ἀποφράδη τὴν ἡμέραν καλεῖς· οὕτω σοι πάλαι καὶ πόρρωθεν τὸ μῖσος ἐνέστακται, ὡς διὰ τοῦτο μὴ δὲ τοὺς φίλους ἐθέλειν ὁρᾶν· καὶ διελέγχεις τὸν χρόνον αὔξοντα θυμὸν μᾶλλον, ἢ διελέγχειν εἰδότα· ταῦτα προὔλεγον ἀεὶ, ταῦτα καὶ γέγονεν· ὁρῶν γὰρ σε διὰ τοὺς λυποῦντας καὶ τὸν τότε ἀποστρεφόμενον, ἰοῦ ἰοῦ πολλάκις ἔφην, ὡς ἅπαξ ἡμῖν

ἀπαλλαγεὶς, οὐκ ἐθελήσεις αὖθις ὁρᾷν· ἀλλ᾽ οὐδὲ Ἀχιλλεὺς τοσοῦτον χρόνον ἐθυμοῦτο τοῖς ἀχαιοῖς· ἀλλὰ λυπήσας ἀπιὼν, εἶξεν αὖθις ὡς ἔδει καὶ μετεβάλλετο· χάριν δ᾽ οὖν ὅμως οἶδα τῇ τύχῃ ὅτι μὴ Θέτιν ἔχεις μητέρα· πάλαι γὰρ ἂν ηὔξω καὶ ἀπολώλειμεν.

## XLVIII. Εἰρηναίῳ.

Τοῖς περὶ Ζώναινον τὴν ἐμὴν εὔνοιαν ἐνεποίει, τὸ μὲν πρῶτον ὑμεῖς, μετὰ δὲ τὴν πεῖραν τῶν νέων ἡ φύσις· καὶ τῶν πρώτων διὰ σὲ τυχόντες, τὸ τελευταῖον οὗτοι δι᾽ αὐτοὺς ἐνεποίησαν τὸν ἔρωτα· κοσμεῖ γὰρ αὐτοὺς τὸ μὲν πρῶτον σπουδή· τὴν δὲ σπουδὴν οὐκ ἐλέγχειν οἶδεν ἡ φύσις· ὥστε εἰ μὴ προμνύβας ἔτυχες, ἴσθ᾽ ἂν ἐπιστευσάμην ὡς πρὸς σὲ τὸ γένος συνάπτουσι, τῷ χαρακτῆρι τῆς φύσεως στοχασάμενος· ἀλλ᾽ εὖ γε ποῦ σοῦ γένους εἰ τοιαῦτα τίκτειν ἐπίσταται· τὴν μὲν οὖν ἐμὴν γνώμην ἐῤῥωμένην ἴσθι τοῖς νέοις· εἰ δὲ καὶ δύναμιν ὑπεργοῦσαν ἔχω τῇ προθυμίᾳ, θεῶν ἐν γούνασι κείσθω.

## XLIX. Ζαχαρίᾳ καὶ Φιλίππῳ.

Ὁ καλὸς Ἰωάννης κἂν τοῦ γένους ὑμᾶς ἀπαιτήσει τὴν εὔνοιαν, κἂν τῆς παρ᾽ ἐμοὶ συμφοιτήσεως· ἔστι γὰρ Λεοντίου παῖς· εἰ Διονύσιον ἴστε τῆς ἡμετέρας τίτθης τὸν ἄνδρα, τούτου πέφυκεν ἀδελφὸς, ὁ τούτου πατήρ· ἵνα καίπερ εἰδότες, ὑπομνήσω τὸν ἄνθρωπον· εἰ δὲ καὶ μὴ ταῦτα προσῆν, πάντως οἰκεῖον ἡγήσασθε θιασώτην ἡμέτερον, καὶ τὸν παρ᾽ ἐμοὶ χορὸν ἐκπληρώσαντα· οὐκοῦν μὴ μέλλετε τὸν νέον εὖ ποιεῖν ἔχοντα πανταχόθεν ὀφειλομένην τὴν εὔνοιαν· σιωπῶ γὰρ λέγειν ὡς καὶ τῷ τρόπῳ τοὺς ὁρῶντας ἐπάγεται ἐρυθριᾷν, εἰδὼς

©BIU Santé

©BIU Santé



πρίν τι ϗ λέγειν ϗ φθέγγεσθαι μέτρια, τῷ καιρῷ τοὺς λόγους μετρῶν, ϗ τὸν νοῦν ὑπὲρ τὴν ἡλικίαν κτησάμενος· ὁ δὲ μιαρὸς Θεόδωρος τὸν πλοῦτον ἡμῖν ἐπανατείνας πάλιν ἀνέδυ, τάχα καταγνοὺς ἑαυτοῦ εἴπέρ τι προειπὼν ἀληθεύσειε, ϗ πρὸς πέρας ἐνέγκοι τὸν λόγον.

## L. Τοῖς αὐτοῖς.

Πάλιν ὑμῖν ἐπιστολὴν, ϗ πάλιν ἕτερος ὄχλος· ἔοικα γάρ που τοῦ αἰτεῖν μὴ τάχα μέτρον εἰδέναι, ἀλλὰ φθάνειν ἀεὶ τοῖς δευτέροις τὰ προλαβόντα, γελᾷν τε ἀλλήλους ϗ λέγειν, ὡς κρεῖττον ἦν σιωπῶν ἢ πυκνοῖς βάλλων τοῖς γράμμασιν· ἀλλ' ὅμως κἂν διατριβὴν ὑμῖν παρέχω ϗ γέλωτα, σιωπᾷν οὐκ ἀνέξομαι· ὡς ἂν ὑμεῖς εἴποιτε τέχνης ἀεὶ τὸ λαλεῖν παρὰ τῆς τέχνης λαλῶν· ϗ ταῦτα σοι νυνὶ πράγματος εἰς ἡμετέραν χρείαν ὁρῶντος· οἱ γὰρ παρ' ἡμῖν λογάδες ψηφίσματι κοινῷ τὴν μεγίστην ἀξιοῦσιν ἀρχὴν, ῥᾴδιον ἐπινεῦσαι πρᾶγμα, πλεῖον τὸ σιτηρέσιόν μοι χορηγῆσαι δυνάμενον· αἰτοῦσι δὲ ϗ παλαιὰς συντάξεις βεβαιωθῆναι τοῖς διαδεξαμένοις, ϗ ψιλὴν μεταθεῖναι προσηγορίαν· ταῦτα τὴν ὑμετέραν ἀναμένει σπουδήν· ταῦτα πρὸς πέρας ἐνεγκόντες, κἀμοὶ χαριεῖσθε ϗ τοῖς αἰτήσασιν ὑμᾶς δι' ἐμοῦ· εἰ δὲ ταῦτα παρίδοιτε, διπλά μοι συμβαίνει παθεῖν, ϗ τὸ μὴ τυχεῖν τῆς ἐλπίδος, ϗ τὸ δι' ὑμῶν μὴ τυχεῖν· ὧν τὸ μὲν αἰσχύνην, τὸ δὲ ζημίαν ἐργάζεται· ἀλλ' εὐτυχήσομεν πάντως, θεοῦ μὲν ἄνωθεν ἐπινεύοντος, ὑμῶν δὲ διακονούντων τῇ χρείᾳ, ψηφιζομένης δὲ τῆς μεγίστης ἀρχῆς.

## LI. Τοῖς αὐτοῖς.

Τοσοῦτον ἡμᾶς τὸ τάχος κατέκπληξε τῆς ὑμετέρας σπου-

δῆς, ὡς τὰς ἡμέρας ἀριθμεῖν ἐξ οὗ ἀπεπόμφαμεν τὰ ψηφίσματα, καὶ μικροῦ δεῖν ὑμᾶς νικῶντας τὸν χρόνον εὑρεῖν· τοσοῦτον ἐστὶν ἀγαθῶν ἀδελφῶν περιάχθεσθαι σπουδῇ, κέρδος ἡγουμένων ὅπερ ἂν ἀλλήλοις πρὸς εὐθυμίαν πορίσωνται· τὸ δὲ καὶ νικῆσαι τῶν αἰτηθέντων τὴν χρείαν, καὶ πλείω παρασχεῖν ἢ ὁ αἰτήσας ἐβούλετο, πόσην οὐκ ἐμφαίνει τὴν εὔνοιαν; μήτ' οὖν ὑμεῖς παύσησθε τοιαῦτα ποιοῦντες, μήτε μέγα φρονῶν ἐπὶ τούτοις ἐγώ.

## LII. Ἱερωνύμῳ.

Σὲ μὲν ὦ βέλτιστε τὸν ἐξ ἡμῶν ἀπάραντα κατάρχειν ἔδει γραμμάτων, καὶ διδάσκειν εἰδέναι ποθοῦντας, εἰ σοι γέγονεν εὐμενὴς ὁ Ποσειδῶν, καὶ τῇ νηῒ σὴν θάλατταν ὑπεστόρησεν· εἰ τὰ κατὰ τὴν Ἀλεξάνδρου γέγονεν εὐμενῆ· εἰ τὸν πολὺν Νεῖλον ἀνέπλευσας εὐτυχῶς· εἰ τὰ τῆς διατριβῆς εὐθαλῆ· καί σοι λοιπὸν ἐν μυριάσι τὸ νόμισμα, καὶ τὸν οἶκον ἔχεις αἰγυπτίοις πλήθοντα δώροις· ταῦτα γράφειν ἐχρῆν, καὶ τὰς ὑποσχέσεις πληροῦν, ἐν αἷς πολλαὶ μὲν ἐπιστολαὶ, λήθη δὲ τῶν φίλων οὐκ ἦν· σὺ δὲ καὶ ἐπιστέλλοντος παρορᾷς, οὐκ ἐθέλων ἀμείβεσθαι γράμμασι· τοιγαροῦν ἤδη καὶ δευτέραν ἐπέστειλα· κἂν ἔτι σιγήσῃς, τάχα καὶ τρίτην προσθήσομεν, ἕως σέ τις ἐπεισέλθῃ τῶν δρωμένων αἰδὼς, καὶ τὴν σὴν φωνὴν εὐτυχήσομεν.

## LIII. Ἀγαπητῷ.

Δεινὸς ἄρα τις ἦσθα, κατηγορίαν ὑφαρπάζειν ἐλπιζομένην, καὶ ταῦτα προφέρειν τοῖς ἄλλοις, οἷς ἄν τις δικαίως ἐχρήσατο κατὰ σοῦ· πάλαι μὲν γὰρ εἶχες τὴν Ἀλεξάνδρου, καὶ ταύτην ἀπολιπὼν ἐσίγας, καὶ τὸ σὸν μέρος ἐλάνθανες καὶ παρών· ἀλλ' εὖ γε τῆς φήμης, ἣ τῶν ἀρίστων ἐᾷ λανθάνειν

©BIU Santé

©BIU Santé



οὐδὲν, αὕτη σε παρόντα μεμήνυκε· καὶ θαυμάζειν εἶχον ἀνθ' ὅτου δὴ καὶ σιγᾷς· εἰ μὲν σεμνὸν τοῦτο καὶ Πυθαγόρου νομίζων, ἀλλ' οὐ ῥήτορος ἔλεγον ἡ σιγή· εἰ δὲ τὴν ἐλοῦσαν ὡς θεοῖς ἐχθρὰν καὶ βαράθρον ἐδυσχέραινες, ἐχρῆν περὶ τῶν φίλων παραμυθίαν αἰτεῖν· ὅθεν τούτων μὲν οὐδὲν, ἔλεγον δὲ μᾶλλον ὡς πολὺς ἤρθης, καὶ τοὺς πάλαι φιλτάτους λῆρον εἶναι δοκεῖς· καὶ ταῦτα τὴν ἐλοῦσαν οἰκῶν, καὶ μικροῦ δεῖν ὑπ' ἀδελφῷ μὴ γελῶντι παιδαγωγούμενος· ταῦτα κατ' ἐμαυτὸν ἐννοῶν, οὐκ ἂν ἤλπικά σε κατήγορον ἐξαίφνης ἰδεῖν· ὅθεν προσεγέλων τὰ γράμματα, καὶ τὴν ῥητορικὴν ἐθαύμαζον τοσαύτην χορηγοῦσαν τὴν ἐξουσίαν, δι' ἣν ἀπολογίαν ἐζήτουν, ὁ πάλαι τῷ λόγῳ κατηγορῶν· ταῦτα τῆς σοφιστικῆς τὰ σεμνὰ, καὶ οὐδὲ τῶν ὁμοτέχνων ἐφείσατο· γλαῦκα φησὶν ἀθήναζε παραπέμπουσα· οἱ δὲ ἐμοὶ παῖδες, οὕτως γὰρ ἐκάλεις τοὺς λόγους, πρὸς σὲ φοιτῶν ἐρυθριῶσι, ἐλέγχειν εἰδότα καὶ λανθάνουσαν ἀμορφίαν.

## LIV. Δωροθέῳ.

Ἤδη με μέλλοντα πρὸς τὴν προτέραν γράφειν ἐπιστολὴν, φθάσας αὐτὸς καὶ δευτέραν ἐπέθηκας· οὕτω κἂν τοῖς γράμμασι ἐπείγῃ νικᾶν· ἀλλὰ τίς ὁ χρόνος ἐρεῖς, καὶ ἡ τοῦ μὴ γράφειν ἀναβολή; οὐκ ἔστιν ἄνθρωπον ὄντα, πράττειν ὅσα τις βούλεται, ἀλλ' ἀνάγκη παρέχεσθαι καὶ δουλεύειν τῇ χρείᾳ καὶ πείθεσθαι τῷ καιρῷ· ὁ δὲ δίδωσιν οὐχ ὅσα τις θέλει, ἀλλ' ὅσα πρὸς τὴν χρείαν ἀνάγκη μετρεῖν· ταῦτ' ἄρα μέχρις τοῦ νῦν ἄκων μὲν, σιωπῶν δ' οὖν ὅμως ἠχθόμην· καί τοι θαυμάζειν ἔχων τὴν ὅτε παρ' ἡμῖν ἦσθα σπουδὴν, τὴν ἐπειδὴ πάλιν ἀνήχθης ἔτι μοι διαμένουσαν εὔνοιαν, τὸν κατὰ σοῦ συστάντα φθόνον καὶ τὴν πάλαι τῆς τύχης ἐπιβουλήν· καὶ ὡς σώφρων ἀνήγου τὸν λόγον γινόμενος, καὶ τῇ περὶ ταῦτα

©BIU Santé



φλυαρίᾳ χαίρειν εἰπὼν, αἱρησάμενος τοῖς πᾶσιν ἐλαττοῦσθαι μᾶλλον, ἵνα κερδάνῃς τὰς μούσας· ἀλλ' ὄναιο θᾶττον ἔρωτος μυστικοῦ, καὶ τοσοῦτον λάβοις ὁπόσον ἐθέλοις· καὶ γένοιο τῆς προλαβούσης διαβολῆς· εἰ μὲν ἀληθὴς ἦν, σωφρονέστερος· εἰ δὲ ψευδὴς, εὐτυχέστερος· ὅπως ὁ μετὰ ταῦτα βίος μὴ ψευδῆ διαβολὴν ἐπιδέξηται· ἀλλὰ φανείης πάλιν ἐκεῖνος ὁ πρότερον· οὕτως γὰρ ἂν ἡνωθέντων τῶν ἄκρων διόλυται τὸ μέσον ἑκατέρῳ μέρει βαλλόμενον.

## LV. Στεφάνῳ.

Ἔτι σιγᾷς; ἔτι τῶν ἠμελημένων ἡμεῖς; καὶ μὴν πάλαι γε πυκνοῖς ἡμᾶς εἶχες τοῖς γράμμασιν· καὶ ἦν ἥδιστον τὸ κτῆμα φθεγγομένου πολλάκις ἀκούειν· ἀλλὰ νῦν ἐξαίφνης σιγᾷς καὶ τῆς ἡδονῆς ἐστερήμεθα· τοιαῦτα τῶν χρηστῶν βιβλίων ἀπήλαυσα· ζητῶν γὰρ ἐκεῖνα, καὶ τὸν πάντων μοι φίλτατον προσαπολέσθαι δοκῶ· σὺ δὲ μάλιστα μὲν καὶ τὸ βιβλίον ἀπόστειλον, καὶ περὶ τῆς εὐνοίας ἀπολίπῃς μηδέν· εἰ δὲ μὴ, τά γοῦν φίλοις εἶναι διαμενέτω· δόξω γὰρ οὕτω πεπονθέναι μηδέν· δήλωσον δέ μοι καὶ ὅπως ὑμῖν ἔχει τὸ φροντιστήριον· καὶ εἰ πλῆθος ὁμιλητῶν σοι περιφράττει τὸ θέατρον· καὶ τὸ δὴ μέγιστον, εἰ πλούτῳ κομᾷς, καί σοι λοιπὸν εἰς χιλιάδας ἀριθμεῖται τὸ νόμισμα.

## LVI. Σαβίνῳ.

Εἰ τοῖς ἐρῶσιν ἡμέρα μία πρὸς γῆρας ἀρκεῖ, οὐκ ἂν φθάνεις ἀριθμῶν ὁπόσα δὴ γεγηράκαμεν· πάλαι μὲν ἦμεν εὐδαίμονες, σέ τε ὁρῶντες καὶ τῶν σῶν ἀντεχόμενοι· καὶ ἦν ἡμῖν πάντα χρηστὰ, ὄψις ἡδίστη, λόγοι κατακαλοῦντες τὴν ἀκοὴν, γνώμη χορηγοῦσα τὴν εὔνοιαν· καὶ ὅ τι τίς ἐπόθει κα-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 256 sur 544

λὸν, ἤρκει πρός σε μόνον ἰδεῖν· ἀλλὰ νῦν ἐξαίφνης ἔρημοι πάντων ἡμεῖς, ὅθεν ἠπόρημαι, ϗ τὸν μῦθον ἐρῶ· ϗ Περσεὺς ἐκεῖνος εὐξαίμην γενέσθαι· τάχα γὰρ ἂν ἐξείη μοι μικρὸν ἀναπταμένῳ παραμυθεῖσθαι τὸν ἔρωτα . . . (1) διεδέξατο ὑμός· ἰδοὺ γάρ με ϗ πτεροῦ ὁ πόθος . . . ϗ μῦθος γεγένημαι· ϗ ὅσα δὲ ποθοῦσα διάνοια ῥᾳ . . . ἐθέλει· ἤδη δέ σοι ϗ ὄναρ ἤσθη ἰδών· ϗ ἀναστ . . . τῇ θέᾳ· εὖ δὲ ποιῶν τὸν φέροντα τὴν ἐπιστολὴν . . . ϗ βεβαιώσεις ἣν ἔχων ἐτύγχανες γνώμην . . . εἰ δέξαιο γράμματα παρ' ἡμῶν, οὐδὲν ὅ τι μὴ ῥᾳδίως ποιήσεις.

## LVII. Ἱερωνύμῳ.

Ὅσης σοῦ τῆς κατηγορίας ἀπηλαύσαμεν οἱ ἀλαζόνες ἡμεῖς, ϗ λίαν σοφισταὶ ϗ νοσοῦντες ὑπεροψίαν ἐν μετρίῳ τῷ σχήματι· ϗ οὐκ ἂν ἔχοιμι λέγειν ὅσα καθ' ἡμᾶς συνεφόρησας, ὥσπερ καιρὸν πάλαι ζητῶν ἐφ' ἡμῖν ἐγεῖραι τὴν γλῶτταν· ὅθεν οὐδὲ πρόφασιν δικαίαν λαβὼν, εἰς μέσον ἄγεις ἃ πάλαι κρύπτων ἐλάνθανες· τί γὰρ εἰπέ μοι δεινὸν, εἰ πρὸς σὲ γράφων Προκόπιος Ἱερωνύμῳ χαίρειν ἐπέγραφον; ὡς μὲν γὰρ ἀρχαῖος ὁ νόμος, ἔχω δήπουθεν ὁμολογοῦντα ἂν ϗ σέ· ἀλλ' οὐδὲν δεῖ φὴς τὴν νῦν ἐπιπολάζουσαν ἐκβῆναι συνήθειαν· οὐκοῦν κατηγόρει, κἂν εἰ τὴν νῦν κρατοῦσαν τρυφὴν εἰς σεμνότητα τὶς τὴν ἀρχαίαν ἐπανάγειν ἐθέλῃ· κἂν εἰ τὴν μουσικὴν ἐκπεσοῦσαν εἰς ὕθλους μελῶν, ϗ δημοτικὴν φλυαρίαν εἰ τὴν Τερπάνδρου μοῦσαν αὖθις ἐνέγκοι· αὐτὸς δὲ πόθεν ἡμῖν προσφιλὴς σεμνὸς εἶναι δοκεῖς, εἴ τι ῥῆμα φθέγξαιο τῶν ἀττικῶν ϗ τύχοις τῶν ἐπαινούντων, ὡς ἀρχαῖον καθέστηκε παρὸν ἐμφορεῖσθαι· τῶν ἐκ τριόδου ῥημάτων· ϗ ταῦτα φέρειν

(1) Madore aliquot verba evanuerunt.

ἐπὶ τοῦ ῥήματος; ἢ τί δῆτα τῶν μειρακίων προσκαθεζόμενος οἴει τι μέγα φρονῶν Ἀριστείδου τοῦ πάνυ πρὸς ἔπαινον, εἰ λέγοις ὡς αὐτός; ἢ Πολέμων τῆς ἀσιανῆς τερατείας τὴν ἀρχαίαν ῥητορικὴν ἐκάθηρεν; εἰ δέ σοι τότε γενέσθαι παρέσχεν ἡ τέχνη, τάχα μοι καὶ γραφὴν ἐπενέγκασθαι κατ᾽ ἐκείνου δοκεῖς, ὅτι τὰ συνήθη παριδὼν, ἀλαζὼν εἶναι βούλεται, πρὸς ἀρχαίαν ἀναγόμενος μοῦσαν· εἴθε δὲ καὶ τράπεζα νῦν αὖθις ἐκράτει λακωνικὴ, καὶ ἦν ἡμῖν ὁ βίος ὡς πάλαι τοῖς πέρσαις μάζα καὶ ὕδωρ καὶ κάρδαμα· ταῦτα δὲ καὶ νῦν ἐν ἐλούσῃ τίς ἴσοι κρατοῦντα τῇ σῇ; οὐ διὰ καρτερίας ὑπερβολὴν, ἀλλ᾽ ὅτι τοσαῦτα μόλις χορηγεῖ τοῖς ἐνοικοῦσιν ἡ γῆ· ἀλλ᾽ ὅμως αὐτὸς τρυφὴν αἰγυπτίαν μαθὼν ἀπολείπεις τὰ πάτρια· ὁ φυλάττειν τὰ συνήθη νομοθετῶν, κἂν ἔξω τοῦ πρέποντος· τὸ δὲ καὶ ἀλαζόνα με καλεῖν, ὅτι σε μετὰ τὴν ἐμαυτοῦ προσηγορίαν φέρων ὑπέταξα, ἔοικεν οὐ λίαν εἰδότος· ὡς οὐ τὸ πρῶτον τῇ τάξει, καὶ τῆς τιμῆς ἔχει πάντως τὰ πρῶτα· οὐ δὲ τὰ Δημοσθένους εἰδέναι ποιούμενος ἅπερ μελετᾷν εἴωθε τὰ παιδάρια· ὡς ἄρα τὸ πράττειν, τοῦ λέγειν καὶ χειροτονεῖν ὕστερον ὂν τῇ τάξει, πρότερον τῇ δυνάμει καὶ κρεῖττον ἐστίν· εἰ δὲ πάντως ἀλαζονείαν τὰ τοιαῦτα κατηγορεῖς, καιρὸς καὶ τοὺς πάλαι κεχρημένους τῶν νόμων τῆς τοιαύτης ἐπιγραφῆς, ὑπεροψίας σὺν ἐμοὶ περιβάλλειν νοσήματι· ὧν τοὺς ἄλλους παρεὶς, Σωκράτην λέγω καὶ Πλάτωνα τοὺς ἄνω τὴν φιλοσοφίαν ἐξάραντας, ἀλλὰ περὶ ἀλαζονείας αὐτόθεν κατέλαβες· καὶ μὴ κίνει κατὰ σαυτοῦ τῆς παροιμίας τὴν μάχαιραν· ἡ οὖσα δήπου πάλαι ταῦτα καθέστηκεν, ὡς ἅμα σε τῆς ὁλκάδος ἐκπεσόντα, προὔπεμπον δὴ σὺν βοῇ τινὶ βαρβάρῳ τῶν αἰγυπτίων οἱ παῖδες· καὶ πανήγυρις ἦν οὐχ ἧττον ἢ ὅτε πάλαι φορά τις αὐτοῖς εὐμενὴς ἐδίδου τὸν Ἄπιν· καὶ ὡς ἐπὶ τούτοις ὕψου τῆς διανοίας ἀρθεὶς, ἐμὲ μὲν μικρὰν οἰκοῦντα πόλιν, φαῦλον ἐκάλεις· ἀπέριττος δὲ παρὰ σοὶ πατρίς τε καὶ γυνὴ καὶ τὸ παι-

©BIU Santé

διον αὐτό· καί που με φιλοσοφοῦντα λῆρον ἐδόκεις· ὅτι με μὴ κρότος εἶχε πολὺς ἐξ ἀσήμου φωνῆς ὦ Ζεῦ ϗ βαρβάρου γλώττης ὤν· ϗ τὸ δὴ μέγιστον εὐδαίμονα σαυτὸν ἐκάλεις, εἰ σίτου ϗ κρεῶν πλήρη τὴν οἰκίαν ἀπέδειξαν· ὁρᾷς ὅσον ἐπὶ σμικροῖς ἐπήρθης, ὁ νῦν ἀλαζονείας γραφόμενος· ϗ ταῦτα φημὶ μα τοὺς θεοὺς, οὐκ ἀμείνασθαί σε τῶν ῥημάτων ἐθέλων· οὐ γὰρ πρὸς τῆς ἐμῆς τοῦτο κρίνω φιλοσοφίας, ἀλλ' εἴ πως δυναίμην μετριωτέραν σοὶ τὴν γλῶτταν ἀποδεῖξαι βουλόμενος· ἀλλ' ὅπως μὴ τὴν δύναμιν τῶν ἐμῶν λόγων καταπλαγῇς, πόῤῥω γένῃ τοῦ τὰ τοιαῦτα γράφειν ἡμῖν· μὰ γὰρ τὸν σὸν Νεῖλον ϗ τὰς παρούσας σοι χάριτας, θέατρον λογικὸν τὴν σὴν παρέσχον ἐπιστολὴν, κἂν τῇ Γάζῃ μέσῃ πρὸς πάντας ἐλέγετο· κἀγὼ μὲν ἀλαζὼν ἠδούμην ὑπὸ τῶν σῶν γραμμάτων καλούμενος· ἐγέλα δὲ τὸ θέατρον ἐπ' ἐμοί· σὺ δὲ τῶν λόγων εὐδαίμων ἐδόκεις.

## LVIII. Ὠρίωνι.

Ἀεί σε φέρων τῇ μνήμῃ μικροῦ μοι ϗ παρεῖναι δοκῶ, ϗ τὰ πάντα παρεῖναι σοφίζομαι· καί μοι μεμνημένῳ πάντα πρὸς ἡδονὴν συνεισέρχεται, τὸ τῶν τρόπων εὐσταθὲς, ἡ περὶ τοὺς λόγους σπουδὴ, τῆς διανοίας τὸ μέτριον, ϗ τὸ δὴ μέγιστον, σωφροσύνη, νεότητος ἀλόγους ὁρμὰς ἀνακόπτουσα· ϗ πρὸς ἐμαυτὸν ἔσθ' ὅτε λογίζομαι ὡς ὁ πάντων ἡμῶν ὁρώντων τοιοῦτο φανεὶς, τίς ἂν γένοιτο καθ' αὑτὸν γεγονώς; νικήσει γὰρ οἶμαι τῷ φθάσαντι πρὸς ἑαυτὸν ἁμιλλώμενος, ὅπως ἂν δείξῃ τοῖς ἀποῦσιν ἡμῖν ὡς ἄρα δι' αὐτὴν ἐτίμα τὴν ἀρετὴν, οὐχ ἡμᾶς τοὺς ὁρῶντας αἰδούμενος· εἰ δὲ ϗ πόλιν ἔχει τρυφῶσαν, καὶ πολλὰ τῆς ἀσελγείας τὰ παραδείγματα, τοῦτο φιλοτιμότερον αὐτὸν ἀντιτάξει ταῖς ἡδοναῖς· τίς γὰρ ἀθλητὴς ἐπὶ τὸ νικᾷν σεμνυνόμενος εἰς Ὀλυμ-

©BIU Santé



πίαν ἐλθὼν, τοῦ ἀγῶνος τὸ μέγεθος, καιρὸν ῥᾷστον εἰσηγήσεται; ἀλλ' οὐκ ἐπιτείνει μὲν αὐτίκα τὴν ἄσκησιν, βεβαιώσει δὲ τὰς προλαβούσας τῇ μείζονι; καὶ σὺ δὴ μύσας τὰς αἰσθήσεις, ἀκλινὴς πρὸς πᾶσαν ἀκοὴν καὶ θέαν γενόμενος, δείξεις ὡς οὐχ ἡ τῶν κακῶν ἀπορία τὴν σωφροσύνην οἶδε νικᾷν, ἀλλ' ἔνθα τῶν σεμνοτέρων ὁ πόθος· κἂν τὰς σειρῆνας εἴποις, κἂν τὴν πάντα μεταβάλλουσαν Κίρκην, νικήσει πάλιν Ὀδυσσεὺς· νῦν τὸ μᾶλλον δεικνὺς, λόγον εἶμαι τοῦτον ὃν οὗτος ἐδωρήσατο· νυνὶ δὲ περιδείσας ἑαυτὸν ἀρετῇ, καὶ πολλὰ βιώσας οἶμαι παραπλέων τὰς ἡδονάς.

## LIX. Ἀπολλωνίῳ.

Ὁ εὐλαβέστατος Μαρτύριος, πλουτῶν μὲν ἀρετῇ, τῇ δὲ τύχῃ πενόμενος, δεῖται τῆς ὑμετέρας ῥοπῆς· πλείστην ἔχω ὡς φασὶν ἐκ τῶν φθασάντων τὴν πεῖραν· καί με ῥαδίως ἐπειθεν ἐπιστάμενον, ὡς πᾶσι χεῖρα προτείνεις τοῖς ὀρθοῦσθαι δεομένοις καὶ πρὸς ἐπικουρίαν καλοῦσιν· τοσαῦτα γὰρ ἔχων παρ' ἡμῖν ὅσα μήτ' ἰσχὺν ἐντίθησι καὶ ἀποθνήσκειν ἐᾷ, εἰς ὑμᾶς ὁρᾷ, λύσιν εἶναι κακῶν τὸ τοιοῦτον ἡγούμενος· ἀλλ' ἀντέχου προθύμως, ὄμμα διδοὺς εὐμενὲς καὶ διὰ σαυτὸν καὶ δι' ἐμὲ καὶ διὰ τὸν ἐν χρείᾳ καθεστηκότα· καὶ γὰρ θαῤῥῶν ἔλεγεν ὡς ἐὰν δέξῃ γράμματα παρ' ἐμοῦ, οὐδὲν ὅ τι μὴ ῥᾳδίως ποιήσεις· ἐμοῦ δὲ μειδιῶντος, καὶ ὁπόθεν οἶδεν ἀνερομένου, καὶ κατεγγυᾶσθαι τὸ μέλλον ἕτοιμος ἦν· οὐκοῦν πλήρωσον αὐτῷ τὰς ἐλπίδας, ἵνα μὴ χρείας αὖθις καλούσης, κατεγγυᾶται τὸ μέλλον, ὡς οὐδὲν ἀνύσαιμι παρ' ὑμῖν.

## LX. Νηφαλίῳ.

Τὰ μὲν ἐξ ὑμῶν γράμματα πρὸς τὴν πανήγυριν ἤδη

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 260 sur 544

καλεῖ· καὶ τὸν οἶκον ἡμῖν προτιθέναι φησὶν, κοινά τε τὰ παρόντα ποιεῖ· καὶ τὸ τοῦ λόγου ἡμῖν ἀγαθὸν ἀπαγγέλλεται· ἐγὼ δὲ τῆς μὲν εὐνοίας ὑμᾶς ὑπεράγαμαι· καὶ δή μοι πεπληρῶσθαι δοκῶ τὴν πανήγυριν ἐπιστολῆς συμμετρίας τυχών· πρὸς δὲ τὴν ἐντεῦθεν ὁδὸν πολλά μοι καθέστηκε τὰ κωλύματα· σὺ δέ μοι καὶ πράττε καλῶς, καὶ νίκα τὰ λυποῦντα, καὶ μέμνησο μὴ μόνον παρόντων· εἰ δὲ γράμμασιν ἀθυμοῦντας ἀνάγοις, τοῦτο μὲν τῆς Πολυκράτους εὐτυχίας σεμνότερον· πολλὰ γὰρ οἱ χρηστοὶ τὰς ἡμετέρας διέσεισαν ἀκοάς· ὡς πίπραχέ τι δεινόν· σὲ δὴ λέγοντες, ὡς ἥλω πράττων, ὡς γέγονεν ἀφανής· ταῦτα λογοποιοῦντες μάρτυρας παρῆγον· οὓς ἐκεῖθεν ἥκειν διϊσχυρίζοντο· καὶ ἄλλος ἄλλῳ διηγεῖτο, καὶ διὰ πάντων ἡ φήμη· ὡς δὲ τὴν παρ' ὑμῶν ἐδεξάμην ἐπιστολὴν τοσοῦτον ἀπέχουσαν τῆς ἀδίκου φήμης, ὡς καὶ πρὸς πανήγυριν τοὺς φίλους καλεῖν, εὐθὺς ἐγενόμην περιχαρὴς, καὶ τοῦ ψεύδους ἔχων τὸν ἔλεγχον πανταχοῦ ταύτην ἐκήρυττον· ὥστε τοὺς πάλαι θρασεῖς μόλις ἐρυθριᾷν καὶ κύπτειν εἰς γῆν· καὶ τῆς τύχης οἶμαι καταβοᾷν, ὅτι μὴ πλείω χρόνον ἐλάνθανον.

## LXI. Σιλανῷ.

Ὁ καλὸς Μακάριος σπουδῆς ἕνεκα καὶ τρόπων τῆς ἐμῆς ἀπολαύων εὐνοίας, ἐπέδωκέ μοι φέρων ὑμετέραν ἐπιστολήν· ἐγὼ δε τοὺς τύπους ἐπιγνοὺς ἅμα τῇ θέᾳ καὶ τὴν ἐπιγραφὴν ἀσπασάμενος, εὐθὺς μελήσας οὐδὲν, τῶν γεγραμμένων εἴσω γεγενῆσθαι· καὶ ὁ μὲν κύκνος εὐθὺς ἐνήχει ταῖς ἀκοαῖς, καὶ ὥσπερ τῷ ζεφύρῳ τὸ πτερὸν ἀνεὶς, ὅλαις ἀνέκειτο ταῖς ᾠδαῖς καὶ μουσικωτάταις· τὴν δὴ σὴν ἀηδόνην νῦν ὄντως ἔγνων ὡς Ἀθηνῶν ὑπῆρχεν ἡ κόρη, καὶ γέγονεν ὄρνις, καὶ τὴν ἀττικὴν φυλάττει τοῖς μέλεσι· τοιοῦτον αὐτῆς τὸ σχῆμα τῆς ἐπιστολῆς δημιουργοῦσιν οἱ λόγοι· ἐγὼ δε τοῦτο ἡσθεὶς ἀνέπ-

©BIU Santé



νυσα τὸ μέγα, καὶ παλαιᾶς εὐδαιμονίας ἀνηγόμην εἰς μνήμην, ὡς συνεῖμεν ἀλλήλοις παρὰ τὸν Νεῖλον, ὡς ἀδεῶς ἐμφορεῖσθαι σοῦ παρεῖχεν ἡ τύχη, ὡς στερηθεὶς ἠχθόμην, ὡς χαίρω νῦν κομισάμενος· καὶ γάρ σε διὰ τῆς ἐπιστολῆς ἔχειν ἤδη δοκῶ, καὶ χάριν ὡμολόγουν τῷ ταύτην ἐμοὶ δεδωκότι· καὶ ὡς εὐδαίμων ἔφην ὦ παῖ τοῦ γένους ὑπάρχεις· καὶ ἐμεμφόμην ὅτι σοι προσήκων ἐλάνθανε· τίς οὖν γένωμαι; πόθεν ἂν δυναίμην αὐτῷ παρέχειν ὁπόσα καὶ βούλομαι; εἰ δὲ μετρήσειε τῇ προθυμίᾳ τὴν χάριν, οὐδέν ἐστιν ὅ τι μὴ λήψεται παρ' ἡμῶν· ἀκούσας δέ σε καὶ γάμου φέρειν ζυγὸν, εὐξαίμην σε καὶ παῖδας ἰδεῖν τοῖς ὁρῶσι τὸν πατέρα κηρύττοντας.

## LXII. Διοδώρῳ.

Τί τοῦτο πέπονθας ὁ πολὺς τὴν γλῶτταν, καὶ μέγα πνέων κατὰ τῶν σιωπώντων· ἥλως οἷς ἐνεκάλεις, καὶ κατὰ σαυτοῦ κατηγορήσας ἐλάνθανες, καὶ τοῖς ἑαυτοῦ δικτύοις ἑάλως σαγηνευθείς· ἃ γὰρ ἐμέμψω δράσας, οἴκοθεν ἔχεις τὸν ἔλεγχον, καὶ τοῖς ἑαυτοῦ πτεροῖς ἑάλως, τὴν παροιμίαν παθών· ὥστ' εἴ τι τῶν προσηκόντων ἐγίνετο, τὴν σὴν ἄν σοι πάντως ἐπιστολὴν ἀντεπέθηκα· τάχα γὰρ ἂν ἔγνως ἐπιτιμήσας μὲν ὡς οὐκ ἂν ἁμαρτών, πλημμελῶν δὲ νῦν ὡς κατηγορήσας οὐδέν· καὶ τὸ μέγιστον ὅτι φιλοτιμησάμενος ὑποδήματα καλά τε λίαν καὶ περὶ πόδας μᾶλλον, ὡς τῇ κωμωδίᾳ δοκεῖ, καὶ ταῦτα γραμμάτων ἔρημα πέπομφας, μή τε τὸ δεῖξαι μή τε τὸ χαίρειν εἰπών· καί τοι μεῖζον ὡς εἰκὸς ἐπὶ τούτοις ἐφρόνησας, ἢ Κροῖσος ἐκεῖνος τὰς θαυμαστὰς δὴ πλίνθους τῷ Πυθίῳ δωρούμενος· δηλοῖ δὲ τὸ πάλαι σε ταῦτα περὶ τοῦ . . . ργου κομισάμενον, μέλλειν ἀεὶ καὶ καταστοχάζεσθαι τοῦ καιροῦ, ὅπως ἂν ἐρχομένης τῆς πανηγύρεως, ταῦτα λαβὼν προσέλθω τοῖς

©BIU Santé



ὁρῶσι τὴν φιλοτιμίαν βοῶν· ὅθεν σὺ τὸ πάθος μαθὼν, προήειν κατὰ τὸν ὁμηρικὸν Αἴαντα μέγα βιβάς· καὶ κατηκρότουν τὴν γῆν ἐπιστρέφων παρὰ τοὺς πόδας τὸν θεατήν· καὶ εἴ τις ὁρᾶν οὐκ ἠβούλετο, ὑβριστὴν τοῦτον ἐδόκουν, καὶ τέλος ὁρᾶν κατηνάγκαζον, καὶ μηδενὸς ἐρωτῶντος ὁπόθεν ἔχω λαβὼν, Διόδωρος ὁ δοὺς ἀνεκήρυττον· καὶ διὰ πάντων ὑπῆρχεν ἐπ' ἐμοὶ μὲν, ἀπειροκαλίας ὁ γέλως· ἐπὶ σοὶ δὲ, τῆς εὐνοίας ἡ μνήμη· τοιαῦτα σοι τῶν καλῶν ὑποδειγμάτων ἀπήλαυσα, μικροῦ δεῖν ἐπὶ κεφαλὴν βαδίσας, ὅπως ἐν καλῷ τῆς θέας ἔσται τὸ δῶρον.

## LXIII. Ἐπιφανίῳ.

Οἶμαί σε ποιεῖσθαι λίαν ἐν θαύματι, τί δῆτα νῦν μαθῶν ἤδη καὶ γραμμάτων κατάρχομαι· τούτου δὲ τὴν αἰτίαν εἰ βούλει, Στρατήγιος τοῖς λόγοις στρατεύεται κατὰ σοῦ, καὶ πολὺς μετὰ ταῖς λοιδορίαις χωρεῖ, μακρὰν δὲ κατατείνει κατηγορίαν, καὶ δικαστήριόν μοι τὴν οἰκίαν πεποίηται· τὸ δὲ μέγιστον, ὥσπερ γὰρ οἱ δεινοὶ τῶν ῥητόρων, οὐκ ἀρκεῖται τοῖς παροῦσι μόνον ἐγκλήμασιν, ἀλλὰ μίγνυσι παλαιὰ καινοῖς, καὶ μύθους ἀρχαίους ἀνακινεῖ· καὶ μάρτυρα κατά σου πόλιν ὅλην τὴν Ἀλεξάνδρου παρέχεται, θέας ἱππικὰς διηγούμενος, καὶ κύβων σπουδὴν, καὶ διαλόγους περὶ τῶν ἵππων δημοτικοὺς, καὶ ἄττα πολλὰ τούτῳ λέγειν ἐπέλθη· ἀλλὰ καὶ νῦν σε τοῖς ἵπποις ἀνακινεῖσθαι φησὶ, καὶ τοῖς τρέχειν δυναμένοις παρεδρεύειν ἀεὶ, καὶ τέχνην σε κολάκων ἐπανηρῆσθαι τῇ γαστρὶ χαριζόμενον· οὐκ ἂν δυναίμην εἰς ἅπαξ εἰπεῖν ὅσα δὴ πολλάκις ταῖς ἐμαῖς ἀκοαῖς ἐπαντλεῖ· τὸ δὲ αἴτιον, γυμνός φησι τὸ τούτου μέρος ἐγώ· ἓν μόνον μοι ἱμάτιον ὑπελείπετο πρὸς ταφὴν, καὶ διὰ τοῦτον ἀνάλωται· λίνον γάρ φησιν εἰργασμένον λαβὼν, ὡς δὴ χερσὶ τῶν αὐτοῦ θεραπαινίδων ἀποδείξων

©BIU Santé



ἱμάτιον, Ἶρυ με παρεῖδε γυμνότερον· χρόνος πολύς φησι, καὶ παρατέταμαι ταῖς ἐλπίσιν· εἰ τοίνυν σοι μέλει τὴν ἐκείνου γλῶτταν πρᾳοτέραν ἐργάσασθαι καὶ τὰς ἐμὰς ἐλευθεροῦν ἀκοάς, ὡς τάχα πέμπε θοἰμάτιον· εἰ δὲ μὴ, ἀλλ' οὐ φέρω λέγειν ὅσα καὶ λέξειεν· ὡς καὶ μηδὲν ἔχων ἐγκαλεῖν, φλυαρίαν τὸν βίον πεποίηται· εἰ δὲ καὶ προσλάβοι τι δίκαιον, εἴποις ἂν αὐτοῦ τῇ γλώττῃ τὸν θυμὸν ἐνοικεῖν.

Band. Γενεσίῳ.

## LXIV. Γεσσίῳ ἰατροσοφιστῇ.

Ἤθελον ὅτι τὸν καλὸν Δωρόθεον ὃν ὑμῖν διὰ γραμμάτων συνέστησα πρότερον, τοῦτον ἐκ μεταβολῆς αὐτοί μοι συνιστῶντες ἐγράψατε· τί γὰρ εἴη μεῖζον τεκμήριον τοῦ κατ' ἐλπίδας ἡμῖν χωρῆσαι τὰ γράμματα; ἐλθὼν δὲ πρὸς ἡμᾶς οὐδὲν ἤθελε λέγειν, ὅ τι μὴ σὲ κἀμοὶ χαριεῖσθαι θέλων, καὶ τῇ μνήμῃ τῶν σῶν εὐφραινόμενος, καί σε πολὺν ἐπὶ στόματος ἦγεν, ὡς εὔνουν, ὡς ἀγαθὸν, ὡς γλώττῃ καὶ χειρὶ τὸν Ἀσκλήπιον παρακείμενον· καὶ οὕτω δὴ τὸ τῆς ἰατρικῆς αὐστηρὸν αἱ τῆς ὑμετέρας γλώττης παρεμυθήσαντο χάριτες· ταῦτα λέγοντος προὐλάμβανον τοὺς ἐπαίνους ἐγὼ πρὶν ἀκοῦσαι τὰ σὰ διηγούμενος· καὶ γλαῦκα φέρεις Ἀθήναζε, πρὸς τοῦτον ἔλεγον μειδιῶν· ὁ δὲ φιλονεικότερος ἦν, καὶ δοκῶν τι καινὸν ἐπάγειν, πάλαι κείμενον εὕρισκε παρ' ἐμοί· καὶ μεθ' ἡδονῆς ἐσίγα λοιπόν· χάριν εἰπὼν ἔχειν τοῖς θεοῖς, εἰ τοιοῦτον εὐτύχησε διδάσκαλον· περὶ οὗ καὶ πάντα λέγειν ἐστὶ καὶ καινὸν ἐπαγγέλλειν οὐδέν· ἀλλὰ σαυτὸν ὅλον φέρων ἐπίδος τῷ νέῳ, ὃς εἰ καὶ μηδὲν ἕτερον, μεμνῆσθαι γοῦν οἶδε τῶν εὖ ποιούντων.

## LXV. Ἀντιόχῳ.

Ὅσης ἐπὶ σοὶ τῆς ἐλπίδος διήμαρτον· ᾤμην γάρ σε μό-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 264 sur 544

©BIU Santé



λις ἰατρικῆς ὕλης ἀπηλλαγμένον πρὸς ἡμᾶς ἰέναι λοιπόν· εἴτε φιλοσοφήσαντα κατὰ τὰς πρὶν ὑποσχέσεις, εἴτε καὶ μόνον ὀψόμενον· σὺ δὲ κατατείνεις ἡμᾶς, τὴν Ἀλεξάνδρου ποθῶν, καὶ ὥσπερ λωτοφάγων γῆς ἀντεχόμενος· ἀλλ' ἐμοῦ μὲν ἕνεκα νικάτω χάρισι πολλαῖς τοῦ μακεδόνος ἡ πόλις, καὶ Νείλου καὶ θαλάττης ἐχέτω καλῶς· εἰ δὲ καὶ μοῦσαι ταύτην οἰκοῦσιν, ἔχεις ἐπαινοῦντα κἀμέ· ἀλλὰ ταῦτα πρὸς τὴν παρ' ἡμῖν ἡσυχίαν καὶ τὴν φιλοσοφίαν ἣν πολλάκις ἠλπίκαμεν· οὐκοῦν τἄλλα καθάπερ τινὰ φλυαρίαν ἀποσεισάμενος, μιμοῦ Ὀδυσσέα πρὸς τὴν ὄντως Ἰθάκην ὁρῶν· καὶ μηδέν σε κωλυέτω, μὴ λωτὸς, μὴ Κίρκη, μὴ Καλυψώ· ἀλλ' ὅσῳ περὶ μειζόνων ἐπείγῃ τῶν ἄθλων, τοσοῦτον Λαέρτου νικήσωμεν.

## LXVI. Στεφάνῳ.

Οὐδὲν ὡς ἔοικεν ὅ τι μὴ χρυσίον ὁρᾷς· ἄγει δέ σε αὐτὸ καὶ ποιεῖ μετάρσιον, καὶ χρυσῶν εἰδώλων ἀνέπλησέ σου τὸν νοῦν· ἐμοῦ γάρ σοι περὶ σχολῆς γεγραφότος, ὡς οὐ πάντα δίδωσιν ἡμῖν ὁ καιρὸς, ἀλλ' ὅσα πρὸς τὴν χρείαν ἀνάγκη μετρεῖ, καὶ χρείαν εἰπόντος, οὐ τὴν τῶν χρημάτων ἔνδειαν, ἀλλ' ἐφ' ᾧ περὶ τῆς τύχης ἀγόμεθα, σὺ πρὸς τὸ χρυσίον ὅλως ὁρμήσας, καὶ συνάχθεσθαί μοι ἐδόκεις ἠπορημένῳ· καὶ παραμυθίαν ἐζήτεις, τὴν φιλοσοφίαν ἀντιτάττων τοῖς χρήμασιν· ὡς ἐμοῦ δὴ στένοντος, ὅτι μὴ τοῖς Κροίσου ταλάντοις ἀβρύνωμαι, οὕτω περιβομβεῖ σου τὰ ὦτα, καὶ πάντων δοκεῖς χρυσίον λεγόντων ἀκούειν· τί γάρ σε πρὸς Διὸς ἐπὶ ταύτην ἐπῆγε τὴν εὔνοιαν; ἢ πῶς ἂν ἀπελογούμην περὶ τοῦ μὴ γράφειν ἐπιστολὰς χρημάτων ἔνδειαν προβαλλόμενος; ὡς δέον πολλῷ καταῤῥεῖσθαι χρυσίῳ τὸν ἐπιστέλλοντα· καὶ μὴν εἴπερ τι καὶ ἄλλο, τὸ γράφειν αὐτόνομόν τέ ἐστι καὶ τῆς ἐκ τοῦ πλούτου δυναστείας ἐλεύθερον· οὕτω σοι τὰ τῆς διανοίας

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 265 sur 544

©BIU Santé



ὑπὸ τοῦ πάθους ἐλέγχεται· ῥέψασαι γαρ ἐνταῦθα παντα πρὸς τοῦτο μεταποιεῖ, καὶ συναπατωμένην ἔχει τὴν ἀκοήν· καὶ δέδοικα, μὴ κἂν λυρίαν εἴπω κἂν ἵππον ὀνομάσω, πάλιν δόξεις χρυσίον ἀκούειν· καὶ τοὺς ἄλλους παραμυθούμενος, αὐτὸς δεήσῃ τοῦ θεραπεύοντος· ταῦτα παίζειν ὑπήχθην πρὸς σὲ, καὶ τοῖς γράμμασιν ἐνθεῖναι τὸν γέλωτα, ὃν ὑπέστην ἀναγινώσκων σου τὴν ἐπιστολήν· σὺ δὲ μικρὸν τοῦ πάθους ἐνδοὺς, γράφε λοιπὸν σωφρονοῦσαν ἐπιστολήν.

## LXVII. Διοδώρῳ.

Τὸν εὐλαβέστατον Τιμόθεον τὸ μὲν σχῆμα πρὸς ἡσυχίαν καλεῖ, τὰ δὲ τῆς τύχης λυπηρὰ τὴν ἀνάγκην ἐπάγοντα καὶ τὴν πρὸς ὑμᾶς ὁδὸν κελεύει· τοῦτο γάρ ἐστι πατὴρ ἐκ μεταβολῆς ἀπόρων· ἀδελφοὶ δὲ πλήθει καὶ χρόνῳ λυποῦντες· πολλοὶ γὰρ ὄντες καὶ τὴν ἡλικίαν βραχεῖς, εἰς τὰς τοῦ πατρὸς χεῖρας ὁρῶσιν· ἐντεῦθεν χρῆσται μὲν πολλοὶ, ἀλλὰ πλὴν ἑνὸς πάντες φιλάνθρωποι· οὗτος δὲ τῆς τύχης συνεπιτίθεται· ἣν γαρ μόλις αὐτοῖς οἰκίαν ὁ δαίμων κατέλιπε τοσούτοις χρήσταις ὑποτιθεμένην, ταύτην μόνος λαβεῖν ἀξιοῖ νικῶσαν τούτου τὸ χρέως· δέον ἢ τὸν ὠνούμενον ἄγειν, καὶ τοῦ παντὸς τιμήματος τὸ προσῆκον λαβεῖν, ἢ δέχεσθαι ταύτης μέρος ὃ τοῦ χρέους ἀναπληρώσει τὸ μέτρον· ὁ δὲ τὴν τῶν ὠνουμένων πρὸς τὸ παρὸν ἀπορίαν ἕρμαιον ἡγεῖται, καὶ τῆς τύχης ἐστὶ πικρότερος· ἀλλὰ δίδου τῷ δεομένῳ πρὸς συμμαχίαν τὴν γλῶτταν, τὸν δικαστὴν αὐτῷ παρασκευάζων φιλάνθρωπον· ὁ δὲ λυπῶν πειράσθω δικαίας ἀνάγκης, καὶ τῆς αὐτοῦ γνώμης ἡμεροτέρας, ἢ περιμένειν τὸν ὠνησόμενον, ἢ τῆς οἰκίας μέρος ὅσον ἀπαιτεῖ τὸ χρέος λαβεῖν· ὅπως θαυμάσωμεν καὶ σὲ τῆς συμμαχίας, καὶ τῆς ψήφου τὸν δικαστήν.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 266 sur 544

## LXVIII. Νόννῳ.

Σὺ μὲν τὴν ἐρωμένην ἠρνήσω, τὰ μείζω ποθῶν, καὶ πρὸς ἱερωσύνην κατεπειγόμενος· ἐγὼ δέ σου τὴν καλὴν κόμην θαυμάσας ἀεὶ, νῦν δέδοικα μή σου παρεμποδὼν γένηται τῇ προθυμίᾳ· ἐπειδὰν γὰρ ἴδῃς παρόντα τὸν καιρὸν καὶ τὰς ᾀδομένας τρίχας μελλούσας πεσεῖν, δακρύσας οἶμαι τὸ πάθος οἰχήσῃ φυγών· καὶ ζητήσεις ἀνθ' ἱερέων, νυμφίος ὀφθῆναι καλός· καὶ πάλιν ἂν οὕτω τύχῃ, μνηστεύσεις κόρην· καὶ τοῦ γάμου παρόντος πρὸς ἱερωσύνην σχήσεις μεταπηδῶντα τὸν ἔρωτα· ἀλλὰ παῦσαί ποτε κύκλῳ φερόμενος, τὴν πεῖραν ἔχων διδάσκαλον· ἵνα μὴ πάλιν μὴ * ὑποβόλων, καὶ τῶν σπαλίκων ἀκούσω, καὶ ὅσα νῦν ἡμᾶς ἐξεπαίδευσεν.

* Decst vocabulum.

## LXIX. Ἱερωνύμῳ καὶ Θεοδώρῳ.

Τὴν ὑμετέραν σοφίαν ἔγνων μὲν καὶ πάλαι πανταχοῦ τῷ λόγῳ προλάμπουσαν· καὶ ὃν ἡ θέα μὴ παρέσχεν, ἥ γε φήμη χαρίζεται, κοινῷ βοῶσα κηρύγματι τὸν πάππον ὑφηγήσειν νόμων ἐπιγραφόμενον, τὸν πατέρα γλώττης χάριτι πρὸς τὴν τῶν νόμων αὐστηρίαν τὴν ἀκοὴν ὑποσύροντα· καὶ ἐκ τούτων ὑμᾶς πάντα φέροντας, ἅπερ ἐκεῖνοι προλαβόντες . . . ἐνείμαντο· ὃν οὖν ἔγνων πρῶτον τῷ λόγῳ, νῦν τῇ πείρᾳ μαθὼν, εὐδαίμων ἔφην ἡ πόλις, ἐν ᾗ γένος οὕτω σεμνὸν, καὶ παῖς ἐκ πατρὸς τὴν ἀρχὴν διαδέχεται· εὐδαιμόνων δὲ πατέρων παῖδες, ὅσοι τοῦ βίου τὰς ἐλπίδας ἐφ' ἡμῖν ἐποιήσαντο· ἀλλ' εἴθε πως ἐδυνάμην συνεῖναι καὶ τῆς σῆς ἐμφορεῖσθαι παιδεύσεως· ἀλλὰ μέγα τοῖς ἀνθρώποις εἰς πόθον ἐστὶν ἡ πατρίς· καὶ μάρτυς Ὀδυσσεὺς τὴν Καλυψὼ παριδὼν ἵνα τὴν Ἰθάκην θεάσηται· πρὸς δὲ καὶ οὐ θεμιτὸν εἶναι μοι δοκεῖ

Non legitur vocabulum.

πόλιν ἀλλότριον παρὰ τὸν τοῦ δικαίου σφετερίσασθαι λόγον· τοιγαροῦν σώζησθέ μοι τὰ συνήθη παρ' ἐμοῦ προσκυνούμενοι.

## LXX. Ἑρμείᾳ.

Τὸ ὑμέτερον μέγεθος διὰ τῶν πρὸς σὲ γραμμάτων ἰδὼν, ὑμᾶς μὲν εἰκότως τῆς γνώμης ἐθαύμασα· τῇ δὲ Βηρυτίων συνήδομαι πόλει ὅτι τοιοῦτον ἔχει προβεβλημμένον ὡς ἀρετῆς καὶ λόγων ποιεῖσθαι φροντίδα· καὶ ταῦτα τοῦ καιροῦ τὴν ἐναντίαν ἐλαύνοντος· ἀλλ' ὄναιο καὶ σὺ σαυτοῦ, καὶ τῆς σῆς προνοίας ἡ πόλις· ἐμοὶ δὲ βαρὺ πατρίδος ὑπεροψίαν ἐξ ὑμῶν λαβόντι παράδειγμα· εἰ γὰρ ὑμεῖς πάντα μηχανᾶσθε κοσμεῖν τὴν ἐνεγκοῦσαν οἰόμενοι, πῶς ἂν ἔχοι καλῶς ἐμοὶ μὴ ταῦτα ποιεῖν ἐφ' οἷς ὑμᾶς ἐπήνεσα πράττοντας; ἀλλὰ καὶ εἰσποιεῖν ἐμαυτὸν εἰς τόπον ὃν εὐτύχησεν ἕτερος, λογικῆς καταστάσεως ἀλλότριον εἶναι δοκῶ· ἀλλ' εὐτυχοίης ὦ ἄριστε τῆς εἰς ἐμὲ καὶ τὴν πόλιν αὐτὴν προαιρέσεως.

## LXXI. Ὠρίωνι.

Περιττὸν οἶμαι γράφειν πρὸς ἄνδρα τὴν πρὸς ὑμᾶς λοιπὸν ὀνειροπολοῦντα καταγωγὴν, ὅπως ᾄσῃ τὸ ὑμέναιον καὶ γένηται νυμφίος παρθένου καλῆς· δίκαιον γὰρ ἐρῶντι χαρίσασθαι τῆς ἐρωμένης τὸν ἔπαινον, δι' ἣν ἀπὼν τῷ σώματι ἐρωτικὰ τῇ καρδίᾳ πηδᾷς· καὶ πρὸς ἡμᾶς ἀνεπτόησαι, καὶ τὰ παρόντα σοι μικρὰ τῆς παρ' ἀνθρώποις εὐδαιμονίας ὄντα γνωρίσματα· μόνη δέ σοι πόλις τῶν σῶν παιδικῶν χωρίον εἶναι δοκεῖ, καὶ τοῦ Βυζαντίου τάχα σεμνότερον· καὶ δέδοικα μὴ τοῦ πόθου πολλοῦ ῥεύσαντος, μὴ δὲ τοῖς φίλοις χαίρειν εἰπὼν, ἐξαίφνης στέλλοιο πρὸς ἡμᾶς τοῦ πλοῦ τὸ μῆκος μεμφόμενος·

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 268 sur 544

ἀλλὰ ταῦτα μὲν παιζόντων· ἐπανήκοις δέ ποτε σώφρονι λογισμῷ πρὸς παίδων γονὴν ἐπειγόμενος.

## LXXII. Ἀνατολίῳ.

Πολλά μοι λαμπρὰ τὰ συνιστῶντα τὸν νέον· πρῶτον καὶ μέγιστον τῆς ὑμετέρας θεοσεβείας τὰ γράμματα· εἶτα πατὴρ ἀγαθὸς, ἐκ πρώτης πείρας πρὸς εὔνοιαν ἐφελκόμενος· πρὸς δὲ τούτοις τῆς τέχνης ὁ νόμος, εὐθύνας ἀπειλῶν ἀκριβεῖς εἴ τι τῶν προσηκόντων παρίδοιμι· τάχα δὲ καὶ ἡ τοῦ νέου σπουδὴ μοῖραν οὐκ ἐλαχίστην παρέξεται· λοιπὸν ἡμῖν αἰτεῖσθαι τὴν ἐκ τοῦ θείου ῥοπὴν, μεθ' ἧς καὶ μόνον ἐστὶν πρὸς πέρας ἐλθεῖν τὴν προαίρεσιν.

## LXXIII. Δωροθέῳ.

Δεινὸς ἄρα τις ἦσθα πτερὰ περιβάλλειν ᾧπερ ἂν ἐθέλεις, καὶ δεικνύσθαι μετάρσιον· σοῖς γὰρ γράμμασι πτερωθεὶς (πανταχοῦ γ' ἐδόκουν εἶναι καθάπερ ἔφης τῇ φήμῃ) περιεπόλουν δὲ πόλεις ὁπόσας ἄνθρωποι νέμονται, καὶ μέχρι τῶν βαρβάρων διήειν κούφῃ διανοίᾳ φερόμενος, καὶ πᾶν ἔθνος ἐπὶ λόγοις ἐδόκει με στεφανοῦν· καὶ ἁπλῶς εἰπεῖν διὰ τὴν σὴν ἐπιστολὴν ἠγνόουν ὅ τι γένωμαι· ἕως μέ τις θεῶν τῶν σῶν ἀνήρπασε πτερῶν, καὶ τῆς πλάνης μόλις παυσάμενος, τί ταῦτα πάσχω φημὶ; σκόπει τὸν γράψαντα, καὶ λογίζου τὴν εὔνοιαν, καὶ θαυμάσαι ὅσα πείθειν οἶδε τῆς φιλίας ὁ πόθος· καὶ τὰ μὴ ὄντα γὰρ ἡγεῖσθαι ποιεῖ· καὶ τὰ ψευδῆ τιμᾷν ὡς ἀληθῆ· ἐντεῦθεν οἶμαι τῶν ἐπαίνων ἀπλήστως ἔχειν, καὶ πάντα λέγων εὐχερῶς· καὶ ταῦτα δοκεῖς τῶν ὑπαρχόντων ἐλάττονα· μέτρον δέ σοι τῶν ἐπαίνων ἡ γνώμη, μηδὲν ἀρκεῖν ἡγουμένη πρὸς ἐπαι-

©BIU Santé

©BIU Santé



τον· ἀλλ' ἐπίσχες πρὸς φίλους τοιαῦτα γράφων πρὸς ἄνδρα μικρὸν εἰς ἑαυτὸν ὁρῶντα, καὶ τοῖς γράμμασιν αἰσχυνόμενον. (*)

## LXXIV. Παγκρατίῳ.

Οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλε, φησὶν Αἰσχύλος, ἐπαινεῖν τινὰ προελόμενος· τοιοῦτο ἡμῖν ἀνεφάνης· οὐ τοῦτο δὴ τὸ κοινὸν μέχρι τοῦ παρεῖναι φιλίαν ἐπιδεικνὺς, οὐδὲ μετρῶν τῷ τόπῳ τὴν εὔνοιαν, ἀλλ' ἢ κρεῖττον εἶναι καὶ σαυτὸν νικᾷν ἐπειγόμενος· εἰκότως ἄρα σε τῆς ἐμῆς διανοίας οὐκ οἶδεν ὑποβλέπειν ἡ λήθη· ἀλλ' ἔπεισι τί μοι σωκρατικὸν ἀεὶ λέγειν, ὡς εἰ ἐγὼ Παγκράτιον ἀγνοῶ, καὶ ἐμαυτοῦ ἐπιλέλησμαι, οὗ χορεύει μὲν ἡ γλῶττα ταῖς μούσαις, ἀρετὴ δὲ καθάπερ τέμενος ἄβατον κακίᾳ, τὴν ἱερὰν ψυχὴν ᾠκειώσατο· τοιγαροῦν εὐδαίμων μὲν αὐτὸς τοιαῦτα φέρων γνωρίσματα· καὶ πόλιν οἰκεῖς τὴν κοινὴν τῶν λόγων μητέρα, ἣν ὧραι ποθοῦσαι κατὰ ταύτην ἀλλήλαις ἐσπείσαντο, ἣν προσκλύζει πρᾴως ἡ θάλασσα, καὶ Νεῖλος ἐπαγκαλίζεται καθάπερ ἐρωμένῃ περιχυθεὶς· καὶ πανταχόθεν ἄλση καὶ δένδρα καὶ λήϊα καὶ τοῖς ὀφθαλμοῖς ποικίλα προσβαλοῦσι χάριτες· ἀλλ' ὑμῖν μὲν τὴν εὐδαιμονίαν θεὸς ἐπαυξήσει, καὶ μισθὸν τῆς ἀρετῆς δωρησάμενος· μετάδος δὲ φίλοισι σοῖς σῆς εὐπραξίας, τοῖς ἐκ γλώττης ἀγαθοῖς εὐφραίνων ἡμᾶς, καὶ πέμπων οἴκοθεν οἴκαδε πρὸς ἡμᾶς τὰ ποιήματα· οὐ γὰρ δίκαιον λανθάνειν ἃ τοῖς ἀλλήλοις ἐπιδειχθέντα πλείστην οἴσει τὴν ὄνησιν.

---

(*) Post hanc ad Dorotheum epistolam, alia scribitur in codice laurentiano ad eundem, teste Bandinio, quae incipit *πάλιν εὐσεβείας καιρὸς καὶ πάλιν πρὸς τὴν ὑμετέραν σοφίαν ὁ δρόμος*. Haec quidem deest in codice vaticano; verumtamen in laurentiano vicissim desunt reliquae quae in vaticano sequuntur omnes.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 270 sur 544

## LXXV. Γεσσίῳ ἰατροσοφιστῇ.

Ὁ τὴν ἐπιστολὴν ἐπιδιδοὺς ὑπὸ μητρὶ χήρᾳ τραφεὶς ϗ τὴν τῶν ἀναγκαίων ἔνδειαν αἰτιώμενος, ὅμως οὐχ ὑπὸ νεότητος ἐπαρθεὶς, οὐκ ἐν ἐξουσίᾳ τοῦ πράττειν ὅ τι θέλοι γενόμενος, παρὰ ῥᾳθυμίαν ἀπέκλινεν· ἀλλ' ἐπανορθοῦσθαι τὴν τύχην ἐθέλων, ϗ λόγων ἐρᾷ, ϗ πρὸς τὴν ὑμετέραν γλῶτταν ἐπείγεται· ϗ ἀρκοῦσαν ἀφορμὴν πρὸς εὐσχήμονα βίον ἐξ αὐτῆς ἀρυσάμενος, ὡς ἀρκοῦν ἐστιν ὑμᾶς ἰδεῖν, ϗ τῶν λυπούντων ἔχειν τὴν λύσιν, τῇ παρ' ὑμῶν διδασκαλίᾳ τὰς πρὸς τὸ μέλλον ἐλπίδας ἐπανορθούμενος· ὅθεν τὴν ὑμετέραν γνώμην εἰδὼς, ϗ ὡς πρόκεισθε τοῖς εὖ παθεῖν δεομένοις, θαῤῥῶν ὑμῖν προσάγω τὸν νέον, ἀντὶ μεγάλης δωρεᾶς ὕλην ὑμῖν χορηγῶν τοῦ δύνασθαι πάλιν γεωργῆσαι.

## LXXVI. Φιλίππῳ.

Μόλις ἡμᾶς ἀμηχανοῦντας μετέβαλλες, γράψας ὡς ᾄδειν ἐθέλεις ὑμέναιον, ϗ παίδων γενέσθαι πατήρ· πολλῶν γὰρ ἐπιδραμοῦσα φήμη, ἄλλους ἀλλαχόθεν ἐπήγετο λόγους· ϗ πάντων διηγουμένων σιωπῶντες ἡμεῖς ἠκροώμεθα, τῶν ὑμετέρων ἀγνοοῦντες τὰ μέγιστα, ϗ τοῖς πυνθανομένοις παίζειν δοκοῦντες, ὡς ἀγνοεῖν ἐπίτηδες προσποιούμενοι· νυνὶ δὲ τοῖς γραφεῖσιν ἡσθεὶς, ἡδέως ἂν εὐθὺς Περσεὺς ἐγενόμην ὑπόπτερος, ϗ τῶν πελάγους ὑπερπτὰς, ϗ πρὸς ὑμᾶς ἀφικόμενος, παστάδα κατεῖδον ἱερὰν, ϗ τὸ πάντων ἥδιστον θέαμα, νυμφίον ἐκ φιλοσοφίας ἐρωτικὸν· ϗ ὑλικόν τις αὐτὸν ὀνομάζῃ φιλοσόφως ἀποκρινόμενον, ὡς κοσμεῖν ἔδει τὴν γένεσιν, ἔρανον ἀνθ' ἑαυτοῦ χορηγοῦντα, ϗ τὰ εἰκότα πρὸς ταύτην ἀφοσιούμενον· ἑάλως δ' οὖν ὅμως ὦ βέλτιστε, ὀψέ ποτε τὰ τῶν ἐρώντων μανθάνεις τοξεύματα· ἥ τε νύμφη κα-

©BIU Santé



λή φησι νὴ τὰς χάριτας, ϗ ἱκανὴ φιλοσοφίας παρατρέψαι τὸν ἐραστήν· ἀνὴρ * μόνον γίνου παίδων ἐπ' ἀρετῇ γνησίων, ἡ κωμῳδία φησί· ϗ θᾶττον ἐξ ὑμῶν ἴδοιμι παῖδα, διὰ τῆς θέας τὸν πατέρα κηρύττοντα, μᾶλλον πρᾳότητι ϗ μεγαλοψυχίᾳ, ϗ ταῖς ἄλλαις ἀρεταῖς παραπλήσιον.

* Γρ. πατήρ.

## LXXVII. Ἱερωνύμῳ.

Ὡς μεγάλα τῷ Νείλῳ φρονεῖς, ϗ ἀντεξάγεις ἡμῖν εἰς μέσον ἄγων τὴν Αἴγυπτον, ὥσπερ ἐλούσης τῆς φιλτάτης εἰς λήθην ἐλθών· ὡς ϗ σοφιστικά δέ σου τὰ γράμματα, ϗ τὸν Γοργίου τύφον ἐδόκουν ὁρᾶν· ὕειν γὰρ τὸν Νεῖλον ἔφης ἐκ γῆς, εἴ τι με μὴ τῶν ῥημάτων παρέλαθε, ϗ πλωτὴν ποιεῖν τὴν πάλαι βατήν· τί δέ γε τοῦτο πρὸς σὲ τὴν Ἑρμοῦ κατοικοῦντα, ἣν οὔτε Ζεὺς ὑέτειος ἐφορᾷ, ϗ παρατρέχων ὁ Νεῖλος εἰς ἑτέραν ἐπείγεται; τί δὲ ϗ ψευδῶς ὀπωρίζεσθαι φής; πλὴν εἰ μὴ τοὺς ὄφεις ὀπώραν καλεῖς, ϗ σκορπίων ὅσον τε πλῆθος· ὑφ' ὧν τινος ὡς ἔοικε πάλαι πληγεὶς, ϗ ἰοὺ ἰοὺ φασὶν κεκραγὼς, εἶτα μεταξὺ τράπεζαν τρυφῶσαν ἰδὼν, ὅλως ἐπ' αὐτὴν ἐφέρου, τῷ σκορπίῳ χαίρειν λέξας· τουτὶ τάχα που τὸ κωμικὸν πρὸς τοῦτον εἰπὼν, μή τε γὰρ θανὼν ποτὲ σοῦ χωρὶς εἴην· ταῦτα γράφειν ἐχρῆν, οὐκ ἀλλοτρίοις ἀγαθοῖς ὡραΐζεσθαι· ἀλλὰ ϗ σιωπῆς με γράφῃ, μηδὲν ἡμῖν τὸ παράπαν φθεγγόμενος· ἢ γὰρ ἂν πλείω λέγοντας εὗρες, ϗ οὐκ ἂν ἡμῖν τὸ κοθανίδην * ἔφης, τὸ τῶν αὐλῶν πάθος τοῖς σοφισταῖς ἐπισκώπτοντα· ἔρρωσο, ϗ τὸ παιδίον ϗ ἡ γυνή· ϗ τῷ παιδὶ Ἀλεξάνδρῳ μὴ βαρὺς ἐπίκεισον, νέαν ἡλικίαν ἐπὶ πολὺ βιαζόμενος.

* Ita cod.

## LXXVIII. Διοδώρῳ.

Τὸ πολυθρύλλητον δεξάμενος πρόσταγμα, περὶ οὗ πά-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 272 sur 544

©BIU Santé



λαι πάσας ἀφῆκα φωνάς, σιωπὴν ἦγον, οὐ μὴν τὸ τυχεῖν ἀμνημονεύσας τῆς χάριτος, οὐδὲ τοῦ Γεροντίου μεύσης κληρονόμον· μόνοις γὰρ ὑμῖν τὸ πλεονέκτημα παρέσχεν ἡ τύχη· καὶ τίς μὴ ἐκεῖνον ἰδὼν, δι' ὑμῶν ἀποπληρώσει τὸν πόθον; ὥσπερ δι' ἀκριβοῦς εἰκόνος πρὸς τὸ παράδειγμα καλῶς ἀναγόμενος, σιωπῇ τὴν χάριν ἐτίμων, ἵνα μὴ λέγων, ἔλαττον οὗ βούλομαι τύχω φθεγξάμενος· καί σοι κείσεται χάρις ἀνάγραπτος παρ' ἐμοὶ μᾶλλον, ἢ παρὰ πέρσῃ βασιλεῖ τιμᾷν εἰδότι προδοσίαν καὶ Παυσανίαν μηδίζοντα· εἰ καὶ τὰ μάλιστα τυχεῖν πάντως ἐθέλων ὦ βέλτιστε, καὶ πρὸς ἔργον ἐνέγκας τὴν γνώμην, ἐλεεινὴν ὑπὲρ ἡμῶν ἀφῆκας φωνὴν, καὶ πόῤῥω λίαν ἡμετέρου φρονήματος· παρὰ γὰρ αὐτῷ τῷ δικαστῇ πτωχοὺς ἡμᾶς ἀνεκάλεις· ἐφ' οἷς ἠγανάκτησα μάλιστα, εἰ τοσοῦτον κέχηνας πρὸς τὴν ὕλην, φιλοσοφίας ὕψους ὑποπεσὼν, ὡς χρημάτων χάριν, ἀγεννῆ καὶ ταπεινὰ προσφθέγγεσθαι ῥήματα· καὶ μή τε τὴν ἐμὴν ἀξίαν σκοπεῖν, μή τε τὸν σοφώτατον Διογένην, ὃς ἐν ψιλῇ τῇ πήρᾳ τὸν μέγιστον πλοῦτον ὡρίζετο· ἀλλὰ γενοῦ μόλις ἐλεύθερος, σμικρόν τι χρῆμα πρὸς τὴν ἀρετὴν τὴν οἰκουμένην ἡγούμενος.

## LXXIX. Μαρκέλλῳ.

Τῶν παρόντων γραμμάτων οὐ θράσος αἴτιον, οὐδὲ τὸ μὴ μένειν ἐπὶ τῶν οἰκείων ὅρων εἰδέναι· ἀλλ' ἀνὴρ θεῷ τε φίλος καὶ πάσης ἀνάπλεως ἀρετῆς, ὃν οὐ πέπεικε τὰς πρὸς ὑμᾶς ὑποσχέσεις ὑπερορᾷν, οὐ τὸ νῦν ἐξ Αἰγύπτου μόλις ἐλθεῖν, οὐ φροντιστήριον εὐπρεπὲς, οὐ χειμὼν ἀπειλούμενος, οὐ πέλαγος ἐμποδὼν, οὐχ ὁδοιπορία μακρὰ, ἀρετὴν δὲ μίαν εἰδὼς, τὸ πληροῦν ἔργῳ τὰς ὑποσχέσεις· καὶ πρὸς ἅπαντας ὁμοίως γίνεσθαι παραπλήσιον, ὅλος ὁρᾷ πρὸς ὑμᾶς· ἀλλὰ καὶ θᾶττον ἰέναι παρ' ἡμᾶς καταγγέλλεται· καὶ πέπεισμαι ῥᾳ-



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 273 sur 544

δίως, ἐκ τῆς πρὸς ὑμᾶς ὑποσχέσεως τὴν πεῖραν λαβών· ὑπόλοιπον τοίνυν ὑμῖν κρατεῖσθαι· καὶ πρέπον ἂν εἴη μὴ κρατεῖν ἐθέλειν ἄνδρα μηδὲν οὕτω δεινὸν ἡγούμενον, ὡς τὴν τῶν παραβαίνειν ἀνάγκην, ἅπερ ἐπήγγελται· πέμπε τοίνυν τάχος τὸν ἄνδρα, τὴν ὑμετέραν φιλανθρωπίαν πρὸς ἡμᾶς ἀφηγούμενον.

## LXXX. Σαβίνῳ.

Σὺ μὲν ὡς ἐν ὀνείδει πενίαν προσφέρεις ἐμοὶ, καὶ θηρίον ἐξωλέστατον εἶναι σοι τὸ χρῆμα δοκεῖ· καὶ τὸ δὴ μέγιστον, Ἶρος ἐγὼ παρὰ σοὶ καὶ τὴν καθημέραν ἴσως ἐπιδεής· καὶ τί γὰρ οὐκ ἂν εἴποις ἀρετῆς ὁμοῦ καὶ φιλοσοφίας ἐκπεπτωκώς, ἐλεῶν μὲν ἅ γε θαυμάζειν ἐχρῆν, μεγάλων δέ τινων ἐστερῆσθαι νομίζων τὸν ὑψηλόν τε καὶ κοῦφον, καὶ μὴ τῷ βάρει τῆς ὕλης πρὸς τὰ κάτω φερόμενον; τῇ γαστρὶ γὰρ τὴν εὐδαιμονίαν μετρῶν, καὶ δόξαις ἀνθρώπων προσκείμενος, ἐκμισθεὶς μὲν εἰς ἃ μὴ θέμις τὴν γλῶτταν, κυκᾷς δὲ τὰ δικαστήρια· πάρεργον δέ σου τῆς ἀπάτης οἱ δῆμοι· πλουσίων δὲ θύρας ἀράττεις· κἄν τις ἐξιῶν οἶδε καλῶς, ἀπεῖπεν ὑπὸ σοῦ θαυμαζόμενος· ἑορτὴ δέ σου λαμπρὰ, ἐσθὴς ποικίλη, καὶ βάδισμα σοβαρὸν, καὶ βλέμμα τῇδε κἀκεῖσε χεόμενον· καὶ πανταχοῦ σοι τὴν ὦτα, καθάπερ ὁ Μίδας, εἴ πού τι φθέγξαιτο γύναιον τὴν σὴν σκηνὴν ἐκπληττόμενον· ἀλλὰ μέχρι δή τινος, ὕπνῳ μακρῷ πεδηθεὶς, οἷα τις Ἐνδυμίων, πρὸς ἀρετὴν οὐκ ἀνίστασαι; παῦσαι λοιπὸν πρὸς τὸ σωμάτιον κεχηνὼς, καὶ κατὰ σαυτοῦ τρέφων τὸ δεσμωτήριον· παῦσαι χρυσίον ὀνειροπολῶν, καὶ ἀργύρου πλῆθος ἀεὶ φανταζόμενος, καὶ πολλὰς ἀρχὰς τῇ διανοίᾳ περινοστῶν· τὰ ἔνδον οἷα μηδενὶ τῶν φίλων· ἀλλ' αὐτομόλησον πρὸς ἡμᾶς εἰ δοκεῖ· καὶ τὴν κοινὴν θεὸν τὴν πενίαν προσκύνει, καὶ φιλοῦσαν ἐπίγνωθι· καὶ γὰρ σὲ περιέπει μᾶλλον ἤπερ ἡμᾶς, καὶ φιλήσειν ἔτι κατεπήγγελται.

©BIU Santé

©BIU Santé



## LXXXI. Δωροθέῳ.

Ὅσον ἐλύπεις ἀπαίρων, οὐκ ἂν ἤλπισα προλαβών, εἰ μὴ τὴν πεῖραν ἔσχον διδάσκαλον· ἐξ οὗ γὰρ ἡμᾶς ᾤχου καταλιπών, οὐκ ἐπαυσάμην μετὰ σοῦ τῇ διανοίᾳ παλινοστῶν· καὶ λιμένας καὶ θάλατταν διαγράφων ἐν ἑαυτῷ· καὶ κλῦθι Ποσείδαον γεήοχε πολλάκις εἰπών, ἠξίουν εὐμενῆ σοι παρέχειν τὴν θάλατταν· καὶ τοῦ πλοῦ τὰς ἡμέρας ἐπὶ τῶν δακτύλων ἐτίθουν· καὶ οὕτως ὅλος ἐτύγχανον παρὰ σοί, ὡς καὶ καλέσαι τινὰ πειραθείς, ἔλαβον πολλάκις Δωρόθεον προσειπών· καὶ ὁ μὲν ἐγέλα, ἐγὼ δὲ διαμαρτάνων ἠχθόμην· σὺ δὲ ἴσθι ἠγνόεις, ὁπόσον ἡμῖν ἐναπέθου φίλτρον· πολλάκις προσιόντα τινὰ πόῤῥωθεν θεασάμενος, σὲ μὰ τοὺς θεοὺς ἐδόκουν ὁρᾷν, πρὸς τὸ τῆς διανοίας βούλημα, τῶν ὀφθαλμῶν ῥᾳδίως ἀπατώμενον· τῆς δὲ πλάνης μόλις ἀπήλλαγμαι, γράμματα δεξάμενος παρὰ σοῦ, καὶ θεραπεύσας τὸν ἔρωτα.

## LXXXII. Στεφάνῳ.

Τὴν ὑμετέραν λαμπρότητα κηρύττει μὲν ὅσα τοὺς ἀγαθοὺς γνωρίζειν ἄνδρας ἐπίσταται· ὡς δὲ τῶν πειραθέντων ἡ μαρτυρία, νικᾶται τοῖς ἔργοις ὁ λόγος, καὶ τῶν πραγμάτων κατόπιν εἶναι δοκεῖ· τὴν δὲ περὶ ἐμὲ σπουδὴν ἀεὶ μεγίστῳ παραδεδωκὼς θαύματι, νῦν οὐχ ἥκιστα τοῦτο ποιῶ, ὅτε περ ἄνδρα μοι τοσοῦτον ἔπεισεν ἐπὶ μικρότατον μῆκος ὁδοῦ θεῖναι· ὡς εἰ καὶ ψιλοῖς ἐχρήσατο γράμμασιν, οὐκ ἂν ἔσχον ἀντιλέγειν κελεύοντι· οὕτω δέ μοι βαρὺ φορτίον ἐπέθηκεν αἰδουμένῳ τὴν ἄφιξιν, καὶ τοῦ παντὸς βίου τὴν ἀρετήν· καὶ ὅσα προλαβοῦσα κηρύττει φήμη, βεβαιωθεῖσα τῇ πείρᾳ· ὥστε μικροῦ δεῖν ὡς εἶχον σχήματος εἱπόμην, μὴ δὲ τοῖς οἰκείοις χαίρειν εἰπών· ἀλλά με τίς ἔννοια μόλις ἐπέσχεν ὁρμῶντα,

λογιζόμενον τὸ μηδὲν ὑπερορᾶν πατρίδος, ἐν ᾗ πρῶτον εἶδον τὸν ἥλιον· καὶ ὡς καλὸν τὰ πρὸς ταύτην δίκαια φυλάττειν, ἢ πολὺ κεκτῆσθαι χρυσίον· καὶ ξένους τοσούτους δι' ἐμὲ παρόντας ὑπεριδεῖν.

## LXXXIII. Πέτρῳ.

Ὁ καλὸς Ἐπιφάνιος τοῖς ὑμετέροις γράμμασι πλείστην ἐπαγόμενος εὔνοιαν, συνέστη μὲν οὕτως ἐμοί, σπουδὴν δὲ πᾶσαν ἐπεδείξατο λογικήν, μὴ δὲ τῶν ὅσα φέρει νεότης ἐπιδεικνύμενος, ἀλλ' ὅλον αὐτὸν τοῖς λόγοις ἐνδιδοὺς καὶ τῇ μελέτῃ προσκαρτερῶν· ὃ δὴ καὶ τεκμήριον εἶναι δοκεῖ τοῦ τὴν κατηγορίαν πεπλᾶσθαι· καὶ ψευδὲς εἶναι που τὸ πάλαι θρυλλούμενον· ἀργούντων γὰρ ἐκεῖνα καὶ διανοίας ἐξ ἀλόγου σχολῆς ἐφ' ἃ μὴ δεῖ φερομένης. Ἰσοκράτει δέ τις πειθόμενος καὶ καταναλίσκων τὴν τοῦ βίου σχολὴν εἰς τὴν τῶν λόγων φιληκοΐαν, οὐ δίδωσι τῷ συκοφάντῃ λόγον ὡς εἰκότως ἄρα κατηγορεῖ· κἂν γὰρ αὐτὸς σιγᾷ, τὸν βίον ἔχει πρὸς ἀπολογίαν ἀρκοῦντα· γένοιτο δὲ καὶ τὸν νέον μᾶλλον ἐπιδιδόναι πρὸς λόγους, καὶ ἡμᾶς τῆς ἐπὶ τούτῳ μὴ διαμαρτάνειν ἐλπίδος.

## LXXXIV. Ζαχαρίᾳ καὶ Φιλίππῳ ἀδελφοῖς.

Ὁ θαυμαστὸς Τιμόθεος, ὁ ταύτην φέρων τὴν ἐπιστολὴν τοῦ μὲν ἀλλήλοις γράφειν ἐπὶ τοῦ παρόντος ἐστὶν ἀρχή· πατρὸς δὲ τυγχάνων ἐπιεικοῦς καὶ λίαν ἀπράγμονος ἐν ἑαυτῷ περιφέρει τὸν φύσαντα, τὴν τῶν τρόπων εὐσέβειαν ἐπὶ τοῦ προσώπου δεικνύς· ἐρυθριᾷ γοῦν ἑτοίμως κἂν τις αὐτὸν ἐπαινῇ, κἂν ἀποβλέπειν μόνον ἐθέλῃ· οὗτος ὅτου δὴ χάριν τὴν βασιλίδα πόλιν κατείχετο, καὶ δεῖται τῆς ὑμετέρας ῥοπῆς, ἐν οἷς ἂν δύνησθε συμμαχίαν ἄλυπον χορηγούσης· τοῦτο δὲ ποιοῦν-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 276 sur 544

©BIU Santé



τες, ἀνδράσιν ἔσεσθε κεχαρισμένοι χρηστοῖς· οὗ μεῖζον οὐδὲν τοῖς τιμᾷν ἐγνωκόσι τὴν ἀρετήν.

## LXXXV. Τοῖς αὐτοῖς.

Τὸ παρὸν ὡς ἔοικεν ἔτος δεήσεις παρ᾽ ἡμῶν διακομίσει πυκνὰς, πλὴν οὖν δικαίας καὶ πρόφασιν ἐχούσας ἐπαινουμένην, ἄν τις εὐγνώμων καὶ τὸν τρόπον ἑλληνικὸς, χάριν ἂν ἡσθείη διδοὺς, ἢ προτέρων δεχόμενος· τοιαύτη δέ τις τῶν παρόντων ἡ χρεία· Νεῖλος ὁ λογιώτατος θεῷ τὸν βίον ἀναθεὶς, πόλιν μὲν οἰκεῖ μητρὸς ἐπ᾽ αὐτῷ σαλευούσης, γῆρας ὁμοῦ θεραπεύων, καὶ τὴν ἐντεῦθεν ἀσθένειαν· οὐδ᾽ ἂν δὲ ἧττον πολλῶν ἴσθι ἐπ᾽ ἐρημίας οἰκούντων ἐπ᾽ εὐσεβείᾳ γνωρίζεται· οἰκίαν δὲ κεκτημένος τόπον ὑψηλὸν ἐχούσης τὸν παρακείμενον, γείτονος ἀπέλαυσε πονηροῦ, ὃς θυρίδας κατὰ τοῦ μὴ προσήκοντος ψιλοῦ νεωτερίσας τινὰς, πρὸς μὲν τὸ παρὸν ὡμολόγει μηδὲν ἐμποδὼν ἔσεσθαι, ταύτας οἰκοδομεῖν βουλομένῳ· ὡς δὲ νῦν εἰς ἔργον ἦλθε ὁ λόγος, κώλυμα τὰς θυρίδας προβάλλεται· ὥσπερ δίκην ἀπαιτῶν ὅτι παρεῖδε καινοτομούμενος· ὁρῶν δὲ τοῖς δικαίοις πανταχόθεν ἑαυτὸν ἐξωθούμενον, παρείσδυσιν ἑαυτῷ δυναστείας ἐπινοεῖ· καὶ τὸ μέγιστον ἀνδρὸς τοῖς δικαίοις χαίρειν ἐγνωκότος ἀεί· εἰς γὰρ τὸν πολὺν ἐκεῖνον ὠθεῖται Νεστόριον, τῷ μὴ παρεῖναι τὸν ἄνδρα θαῤῥῶν· τοῖς γὰρ αὐτῷ προσήκουσιν εἰς συμμαχίαν χρησάμενος, ὠνὴν εἰς αὐτόν τινα πρὸς κακουργίαν ἐπλάσατο τὸ δίκαιον ὄνομα· καὶ πρὸς ἀδικίαν ὕλην λαβὼν, καὶ τοὺς κατ᾽ αὐτοῦ πανταχόθεν ἐπαίνους διαβάλλειν πειρώμενος· ἀλλὰ ταῦτα μαθὼν δι᾽ ὑμῶν, κωλύσει ταῖς ἀπειλαῖς τὸν ἀδικοῦντα δι᾽ ἀνδρὸς τιμῶντος τὰ δίκαια.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 277 sur 544

## LXXXVI. Ὠρίωνι.

Ὁ μὲν . . . (1) χαριεῖσθαι τῇ παιδεύσει τῇ σῇ εἴ γε δεῖ γράμματα . . . καὶ ταῦτα δήπου λέγων ἐπὶ τὸ γράφειν ἂν . . . τῆς μὲν εἰς ὑμᾶς εὐνοίας τὸν ἄνδρα τεθαύμακα μὴ δὲ τὸν . . . εἰδόμενον ἐξ ὧν οἶδεν ὑμῖν χαριούμενος· τὴν δὲ σιωπὴν ἦσα . . . ἐρυθριῶν· καὶ σοφὸν ἔχων ἐπιστεῖλαι μηδέν· ὡς γὰρ καὶ Πλάτωνι τῷ σοφωτάτῳ δοκεῖ, οὐκ ἔστιν ἀρετὴν εἰδέναι τι μὴ τοῖς ἔργοις πρὸς ἀρετὴν ἐπειγόμενον· ὃ δὲ μὴ ἔστιν εἰδέναι, κἂν ἐρυθριάσαιμι περὶ τούτου φθεγγόμενος· καὶ ταῦτα ποιῶν ὥσπερ ἂν εἴ τις μουσικὴν μηδ' ὄναρ εἰδὼς, εἶτα τις Ὀρφεὺς εἶναι λέγοι, τὰ θηρία τῇ λύρᾳ χειρούμενος· ἀλλ' εἰ δέοι τῶν κρουμάτων ἐφάψασθαι, γέλως εὐθὺς ὁ κόμπος, καὶ πάντα δὴ ῥᾳδίως ἐλέγχεται· πόθεν οὖν μὴ πέφυκα παρὰ τῷ σῷ θείῳ νομίζομαι· ἔφης τί πρὸς αὐτὸν πολλάκις νόμῳ δὴ φιλίας ἀποσεμνύνων ἐμέ· ὁ δὲ τὸν πόθον οὐ σκοπῶν, ἀλλ' ἐκ τῶν ἔργων εἶναι τοὺς λόγους οἰόμενος, ἀπαιτεῖ γενέσθαι με τοιοῦτον οἷόν με τοῖς λόγοις ἀνέπλασας, καὶ τοῦ σοῦ ψεύδους νῦν εὐθύνας εἰσπράττοντα· καὶ διελέγχω σου τοὺς λόγους, οὐκ ἔχων ἀρετῆς γενέσθαι διδάσκαλος· πλὴν ἐπειδὴ πρός σε μοι τὰ γράμματα, δοκεῖ δὴ πάλιν θαυμάζειν, ἵνα μὴ σαυτὸν ἐλέγχῃς ψευδόμενον.

## LXXXVII. Διοδώρῳ.

Ὀβολοῖν τῶν Εὐριπίδου ῥακίων τὴν ἐμὴν οἰκίαν ἔπλησας, ἀδωνάρια πέμψας ἄρυθμα, καθά σοι φίλον καλεῖν, καὶ βλαύτας ἀμούσους, καὶ ἰφικρατίδας ἐφ' αἷς εἰ καὶ μέγ' οἰμώξειεν ὁ στρατηγὸς Ἰφικράτης οὐδὲ τῆς Ἀττικῆς φερούσαις τεκμή-

---

(1) In his lacunis corrupti madore codicis pauca verba perierunt.

ρεον· οὐδὲ γὰρ χάριν τινὰ ϗ πεῖναν μελίττης ἡμιττίου παρέχονται, οὐδὲ βοῶσι τῇ θέᾳ τὴν Ἀττικὴν, ἐν ᾗ Μαραθὼν ϗ Σαλαμὶς ϗ ἄνδρες ἐλευθερίας ϗ φρονήματος ἐρασταὶ, οὐ μὰ Δία παρ' ὑμῖν μούσῃ τετελεσμένοι· τὰ γὰρ ὑμέτερα ἀλλ' εὔστομα κείσθω· μή τι ϗ λάθω φθεγξάμενος· τὰ μὲν σὰ δῶρα τοιαῦτα· τὰ δὲ ἡμέτερα, κἂν αὐτὸς ἐπαινέσειας οὕτω τῇ γαστρὶ χαριζόμενος· λίχνος γάρ τις ὢν, ϗ τὸ γαρτρίζεσθαι μελέτην πεποιημένος, ϗ βρώμασι τὴν μεγάλην εὐδαιμονίαν μετρῶν, εἴ τι που ϐηρώσαις ἡδὺ, προτείνεις εὐθέως τὴν γλῶτταν, καθάπερ τις Αἴας τὴν μεγάλην ἀσπίδα· ϗ μάρτυς ὁ καιρὸς ἐν ᾧ τὸν πλακοῦντα παρ' ἑτέρων ἀφήρπασας, ὅλον εὐθὺς παραπέμψας τῷ στόματι.

## LXXXVIII. κυριακῷ.

Ὅσον οἱ παῖδες τοῖς πατράσιν ὀφείλουσι χάριτας, οὐκ ἔστιν εἰδέναι πρὸς ἀξίαν, εἰ μή τις ϗ αὐτὸς παίδων ὑπάρχει πατήρ· τό τε γὰρ ἐξ ἧς ἔχει πρὸς τοὺς παῖδας στοργῆς, εἴσεται πάντως ποῖοι πρὸς αὐτὸν ὑπῆρξαν οἱ φύσαντες· πλὴν ὅσοι ταῖς μούσαις ἀνάκεινται, ϗ πρὸ τῆς πείρας λόγῳ τἀληθῆ διακρίνουσιν· ὅθεν σε τοιοῦτον περὶ τοὺς τεκόντας προσήκει γενέσθαι, οἳ τάχα τῶν ἄλλων πλέον εἰς εὔνοιαν συνεισφέρουσι· διό με ϗ πρὸς τὴν παροῦσαν ἐπιστολὴν κεκινήκασι, μισθὸν αἰτοῦντες σὲ πατρικὸν, τὸ μὴ καταισχύναι σε τοιοῦτον, οἷον αὐτοί τε βούλονται, ϗ θεὸς εἰς πέρας ἐνέγκοι· τότε γὰρ αὐτοῖς ϗ θάνατος ῥέων, ἐπισταμένοις οἷον διάδοχον τοῦ γένους ἀπέλιπον.

## LXXXIX. Ζαχαρίᾳ ϗ Φιλίππῳ ἀδελφοῖς.

Ὁ ταύτην πρὸς ὑμᾶς λαβὼν τὴν ἐπιστολὴν, πατρὸς

ἀγαθοῦ πέφυκε τοῦ τὰ χρηστὰ τιμῶντος, καὶ ἐν πᾶσι δικαίοις γνωριζομένου· εἰς Ἑρμοῦ δὲ φοιτήσας ὁ νέος, φύσεώς τε ῥώμην ἐπεδείξατο, καὶ προθυμίαν ἀοκνοτάτην· καὶ νῦν πρὸς βασιλέα ἀνῆλθε προσλαβεῖν τοὺς νόμους βουλόμενος, ὅπως προέλθῃ ῥήτωρ τὴν πολιτείαν φέρων τῷ σώματι, καὶ τῇ γλώττῃ τοὺς λόγους προβεβλημένος· οὐ δὴ δίκαιον τὴν τούτου πρὸς ὑμᾶς ἄφιξιν παραδοῦναι σιγῇ, οἳ τοὺς παρ' ἐμοῦ τετελεσμένους ἴσα που καὶ παῖδας νομίζοντες, καὶ εἰς τοῦτον εὔνοιαν οὐ τὴν τυχοῦσαν ἐνδείξεσθε.

## XC. Εὐδαίμονι.

Τὸν λογιώτατον Ἱέριον τὸν τῶν ἰταλῶν παρ' ἡμῖν προβεβλημένον φωνῆς, καὶ τρόποις ἀγαθοῖς μᾶλλον ἢ παιδείᾳ κοσμούμενον, οὐκ ᾠήθην δεῖν τὴν πρὸς ὑμᾶς ἰόντα παραπέμψαι σιγῇ· καλὸν μὲν γὰρ ἀπαρόντων ὑμῶν ἀπολαύειν ἀεί· δεύτερος δέ φασι πλοῦς, τοῖς ἀποῦσι διὰ γραμμάτων προσομιλεῖν· πλὴν εὐδαίμονες ὄντως, οἷς δίεπεις τὰ δίκαια, καθάπερ τινὸς τρίποδος τῆς σῆς ἐξηρτημένοι φωνῆς· καὶ κοινὸν ὄντως θέαμα τὴν δίκην αὐτοῖς ἐπανελθοῦσαν ὁρῶντες ἣν προλαβὼν ὁ χρόνος ἠμαύρωσε· περιττὸν δὲ λέγειν ὡς εὖ ποιήσεις ἐν οἷς ὑμῶν δεῖται καὶ τὸν τὴν ἐπιστολὴν ὑμῖν κομισάμενον· ᾧ γὰρ βίος οἱ λόγοι, πῶς οὐ τιμήσει τοὺς τῶν λόγων πατέρας ἰδών; ἡκέτω τοίνυν ἀγγέλλων ἅπερ ἀκούειν εὐχόμεθα, ὡς νικᾷς τῇ πείρᾳ τὴν φήμην, καὶ μείζω δίδως ἤπερ οἱ λαμβάνοντες βούλονται.

## XCI. Νηφαλίῳ.

Σὺ μὲν ἐν πλήθει γραμμάτων τὴν ἀπορίαν θρηνεῖς, ἐγὼ δὲ τὰ χρήματα καὶ τοὺς πλουτοῦντας περιφρονῶ, καὶ

τοι πενίᾳ θαυμαστῇ συνεχόμενος (οὕτως ἄρα τὸ πένεσθαι καὶ πλουτεῖν ἡ γνώμη ποιεῖ, οὐ χρήματα) παρὰ τῆς τύχης τῇδε κἀκεῖσε πλανώμενος· τοιγαροῦν παῦσαι μικροψύχως ἡμῖν ὀδυρόμενος, μὴ δὲ μέγα νομίζων, πλὴν εἰ μή τι φέρει πρὸς ἀρετήν· ὅ τι γὰρ μὴ τοιοῦτον, ἀλλότριόν τέ ἐστι καὶ πρὸς ἀπάτην ἐφέλκεται· ὅθεν οἱ φρονεῖν εἰδότες, ὥσπέρ τινα μέθην ταῦτα καὶ φλυαρίαν ἀποσεισάμενοι τὴν γῆν καταλιπόντες τῇ γῇ, μεταρσίῳ γνώμῃ περιπολοῦσι τὸν οὐρανόν· τὰς αἰσθήσεις καὶ τὴν ὕλην καὶ τὸ τῆς πλάνης χωρίον ὥσπέρ τινα χαλεπὴν διανηξάμενοι θάλατταν.

## XCII. Νεστορίῳ.

Ἔτι σιγᾷς; ἔτι τῆς τύχης γίνῃ βαρύτερος; ἡμῖν γὰρ εἰς ἔτι νῦν ἀπεστέρησε, σὺ δὲ καὶ μικρῶν ἡμῖν ἐφθόνησας συλλαβῶν, μὴ δὲ τὸ κοινὸν δὴ τοῦτο τὰ τῶν φίλων μιμούμενος· ἀλλ' ἐγὼ μέν σε καὶ μὴ παρόντα ποθῶ, καὶ μεμνημένος εὐφραίνομαι· καὶ νῦν καιρὸν εὑρὼν, οὐκ οἶδα τιμῆσαι σιγὴν, ἡνίκα δή σε προσερεῖν ἐπιτήδειον· σὺ δὲ εἴ τι μὴ καὶ τοῦτο τῆς πατρίδος ἀπήλαυσας, τὸ μένειν ἐφ' οἷς δή σε πρώην ἐπαίδευσα, μάλιστα μετὰ ποθοῦσιν ἐφίστασο· εἰ δὲ μὴ, μιμοῦ τὴν θέαν τοῖς πράγμασι· καὶ πείσεις ὡς τὴν ἐμὴν διδασκαλίαν τὸ τῆς χώρας οὐδαμῶς ἐνίκησε βάραθρον· οὕτως ἐπαίρομαι πρὸς ἄνδρα διδασκάλου φρονήματος ἀντεχόμενος.

## XCIII. Ζωσίμῳ καὶ Μακαρίῳ.

Οἱ περὶ τὸν σοφώτατον Βαβύλαν ἀφικόμενοι διηγήσαντό μοι προθύμως ἅπερ ἀκούειν μὲν εὔχομαι, πρὶν δὲ λέγειν αὐτοὺς ἠπιστάμην· ἐξ ὧν γὰρ ἐμοὶ φοιτῶντες τὴν περὶ λόγους σπουδὴν, σωφροσύνῃ τρόπων καὶ ταῖς λοιπαῖς ἀρεταῖς ἐκοσμήσατε, δῆλον

ἦν δήπουθεν, ὡς καὶ πρὸς νόμων χάριν ἀπαίροντες, μενεῖτε πάλιν αὐτοί· καὶ πρὸς τὸ κρεῖττον ἀναδραμεῖν γένοισθέ που φιλονεικότεροι· εἰ δὲ ταῦτα μοι παρασκευάζει τὴν ἡδονήν, τί χρὴ λέγειν, σὺν θεῷ δ' εἰρήσθω, ὅτε δικαστηρίων προβεβλημένων καὶ σώφρονι γλώττῃ τῇ εὐνομίᾳ προχέοντες, τοὺς μὲν παρόντας χειροῦσθε τῇ πείρᾳ, τοὺς δὲ μακρὰν ἀπόντας τῇ φήμῃ· τούτων γὰρ θρυλλουμένων, μικρὸν μὲν Πολυκράτης εἰς εὐτυχίαν ἐμοί· οὐδὲν δέ μοι δόξει μετὰ τῶν πολλῶν ταλάντων ὁ Κροῖσος.

## XCIV. Ζαχαρίᾳ ἀδελφῷ.

Τοὺς ἄγοντας τὴν ἐπιστολήν, οἵ τινες μέν εἰσιν, ἀγνοῶ· ὅτι δέ σε θαυμάζουσιν, οἰκείως ἄγαν ὁρίζομαι· οὗτοι γὰρ ἰδόντες ἐμέ, καὶ συγγενοῦς χαρακτῆρος ἐλθόντες εἰς ἔννοιαν, τοῦθ' ὅπερ ἦν ἐμαντεύοντο· καί τι πρὸς ἑαυτοὺς εἰπόντες καὶ κριτὰς ἀλλήλους πεποιημένοι τοῦ πράγματος ὡς ἀδελφὸς τοῦ φιλτάτου καθέστηκα· ἐπειδὴ πρὸς μίαν γνώμην ἐφέροντο, προσδραμόντες ὁμοῦ προσεῖπόν τε ἅμα καὶ εὐμενέσιν ὀφθαλμοῖς ὑπεβλέποντο· καί σε διὰ παντὸς ἐποιήσαντο θαύματος, δικαστὴν ὀρθὸν καὶ ὅ τι σεμνὸν ὀνομάζοντες, τοῦ μὲν ἀξίας ἴσως ἐλάττονα· δῆλοι δ' οὖν ἦσαν πλείω λέγειν ἐθέλοντες, ὧν ἀπαγγέλλειν ἠδύναντο, τὴν περὶ σὲ γνώμην τῆς γλώττης ἀποφαίνοντες κρείττονα· ἐγὼ δὲ πολλοῖς ἐπαίνοις ἐξ αὐτῶν στεφανούμενος· ἔπειτα γὰρ τὰ καθ' ὑμῶν ἐποιούμην ἐγκώμια· καὶ μισθὸν αἰτοῦσιν ἐδίδουν τὴν παροῦσαν ἐπιστολήν.

## XCV. Ὠρίωνι.

Οὐκ ἂν ᾤμην παρ' ὑμῶν τοιαύτην ὑποστῆναι γραφήν, οὐδὲ σιωπῆς ὑπάρχειν ἀνεύθυνος τοῖς ἀγνοουμένοις, ὅπη δὴ

©BIU Santé

γῆς ἢ θαλάττης ἀφίκοντο· ἀλλ᾽ ὡς ἔοικε τὸ μέλλον ἔγκλημα φεύγων, εἶλε κατηγορεῖν μᾶλλον ἤπερ εὐθύνας ὑπέχειν ἐμοί· σὲ γὰρ ἔδει πρῶτα μηνύειν ὡς πολὺ διεμέτρησα πέλαγος· ὡς τὰς νήσους παραπλεύσας τὸν Ἑλλήσποντον εἶδον, τοῖς ἐξ ἑκατέρας ἠπείρου δορυφορούμενον θαύμασι· καὶ παρελθὼν τὴν Προποντίδα, πρὸς αὐτὸν ἀφῖγμαι τὸν Βόσπορον· ἔνθα πόλιν εἶδον παραδόξῳ θέᾳ προαπαντῶσαν τοῖς καταπλέουσιν· ἐπ᾽ αὐχένι γὰρ κειμένη τῆς γῆς, τὴν Ἀσίαν ἐφορᾷ τῆς Εὐρώπης προβεβλημένην· καὶ τὸν Πόντον ὁρίζουσα, τῇ λοιπῇ θαλάττῃ παραπέμπει τὰ θαύματα· καὶ ὅσα φλυαρεῖν ἀπειροκάλως εἰώθασιν, οἱ τἀκεῖ θεασάμενοι, τὴν ἡμετέραν ἀκοὴν καταπλήττοντες· εἰ τὰ τοιαῦτα γράψαντος ἐσιγήσαμεν, τότ᾽ ἂν εἰκότως ὑπεκείμεθα τοῖς ἐγκλήμασι· νυνὶ δὲ σιωπήσας καὶ τὸν τῶν πλεόντων νόμον ὑπεριδών, ἐξ ἐμοῦ τῆς τέχνης ἄρχῃ δικανικῶς τὴν γλῶτταν κινῶν· πλὴν ἐπίστελλε μόνον, κἂν ἐγκλήματα γραφῆς ὑποίσωμεν.

## XCVI. Ἰωάννῃ.

Σοφὸς ἦν ὄντως ὁ ταῦτα δήπου φθεγξάμενος, ὡς ἄρα τὸν σοφόν, κἂν ἑκὰς ναίῃ χθονός, κἂν μήπως ὄσσοις ἐσίδω, κρίνω φίλον· τοιοῦτόν τι με πάθος ὦ λῶστε κατείληφε τὴν μὲν θέαν ἀγνοοῦντα τὴν σήν, τῷ δὲ πόθῳ δεινῶς κατεχόμενον· ἀλλ᾽ εὖ γε τῆς φήμης δι᾽ ἣν καὶ τὰ διεστῶτα συνάπτεται, καὶ τὰ πόρρω που παρεῖναι δοκεῖ· ταύτῃ γὰρ ἡμᾶς πολλάκις ἰδών, καὶ τῆς περὶ τὰ κρείττω μακαρίας σπουδῆς γυμνῇ τῇ διανοίᾳ περιχυθείς, καὶ ἀσωμάτῳ συναπτόμενος ἔρωτι, οὐδέν τι λίαν σωματικῶν προσδέομαι γνωρισμάτων· ἀλλὰ καὶ τὴν ὑμετέραν ἐπιστολὴν ἐκ τοῦ Ἀλεξάνδρου πεμφθεῖσαν λαβών, αὐτοὺς ὑμᾶς ἔχειν ἐδόκουν· τὸ γὰρ τῶν λόγων ἦθος, καὶ τὸ δεινὸν κρίνειν τὸ μὴ τὰ θεῖα ποιεῖσθαι τῆς πρὸς ἐμὲ φιλίας

τεκμήριον, τὴν προλαβοῦσαν οὐκ ἤλεγξε φήμην, ἀλλ' ἔδειξε τοιοῦτον ὁποῖον ἰδεῖν προσεδόκησα· καὶ ταῦτα δικαστηρίοις ὁμιλοῦντα νόμῳ τῆς τέχνης· κἂν τῇ μέθῃ τῶν πραγμάτων ἀνανήφειν οὕτω δυνάμενον· ἀλλὰ καὶ πρὸς πέρας ἔλθοι ὡς τυχεῖν προσεδόκησας· τοῦτο γὰρ τοῖς εὐφρονοῦσι τέλος, ἡ πρὸς τὴν οἰκείαν ἀρχὴν ἀναχώρησις· δεινὸν γὰρ τὸν ἐν ἡμῖν δῆμον ἀφέντας, πρὸς τὸ ἐπανελθεῖν καλῶς ἐξ οὗ κακῶς ἀπερρεύσαμεν.

## XCVII. Σοσσιανῷ.

Ὁ θεοσεβέστατος ὁ δεῖνα ἀφίκετο πρὸς ἡμᾶς πλεῖστα μὲν ἐξ ἀδελφοῦ πονηροτάτου παθὼν, δίκην δὲ μετρίαν ἡγούμενος εἰ τυχεῖν δυνηθείη μόλις ὧν ἀπεστέρηται· ὅθεν δι' ἐμοῦ πρὸς τὴν ὑμετέραν καταφεύγει ῥοπὴν καὶ συστῆναι δυναμένην τῷ δικαστῇ, καὶ τοὺς μέγα δυναμένους πρὸς συμμαχίαν αὐτῷ παρασχεῖν, καὶ τὰς ἐκ τοῦ δικαστηρίου περικόψαι δαπάνας· μόλις γὰρ ἐξ ἐράνων ἀρκεῖ πρὸς τὴν ἰδίαν τροφήν· ἀλλὰ καὶ σύντομον αὐτῷ τὴν ψῆφον ἐνεχθῆναι παρασκευάσατε· ἁπλᾶ γὰρ αἰτεῖ, τὸν ἀντίδικον ὅρκῳ διαλῦσαι, τὰ περὶ τῶν ἐπαγομένων ἐγκλήματα· πρὸς ταύτην τὴν πολλὴν ὑμῶν σπουδὴν καὶ χαριεστάτην γλῶσσαν καὶ ῥέουσαν ἐπὶ δικαίοις ἀκωλύτῳ φορᾷ πρὸς συμμαχίαν ἱκανὴν, ἀντ' ἐράνου τινὸς εἰσενέγκατε· θεῷ τε φίλην καὶ τοῖς αἰτοῦσι κεχαρισμένην καὶ τοῖς δεομένοις ἀρκοῦσαν.

## XCVIII. Ἰωάννῃ.

Ὁ τὴν παροῦσαν ἐπιστολὴν ἐπαγόμενος ἀνὴρ ὢν ἀγαθὸς, ἐξ ἀδικίας ἀδελφοῦ τὴν ἀπορίαν ὀδύρεται· ὅθεν καταλαμβάνει τὴν Καίσαρος, ἄν περ οἷός τε ἦν τὰ προσήκοντα κομιούμενος·

ἀλλὰ συλλαβεῖν καταξίωσον, τοὺς παρ' ὑμῖν δυνατοὺς εἰς συμμαχίαν αὐτῷ παρασκευάζων ἀρκοῦσαν· μίαν γὰρ ἔχει παραμυθίας ἐλπίδα, τὸ ἐκ τῶν νόμων ἐπικουρίας τυχεῖν, ἧς πλεῖστον ἄγαν ἐπεστέρηται χρόνον, πονηρότατον ἔχων τὸν ἀδελφὸν, καὶ καινοτέρας διαλύσεις ἀεὶ μηχανώμενον· ὅθεν αὐτῷ τὴν ἀπορίαν παραμυθήσασθε, τὰς τῶν δικαστηρίων δαπάνας ὡς δυνατὸν περικόπτοντες.

## XCIX. Φιλίππῳ ἀδελφῷ.

Τὸν ταύτην ὑμῖν κομίζοντα τὴν ἐπιστολὴν καὶ ἄλλως μὲν ἐπόθουν, οὐχ ἥκιστα δὲ ὅτι περὶ ὑμῶν ἐπ' ἀγαθοῖς ἀεὶ μεμνημένος· τέλος καὶ τῆς πρὸς ὑμᾶς ἐπιστολῆς ἐμοὶ γέγονεν αἴτιος, δεινὸν εἶναι φάσκων εἰ τῶν ἐξ ἐμοῦ γραμμάτων ἔρημος ὑμῖν ἐπιφαίνοιτο· σὺ δὲ γοῦν μίαν ἡμῖν ἀντεπίθες ἐπιστολὴν, καὶ λῦσον ἔτει πέμπτῳ μετὰ τῶν πυθαγορίων τὴν σιωπήν· ὡς ἡμεῖς καὶ Δωδώνης χαλκεῖον γεγόναμεν, κινῆσαί σε πρὸς λόγους βουλόμενοι.

## C. Εὐαγρίῳ.

Ὡς ποθοῦντος ἄγαν οἱ λόγοι, καὶ τῇ κατὰ πάντων νίκῃ στεφανοῦν ἐγνωκότες τὰ παιδικά· ὡς γὰρ ἐν τοῖς σοῖς γράμμασιν οὐ τοὺς νῦν μόνον ἐνίκων, ἀλλὰ καὶ ὃ μὴ θέμις εἰπεῖν, καὶ Δημοσθένης ἥττητο, καὶ Θουκυδίδης εἶχε τὰ δεύτερα, καὶ ὁ γλυκὺς Ἡρόδοτος μετὰ τούτων ἐτάττετο· ὡς τοιοῦτος ἦν ἐν τοῖς λόγοις μειδιάσας πρὸς ἐμαυτὸν οὐδὲν (1) . . ὥστε τῆς ἔρωτος δυναστείας σφοδρότερον· τῇ γὰρ περὶ . . . τοχος ὁ φίλτατος γεγονὼς, ἠγνόησέ μου τὰ πράγματα, καὶ παρέχει τι

(1) Vocabulum non legitur. Itidem in sequente lacuna utraque.

©BIU Santé



παραπλήσιον· ὥσπερ ἂν εἴ τις τὸν φοξὸν παρ' Ὁμήρου· καὶ τί γὰρ ἕτερον ἢ Θερσίτην παρὰ τῶν Ἑλλήνων ἐς θέαν ἀπέφηνε κρείττονα καὶ αὐτοῦ τάχα τοῦ Νιρέως, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν; ἐμοὶ δὲ μέγιστος ἔπαινος εἰ τούτους ἀγνοηκέναι δοκοίην, οὓς παρὰ σ . . . νενικήκαμεν· ὅθεν σου θαυμάσας τὴν εὔνοιαν, τοὺς λόγους ἀνεστήθην τοῖς ἔρωσι, ἀμφὶ τὸν παιανιέα παραιτησάμενος, εἰ πόθος ἀνθρώπους ἀναπείθει λέγειν, ὁπόσα καὶ λέγειν ἐθέλουσι· καὶ μάλιστα δὴ τούτους, ὁπόσοι λόγων ἐναβρύνονται ῥώμῃ· ἀλλὰ πρὸς εὐχὴν καὶ ταύτην μετρίαν τραπήσομαι, εὐτυχοίης λέγων ὦ φίλτατε, καὶ νικοίης τοὺς νόμους, ὁπόσα τοῖς λόγοις νενίκηκας.

## CI. Νείλῳ.

Δεινὸς ἄρα τις ἦσθα τὰ σμικρὰ μεγάλα ποιεῖν, καὶ γλῶτταν ἄμαχον ἐν οἷς ἐθέλεις ἐνδείκνυσθαι· τοσούτους γὰρ ἐπαίνους ἀνέπλασας κατ' ἐμοῦ, καὶ οὕτως εὐκόλως ἀπήγγειλας, ὡς οὐκ ἄν τις εἶπε ῥᾳδίως ἐξ ἀληθείας ὁρμώμενος· καί μοι δοκεῖς τοσαύτῃ χυθῆναι τῇ γλώττῃ δεῖξαι τάχα βουληθεὶς, οἷος ὑπάρχων ἐλάνθανες· οἴει γὰρ ἴσως ἠγνοῆσθαι παρὼν, ὁπόσην ἀνεθρέψω μοῦσαν ἐκ ῥητόρων ὁρμώμενος· ἐγὼ δέ σε καὶ παρόντα καλῶς ἠπιστάμην· ἀλλ' οὐχ ὅσον ἐχρῆν ἐπαίνους παρ' ἐμοὶ γυμναζόμενον, τοῦ μὴ τοὺς ἐπαίνους τὴν προθυμίαν ἐκλύσαντας, ἀνακόψαι δρόμον ἐπὶ μείζω ἀεὶ χωροῦντα, καὶ πρὸς ἀκμὴν ἐπειγόμενον· νυνὶ δέ σου καὶ λίαν ἥσθην τοῖς γράμμασιν, οὐ τοὺς ἐπαίνους σκοπῶν· ἢ γὰρ ἀνέστην μετεώροις τοῖς σοῖς λόγοις πανταχοῦ μεθιστάμενος, ἀλλ' ὅτι παῖδα καλεῖν ἐκ τῶν μουσῶν εὐτυχήκαμεν· καὶ γὰρ οὕτως ἐπὶ ψευδῆ τὴν γλῶτταν κινῶν, τίς ἂν γένοιο τῆς ἀληθείας ἐπειλημμένος; ἥσθην δέ σοι καὶ σαυτὸν ἐπισκώπτοντι, διότι χρημάτων ἀπλέστως ἐρῶν, καὶ μέχρι τῶν ἐμῶν λόγων τὴν ἐμπορίαν ἐξέτεινας· ἀλλὰ

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 286 sur 544

©BIU Santé



πλήρου τὴν δεξιὰν εὐτυχέστατε, καὶ μετρίως οἴσω τοὺς λόγους ὠνίους θεώμενος· πλὴν ὅρα μὴ καὶ δίκην ὑπόσχοις, προσαπαιτήσας οἴκοθεν, ὅτι μου παῖδας ἀπρεπεῖς δημοσιεύειν ἐτόλμησας.

## CII. κληδονίῳ. (1)

. . . . . . . . . . . . . . . . . .

## CIII. Ζαχαρίᾳ ἀδελφῷ. (2)

Τὰ κατὰ τὸν ἄριστον τόνδε βουλόμενος ὑμῖν διηγήσασθαι, δέδοικα μὴ μάτην ἐνοχλεῖν δόξω, παρ' εἰδόσι τὸν λόγον (a) ποιούμενος· ἴστε γὰρ οἷος μὲν αὐτὸς καθέστηκεν, ὡς τὸν ὅλον βίον ἀναθεὶς τῷ θεῷ, πᾶσιν ἀπεχθάνεται τοῖς ἀνθρωπίνοις· ἔχεται δὲ τῆς ἄνωθεν ἐλπίδος· καὶ διὰ τοῦτο πρόκειται τοῖς ἀδικεῖν βουλομένοις, καὶ πρὸς τὸ παθεῖν ὅσην ἐπιτήδειος· ἴστε γὰρ καὶ τόνδε (ἀδελφὸν γὰρ τοῦτον προσαγορεύειν αἰσχύνομαι) ὃς μίαν ἀρετὴν ἡγεῖται τὸ πᾶσαν ἐκπληρῶσαι κακίαν· παριδὼν ἀδελφὸν τοσούτου χρόνου οὕτως τῷ

---

(a) Vat. τοὺς λόγους.

(1) Huius epistolae nonnisi inscriptio haec superest, quia pagina codicis explicit, reliquis desideratis.

(2) Haec epistola in vaticano codice sexta est; verumtamen ea loco suo praetermitti a me debuit, quia madore corrupta pagina nonnisi hiantes reliquias mihi praebebat. Sed ecce vir cl. et doctissimus Caspar canonicus Bencinius, bibliothecarius laurentianus, roganti mihi epistolae exemplar e florentino codice suppeditavit: neque id tantummodo, verum etiam subsequentem ad Dorotheum epistolam, quae postrema in florentino codice est, in vaticano autem prorsus desideratur, liberaliter obtulit: ob quod beneficium a me publice has gratias agi vero benignissimo aequum est.

λιμῷ πιεζόμενον· οὐκ οἴκοθεν χορηγεῖν μᾶλλον· ὃ παρ' ἀνδρὸς εὖ φρονοῦντος ἔδει γενέσθαι, εἰ καὶ πρὸς τοῦτο καιρὸς ἐκάλει· νῦν δὲ οὐ τόδ' ἐστὶν ἔγκλημα, διότι τὸ πρέπον τοῖς ἄγαν σωφρονοῦσι παρέλιπεν, ἀλλ' ὅτι καὶ τῶν μὴ προσηκόντων γενόμενος ἐραστὴς, ἀφῄρηται ταῦτα, καὶ λοιδορεῖται τούτῳ πυκνῶς, πληγάς τε πολλάκις ἐπέτεινε, καὶ νόμον τὴν αὐτοῦ γνώμην ἡγούμενος, ἴσως τὴν φύσιν ἐμέμψατο, ὅτι μὴ πλέον οὐδὲν εἰς πονηρίαν εὗρεν (a)· ὅθεν οὐ μέχρι τούτων ἔστησε τὴν κακίαν, μᾶλλον δὲ προοίμια ταῦτα τῶν μελλόντων κακῶν· τὴν γὰρ ἑαυτοῦ μητέρα γραῦν ἤδη τυγχάνουσαν, ὅτε τῆς παιδοτροφίας ἤλπισε κομίσασθαι τοὺς καρποὺς, γυνὴ καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὸ γένος, καὶ παρὰ τοῖς μηδὲν προσήκουσιν αἰδοῦς ἀπολαύουσα, ταύτην πολλάκις μὲν εἶπε κακῶς, πολλάκις δὲ καὶ χεῖρας ἀνέτεινε κατὰ τῆς τεκούσης ὦ Ζεῦ· οὐ χρόνον, οὐ πολιὰν ἐλεεινὴν, οὐ τὸ τῆς μητρὸς αἰδεσθεὶς φιλάνθρωπον ὄνομα· ἀλλ' ἤδη καὶ βιαίως ἀνατρέψας, εἰς γῆν κατέβαλε (b)· καὶ λὰξ κατ' αὐτῆς ἐνήλλατο, βοώσης οἷον εἰκὸς, καὶ παῖδα καλούσης· καὶ τί γὰρ οὐκ ἂν εἴποι μήτηρ, μετ' ὠδῖνας καὶ τροφὴν καὶ τὰς καλὰς ἐκείνας ἐλπίδας, τοιαῦτα παρὰ τοῦ παιδὸς ἀνασχομένη (c) κακά; τελευταῖον δὲ καὶ τῆς οἰκίας ταύτην ἀπήλασεν, ἄπορον, γυμνὴν, τῶν ἀναγκαίων ἐστερημένην· ἓν ἴσως τοῦτο χαρισάμενος, ὅτι τοῦ συνεῖναι ταύτην ἀπήλλαξε· καὶ νῦν οὗτος μὲν ἐντρυφᾷ τοῖς τούτων κακοῖς, γυνὴ δὲ γραῦς, καὶ τὰ πρῶτα φέρουσα τῆς παρ' ἡμῖν εὐγενείας, ἐν ταῖς χερσὶ τὰς ἐλπίδας ἔχει τοῦ βίου· τῷ δὲ χρηστῷ τῷδε, καὶ τὸ ταύτης πάθος, ἄλλη γίνεται συμφορά· καὶ πρὸς τὴν οἰκείαν τροφὴν ἀπορούμενος, ὑπεδέξατο ταύτην, ἐπιτείνουσαν μὲν αὐτῷ τὴν ἔνδειαν· ὅμως ἀναγκαῖον

(a) Vat. ἐξεῦρεν. (b) Vat. κατέβαλλε. (c) Vat. ἀνεχομένη.

χρέος ἐκτίνει (a) τῇ φύσει· καὶ νῦν σύνεισιν ἀλλήλοις μίαν ἔχοντες παραμυθίαν, ὅτι μὴ πλείω πεπόνθασιν· ἡ δὲ μήτηρ οἷα δήπου γυνὴ, καὶ τοιαῦτα παθοῦσα, ἕνα βίον ἔχει τὸ μεμνῆσθαι τῶν ἑαυτῆς κακῶν, καὶ δακρύειν ἐπὶ τῇ μνήμῃ· καὶ τὴν θηλὴν ὑποδεικνύειν τῇ δίκῃ οἷα πέπονθε διηγουμένη· ταῦτα τοίνυν εἰς νοῦν λαβὼν, καὶ μηδὲν ἡμᾶς προστιθέναι ταῖς ἀληθείαις νομίσας, ἀλλὰ τὰ κεφάλαια (b) μόνον δεικνύναι τῆς αὐτοῦ πονηρίας, διὰ τὸν τῆς ἐπιστολῆς καιρὸν, μέτρησόν σου τὴν σπουδὴν πρὸς τὴν ἐκείνου κακίαν· καὶ γενοῦ τοιοῦτος, οἷον σε θεὸς ἀπαιτεῖ, καὶ φιλίας νόμος, καὶ ἡ τῶν ἀδικουμένων ἐλπίς.

## CIV. Δωροθέῳ.

Πάλιν εὐσεβείας καιρὸς καὶ πάλιν πρὸς τὴν ὑμετέραν σοφίαν ὁ δρόμος· ἀνήρ τις τῶν ἑαυτοὺς ἀνατεθέντων θεῷ καὶ ἐκ φιλοσοφίας γνωριζομένων, ἐξ ἀδίκου συκοφαντίας ὡς ἔοικεν, τῷ τοῦ δικαστοῦ θυμῷ περιπέπτωκεν ὡς δεξιὰν ἀντάρας πολέμιον κατὰ τῶν ἐξυπηρετουμένων τοῖς νόμοις· οἱ δὲ ταῦτα μηνύσαντες, τὰ παρὰ τῶν ἄλλων ὥς φασιν ἀδικήματα, κατὰ τούτου μετέστησαν· καὶ πλήρης ὁ δικάζων θυμοῦ· καὶ πρὸς ἑαυτὸν καλεῖ, καὶ πρὸς τιμωρίαν ἐπείγεται· καὶ πάρεστι καιρὸς εἴπερ ποτε καὶ νῦν φιλανθρωπίαν ζητῶν· φάνηθι δὴ καὶ φθέγξαί τι τῶν σῶν, καὶ τῆς ὀργῆς παραλύσεις τὸν δικαστήν· εἰ γάρ τι καὶ πέπρακται δεινὸν, ὅπερ οὐδὲ γέγονεν, εἰς συγγνώμην τρέψον τὸ ψηφιζόμενον εἰ μηδὲν ἄλλο, τὸ περικείμενον αὐτῷ σχῆμα τιμήσαντα· φάνηθι μετὰ πολλῶν, οἳ πρὸς τὴν αἴτησιν τυγχάνουσιν εὐπρεπεῖς· μᾶλλον δὲ καὶ πρὸ τῶν ἄλλων, ὁπόσοι οἰκεῖόν τι δόξουσι συνεισφέρειν· ἀλλ' οὖν αὐτὸς πάντων ἀνα-

---

(a) Vat. ἐκτείνει. (b) Vat. τὸ κεφάλαιον.

©BIU Santé



δέξῃ τὸν ἔπαινον· ὡς καὶ πρῶτος, καὶ λίαν αἰτήσας καὶ τῆς καλῆς φιλανθρωπίας γεγονὼς τοῖς ἄλλοις παράδειγμα.

## Eiusdem Procopii gazaei fragmentum ex codice vaticano 1096. p. 61.

Ἐκ τῶν εἰς τὰ Πρόκλου θεολογικὰ κεφάλαια ἀντιῤῥήσεων Προκοπίου Γάζης
ἀντίῤῥησις κεφαλαίου ρμϛ.

Θεία πρόοδος ἄναρχος καὶ ἀτελεύτητος, μόνη ἂν λέγοιτο ἡ ἀπὸ τοῦ ἑνὸς μόνου πατρὸς γέννησις τοῦ ἑνὸς καὶ μόνου υἱοῦ, καὶ ἀπὸ τοῦ αὐτοῦ πρόβλησις τοῦ ἑνὸς καὶ μόνου ἁγίου πνεύματος καθ᾽ ἣν ἡ πατρική τε καὶ ἀρχικὴ μᾶλλον δὲ προάναρχος μονὰς εἰς δυάδα κινηθεῖσα τὴν ἐν υἱῷ θεωρουμένην καὶ πνεύματι, μέχρι τριάδος ἔστη, καθάπερ φησὶν ὁ ἡμέτερος θεολόγος Γρηγόριος· αὕτη δὲ καὶ μόνη θεία φύσει πρόοδος, εἴπερ δεῖ φύσει λέγειν ἐπὶ τῶν ὑπερφυῶν καὶ θείων· καὶ ταύτης ἀρχὴ μὲν ἄναρχος ὁ πατὴρ, ἐξ αὐτοῦ γάρ· μεσότης δὲ σύναρχος ὁ υἱὸς, δι᾽ αὐτοῦ γάρ· τέλος δὲ ὑπερτελέστατον καὶ ἀτελεύτητον τὸ πνεῦμα τὸ ἅγιον, εἰς αὐτὸ γάρ· ἐξῄρηται δὲ καὶ τῶν ἄλλων προόδων αὕτη· οὐδὲ γὰρ ἐξίστησιν ὅλως τῆς ἀρχῆς τὰ ἐξ αὐτῆς, ἀλλ᾽ ἀνεκφοίτητα πάντη ταύτης τηρεῖ, διὰ τὴν τῆς οὐσίας ταυτότητα· εἰ καὶ ὡς ἴδια πρόσωπα πρόεισι· διὸ οὐδὲ τῆς κατ᾽ ἔφεσιν ἐπιστροφῆς δέονται· αἱ δὲ παρὰ ταύτην πᾶσαι τῶν ὄντων πρόοδοι, τοῖς οὖσι συνδιαιροῦνται· καὶ ἄναρχος μὲν τούτων οὐδεμία, ὅτι καὶ τῶν ὄντων ἄναρχον οὐδὲν, ἀλλὰ πάντα γέγονε παρὰ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ συντελεσθέντα τῷ πνεύματι· ἀτελεύτητος δὲ, οὐ πᾶσα· οὔτε μὴν πάντη, ἀλλὰ τῶν μὲν ἀϊδίων μετὰ τὴν ἐκεῖθεν παραγωγὴν μενόντων, ἡ μὲν κατ᾽ οὐσίαν καὶ δὴ τετέλεσται· οὔτε

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 290 sur 544

©BIU Santé



γὰρ ἀλλάττα παρὰ τὰ ἐξ ἀρχῆς παραχθέντα ἐπιπαράγονται· οὔτ' αὐτὰ ἐκεῖνα τὰ παραχθέντα, τὴν κατ' οὐσίαν μεταβολὴν ὑπομένοντα, πάλιν ἄλλης παραγωγῆς δέονται· ἡ δὲ κατ' ἔλλαμψιν, ἀΐδιος ἐκεῖθεν προβαίνει καὶ ἀτελεύτητος, τοῖς μὲν πρωτοδότως, τοῖς δὲ δευτεροδότως, καὶ καθεξῆς· τῶν θείων ἀπαυγασμάτων προχεομένων κατὰ μετάδοσιν, ἀναλόγως ταῖς ἑκάστων τάξεσιν εἴτ' οὖν στάσεσι, μέχρι καὶ τῶν ἐν ἐκείνοις ἐσχάτων· οὕτω δὲ καὶ πάντα πρὸς τὴν μίαν ἀρχὴν ἀνατατικῶς ἐπιστρέφει· καὶ ὁ ἀΐδιος τούτοις καὶ ἀτελεύτητος ἔν τε ταῖς προόδοις καὶ ταῖς ἐπιστροφαῖς κύκλος σώζεται· ἡ δὲ τῶν ὑπὸ γένεσιν καὶ φθορὰν καὶ χρόνον, κατὰ μὲν τὸ καθόλου, καὶ ἤδη τετέλεσται· ἐν ἓξ γὰρ ἡμέραις σύμπας ὁ αἰσθητὸς συμπεπλήρωται κόσμος· ἐν δὲ τῇ ἑβδόμῃ κατέπαυσεν ὁ θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ· καὶ οὐκέτι πρόοδος ἄλλου κόσμου καὶ ἔτι προσδοκᾶται πάμπαν συντελεσθῆναι, κατὰ τὴν τοῦ παρόντος αἰῶνος συντέλειαν· κατὰ δὲ τὸ κατὰ μέρος, ἔτι μὲν ἐνεργεῖται καθὰ εἴρηται τῷ σωτῆρι· ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· πεπαύσεται δὲ πάντως καὶ ἡ κατὰ τὴν κοινὴν συντέλειαν· καὶ ἄλλη τηνικαῦτα πρόοδος ἔσται, καθ' ἣν ἔσται ὁ θεὸς τὰ πάντα ἐν πᾶσι· καὶ πάντα πρὸς αὐτὸν ἐπιστρέψουσιν, ἡ τῶν ὅλων μεταστοιχείωσις, καὶ ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μεταποίησις.

Oribasii particula pertinens ad librum XLIV. 2. p. 5.

Hanc ego particulam reperi inter schedas dissolutas, quae in calce codicum graecorum vatt. congestae sunt. Nimirum ex codice gr. vat. 1885, qui mihi Oribasium obtulit, exciderat olim nescio quo casu folium, cuius priores duae paginae habent hanc, de qua loquimur, particulam; posteriores duae Galeni quamdam partem. Porro quia hoc folium incerti codicis fragmentum visum est, idcirco a priscis bibliothecae curatoribus vel a bibliopegis inter miscellas schedas coniectum fuerat: quod ego demum (etsi paulo serius, sexto scilicet post cetera impressa mense) agnovi, atque ad codicem proprium quasi postliminio revocavi. Rei quidem memoriam in ipso codice p. 18. scripsi; hoc autem libri mei loco desideratum pono Heliodori fragmentum, quod paginae 5. lacunam cumulate explet. Prior autem fragmenti pars capitulum libri secundum absolvit; posterior tertium inchoat, quod ex impressis absolvitur. Quare et ordo capitulorum uno augetur.

Codicis p. 17. b. — ὑπὸ σύῤῥηξιν ἀγομένου, τἀναντία δεῖ ποιεῖν, καὶ συνεργεῖν τῇ εἰς βάθος ὁρμῇ πρὸς τὴν ἀναστόμωσιν· τῇ μὲν ἐπιφανείᾳ προσάγοντας τῶν στυφόντων καταπλασμάτων τῶν διὰ φοινίκων γε καὶ θαλλίας φύλλων καὶ σιδίων καὶ μήλων· πόματα δὲ διδόντας θερμαίνοντα, οἷα τὰ διὰ πεπέρεος σμύρνης πηγάνου ὀποῦ· ἵνα τῆς ἐπιφανείας στελλομένης καὶ τοῦ βάθους θερμαινομένου καὶ ἐρεθιζομένου λεπτυνθὲν τὸ ἀπόστημα ἀναστομωθῇ· ἐπὶ δὲ τῶν ὑποπιπτόντων ἀποστημάτων τοῖς τῆς χειρουργίας ἔργοις τελείας ἐκπυήσεως γενομένης, ἐπὶ τὴν χειρουργίαν ἥκειν δεῖ.

©BIU Santé

©BIU Santé



## III. Τῶν ἐν μεσοπλευρίῳ ἀποστημάτων χειρουργία. (1)

1. Σχηματιζέσθω ὁ κάμνων κεκλιμένος ἐπὶ τὸ ὑγιὲς πλευρόν· πρὸς δὲ τὴν διαίρεσιν αἱρεῖσθαι δεῖ μεσοπλεύριον τὸ μεσαίτατον τοῦ ὄγκου καὶ τῶν ἄλλων πλατύτερόν τε καὶ ἐκτικώτερον· ἡ δὲ διαίρεσις διδόσθω πλαγία μὲν ὑπόλοξος δὲ πρὸς τὸ τοῦ μεσοπλευρίου σχῆμα· τεμνέσθω δὲ πρῶτον μὲν τὸ δέρμα· καὶ πρὸ τῆς τοῦ ἀποστήματος στομώσεως διὰ τῶν τῆς διαιρέσεως χειλῶν ἀγκτῆρες ῥαμάτινοι διεκβαλλέσθωσαν τέσσαρες, δύο καὶ δύο· δίκαιον δὲ χρείαν ὕστερον εἴσεσθαι· μετὰ τὴν τῶν ἀγκτήρων διεκβολὴν τῷ τοῦ σμιλαρίου κόρακι στομούσθω τὸ ἀπόστημα· ἅμα δὲ καὶ τῷ δακτύλῳ διαρτάσθω τὸ καταλελειμμένον συνεχὲς σῶμα· μέγεθος δὲ τῆς τομῆς σύμμετρον ἔστω ὡς διδάκτυλον ἢ καὶ ἔτι μεῖζον· τῇ δὲ πρώτῃ ἐνεργείᾳ· μὴ ὅλον ἐκλαμβανέσθω τὸ πύον· ἡ γὰρ ἀθρόα ἔκκρισις τετήρηται τὸν κατὰ λειποθυμίαν κίνδυνον ἐπιφέρουσα.

2. Ἐκληφθέντος (2) δὲ τοῦ ὑγροῦ, σπόγγον μάλα μὲν λινῷ διαδεδεμένον ἐπὶ τὴν διαίρεσιν ἐντιθέσθω, ἵνα δι᾽ αὐτοῦ τὸ καταλελειμμένον ὑγρὸν ἐπέρχηται· εἶτα τιλτοῖς μότοις χρηστέον καὶ πτυγματίῳ διπτύχῳ ἢ τριπτύχῳ τῷ καλουμένῳ μονοφύλακι· κατὰ δὲ τούτου οἱ ἀγκτῆρες | ἁμματιζέσθωσαν τοπικοῦ κρατήματος χάριν· εἶτα ἔξωθεν ἐπιμοτούσθω Codicis p. 18. b. ἡ τομὴ τιλτοῖς οἰνελαίῳ βεβρεγμένοις· καὶ ἔξωθεν ὁ κοινὸς μοτοφύλαξ ἐπιτιθέσθω, καὶ ὅλῳ τῷ θώρακι ἔριον οἰνελαίῳ βεβρεγμένον· τῇ δὲ δευτέρᾳ ἢ τρίτῃ λυέσθω· καὶ πάλιν μέρος τοῦ ὑγροῦ αὔταρκες κενούσθω· γινέσθω τὲ ταῦτα καὶ ταῖς

---

(1) Ἀπὸ τοῦ γ των χειρουργουμένων κεφ. τοῦ ὁμοίου.
(2) Ἀπὸ τοῦ αὐτοῦ.

ἑξῆς, ἵνα τρισὶν ἢ πλείοσιν ἐπιβολαῖς τὸ τοῦ ὑγροῦ πλῆθος πᾶν κομισθῇ.

3. Ἀλλ' ἐπεὶ τὰ ἀποστήματα ταῦτα κινδυνώδη ἐστί, τὸν ἄριστον ἰατρὸν χρὴ προγινώσκειν τὸν ὀλεθρίως ἔχοντα καὶ τὸν σωτηριῶδες· ὀλεθρίως μὲν οὖν ἔχων ὁ πάσχων μετὰ τὴν τοῦ ὑγροῦ ἔκκρισιν ἀσώδης ἐστὶ καὶ δυσόρεκτος καὶ δύσπνους καί ποτε καὶ βήσσει μετ' ἀγρυπνίας καὶ ἀσθενείας τῆς δυνάμεως· καὶ τοῦ ὑγροῦ κενουμένου καθ' ἡμέραν πάλιν συλλέγεται δαψιλὲς δυσῶδες· καὶ φθειρομένου τοῦ ὑπεζωκότος ὑμένος καὶ ἀπολύματα φανήσεται ἐμφερόμενα τῷ ὑγρῷ· σωτηρίως δὲ διακειμένου τοῦ νοσοῦντος, τὰ ἐναντία συνεδρεύει· καὶ χρὴ μετὰ τὴν παντελῆ τοῦ ὑγροῦ ἔκκρισιν τὸν λιχανὸν δάκτυλον καθιέναι, καὶ σκοπεῖν πότερον γυμναὶ εἰσὶν αἱ πλευραὶ ἢ λελιπασμέναι ἢ σκέπονται ὑπὸ σωμάτων· ἐὰν οὖν ἔτι σκέπων τῷ ὑπεζωκότι ὑμένι γινέσθω κατάντλησις δι' ὕδατος εὐκράτου· εἶτ' ἐγκλυζέσθω τὸ βάθος μελικράτῳ· καὶ κλινέσθω ὁ πάσχων πρὸς τὸ πάσχον μέρος· τὸ δ' ἐναπομεῖναν ἐρίῳ περὶ μηλωτρίδα εἰλημμένῳ ἀναρπαζέσθω· εἶτ' ἐγχυματιζέσθω μέλι λεῖον ὠμὸν ἢ μετρίως ἀπεζεσμένον· φάρμακα γὰρ λιπαίνοντα ἐπὶ τῶν ἀποστημάτων τούτων ἐστὶν ἀθέατα· τὸ δὲ μέλι διὰ βαρύτητα ὑποτρέχον καὶ τὸ ὑγρὸν ἀνακουφίζον πρὸς ἔκκρισιν ἄγει.

4. Μετὰ τὴν τοῦ μέλιτος ἔκχυσιν, λημνίσκοι καθιέσθωσαν· καὶ τότε ἡ τομὴ τιλτοῖς μότοις διαστελλέσθω· καὶ οὕτως οἱ ἀγκτῆρες ἁμματιζέσθωσαν· περιμοτούσθω δὲ τὰ πλησίον μέρη || —

©BIU Santé



## DE ORIBASII LIBRIS XXIV. ET XXV.

### ADNOTATIO.

Oribasii magnae collectionis libri XXIV. et XXV. nondum graece editi, extant in codice palatino vatic. 375, qui quoniam Heidelbergam ante hos annos relatus fuit, dolebam equidem mihi ereptam facultatem libros illos cum aliis a me inventis divulgandi. Nunc ecce ottobonianos vat. codices lustrans, libros illos duos deprehendi in codice 235, quam rem hactenus idcirco ignoraveram quia codicum index cuncta Rufo perperam tribuit. Atqui ego codicem diligentius evolvens, post Rufum legi p. 17. Oribasii nomen, cuius praedicti duo ex ordine libri scribuntur. Etsi vero ea res non mediocriter primum me delectavit, mox tamen nihil prope novum me invenisse cognovi. Nam liber quidem posterior nihil aliud continet quam Rufum de partibus humani corporis, et Galenum: prior autem, id est XXIV, occupatur item a Galeno, et a Sorano de feminae naturalibus. Unicum igitur edendum mihi supererat Lyci brevissimum de coniugii opere fragmentum, quo liber XXIV. concluditur: sed quia id quoque in graecorum medicorum editione, quam Lipsiae V. C. Kühnius curat, proditurum brevi vix dubito, ego quidem non invitus praetermisi.

©BIU Santé



# ΤΟΥ ΛΟΓΟΥ

## ΥΠΟΘΕΣΙΣ.

Ἀδελφιδοῖ Κλεωνύμου τελευτήσαντος ἐπὶ τὸν κλῆρον ἔρχονται κατὰ γένος· καὶ τὰς διαθήκας ἃς παρέχονται εἰς αὐτοὺς οἱ περὶ Φερένικον καὶ Σίμωνα καὶ Ποσείδιππον, γράψαι, ὡς ἀληθὲς ἦν, καὶ θεῖναι παρὰ τοῖς ἄρχουσιν ὁμολογοῦντες Κλεώνυμον, κατὰ τὴν πρὸς Δεινίαν τὸν ἐπίτροπον αὐτῶν ὀργήν, ὕστερον δὲ ἐπιχειρήσαντα λῦσαι, καὶ μεταπεμψάμενον τὸν ἀστυνόμον, ἐξαίφνης ἀποθανεῖν (1)· καὶ Πολύαρχον τὸν πάππον αὐτῶν, Κλεωνύμου δὲ πατέρα, προστάξαι, εἴ τι πάσχοι Κλεώνυμος, δοῦναι αὐτοῖς τὰ ὑπάρχοντα. Ἡ στάσις ὅρος διπλοῦς κατὰ ἀμφισβήτησιν· οἱ μὲν γὰρ ἄλλοι ταῖς γενομέναις ἐξ ἀρχῆς διαθήκαις διισχυρίζονται· οἱ δ' ἀντιλέγοντες φασίν, ὅτι μετεκαλέσατο τὸν ἄρχοντα, ἵνα λύσῃ αὐτάς· καὶ τελευταῖον τοῖς παρὰ τοῦ Κλεωνύμου γενομένοις.

# ORATIONIS

## ARGUMENTUM.

Cleonymi extincti nepotes ex fratre hereditatem iure sanguinis adire volunt. Fatentur autem, testamentum quod contra ipsos proferunt Pherenicus et Simon et Posidippus, conditum quidem revera fuisse et apud magistratus depositum; verum id factum aiunt ex odio in Diniam curatorem suum, idemque voluisse Cleonymum abrogare, nisi, cum aedilem arcessebat, repente esset exanimatus. Aiunt praeterea, Polyarchum avum suum, patrem Cleonymi, iussisse, ut si quid humanum Cleonymo accideret, bona ipsis ab eo tribuerentur. Causae status finitione duplici continetur, prout fert controversia. Litigantium enim pars altera tabulas olim conditas tuetur: altera vero contendit, Cleonymum eas rescindendi causa arcessivisse magistratum: et postremis eiusdem Cleonymi gestis innititur.

(1) Ἀποθανεῖν abest a codice ambrosiano aliisque.

# ΙΣΑΙΟΥ

## ΛΟΓΟΣ ΠΕΡΙ ΤΟΥ

## ΚΛΕΩΝΥΜΟΥ ΚΛΗΡΟΥ.

α. Πολλὴ μὲν ἡ μεταβολή μοι γέγονεν, ὦ ἄνδρες, τελευτήσαντος Κλεωνύμου· ἐκεῖνος γαρ ζῶν μὲν ἡμῖν κατέλιπε τὴν οὐσίαν, ἀποθανὼν δὲ κινδυνεύειν περὶ αὐτῆς πεποίηκε· καὶ τότε μὲν οὕτως ὑπ' αὐτοῦ σωφρόνως ἐπαιδευόμεθα, ὥστ' οὐδ' ἀκροασόμενοι οὐδέποτ' ἤλθομεν ἐπὶ δικαστήριον, νῦν δὲ ἀγωνιούμενοι περὶ πάντων ἥκομεν τῶν ὑπαρχόντων· οὐ γὰρ τῶν Κλεωνύμου μόνον ἀμφισβητοῦσιν, ἀλλὰ καὶ τῶν πατρῴων ὀφείλειν ἐπὶ τούτοις ἐκείνῳ φάσκοντες ἀργύριον· καὶ οἱ μὲν οἰκεῖοι καὶ οἱ προσήκοντες ἐπὶ τού-

# ISAEI

## DE HEREDITATE CLEONYMI

## ORATIO

1. Ingens mihi, o viri, accidit conversio rerum extincto Cleonymo: quum enim is vivens facultates suas nobis se diceret relicturum, moriens litem de ipsis excitavit: quumque item adeo pudice ab illo tunc educaremur, ut ne auditores quidem ad iudicia umquam accederemus, nunc certaturi de rebus omnibus adsumus. Adversarii enim non Cleonymi tantum bona adpetunt, sed ipsum nostrum patrimonium, ex quo pecuniam deberi Cleonymo aiunt. Et adversariorum quidem familiares at-

τοις (1) οἱ τούτων ἀξιοῦσιν ἡμᾶς καὶ τῶν ὁμολογουμένων, ὧν Κλεώνυμος κατέλιπεν αὐτοῖς, τούτων ἰσομοιρῆσαι· οὗτοι δὲ εἰς τοῦτο ἥκουσιν ἀναισχυντίας, ὥστε καὶ τὰ πατρῷα προσαφελέσθαι ζητοῦσιν ἡμᾶς, οὐκ ἀγνοοῦντες, ὦ ἄνδρες, τὸ δίκαιον, ἀλλὰ πολλὴν ἐρημίαν ἡμῶν καταγνόντες.

β. Σκέψασθε γὰρ οἷς ἑκάτεροι πιστεύοντες ὡς ὑμᾶς εἰσεληλύθαμεν· οὗτοι μὲν διαθήκαις ἰσχυριζόμενοι τοιαύταις ἃς ἐκεῖνος δὴ ὑπέθετο (2) μὲν, οὐχ ἡμῖν ἐγκαλῶν, ἀλλ᾽ ὀργισθεὶς τῶν οἰκείων τινὶ τῶν ἡμετέρων· ἔλυσε δὲ πρὸ τοῦ θανάτου πέμψας Ποσείδιππον ἐπὶ τὴν ἀρχήν· ἡμεῖς δὲ γένει μὲν ἐγγυτάτω προσήκοντες, χρώμενοι δὲ ἐκείνῳ πάντων οἰκειοτάτω, δεδωκότων δ᾽ ἡμῖν καὶ τῶν νόμων κατὰ τὴν ἀγχισ-

que propinqui in hac prorsus sententia versantur, ut eorum bonorum, quae illis a Cleonymo legata fatemur, aequam portionem nos quoque adsequamur; illi autem tanta impudentia efferuntur, ut etiam patria nobis eripere tentent: non idcirco, o viri, quod ius nesciant, sed quia nos plane auxilio destitutos esse arbitrantur.

2. Iamvero considerate, quibus freti momentis huc utrique convenimus. Illi testamento nituntur, quod Cleonymus, nobis utique nihil exprobrans, sed iratus cuidam e nostris necessariis, reapse condendum censuit; antiquavit autem ante obitum cum Posidippum misit ad magistratum. Nos autem et genere ad Cleonymum proxime accedimus, et eodem familiarissime usi sumus. Nobis praeterea eius bona tum leges adtribuunt ob ius ab intestato

---

(1) Ἐπὶ τούτοις haud in cunctis est codicibus.

(2) Alii codices ἐκεῖνος διέθετο.

τείαν, καὶ αὐτοῦ τοῦ Κλεωνύμου διὰ τὴν φιλίαν τὴν ὑπάρχουσαν αὐτῷ, ἔτι δὲ Πολυάρχου, τοῦ πατρὸς Κλεωνύμου, πάππου δ' ἡμετέρου, προστάξαντος, εἴ τι πάθοι Κλεώνυμος ἄπαις, ἡμῖν δοῦναι τὰ αὐτοῦ· τοσούτων τοίνυν ἡμῖν ὑπαρχόντων, οὗτοι καὶ συγγενεῖς ὄντες, καὶ οὐδὲν δίκαιον εἰπεῖν ἔχοντες, οὐκ αἰσχύνονται καταστήσαντες ἡμᾶς εἰς ἀγῶνα, περὶ ὧν αἰσχρὸν ἦν ἀμφισβητῆσαι καὶ τοῖς μηδὲν προσήκουσιν.

γ. Οὐχ ὁμοίως δέ μοι δοκοῦμεν, ὦ ἄνδρες, διακεῖσθαι πρὸς ἀλλήλους· ἐγὼ μὲν γὰρ οὐχ ὅτι ἀδίκως κινδυνεύω, τοῦθ' ἡγοῦμαι μέγιστον εἶναι τῶν παρόντων κακῶν, ἀλλ' ὅτι ἀγωνίζομαι πρὸς οἰκείους, οὓς οὐδ' ἀμύνεσθαι καλῶς ἔχει· οὐ γὰρ ἂν ἐλάττω συμφορὰν ἡγησαίμην κακῶς ποιεῖν τούτους ἀμυνόμενος οἰκείους ὄντας, ἢ κακῶς παθεῖν ἐξ ἀρχῆς ὑπὸ τούτων· οὗτοι δ' οὐ τοιαύτην ἔχουσι τὴν γνώμην,

succedendi, tum ipse Cleonymus propter suum in nos amorem, tum denique Polyarchus Cleonymi pater, avus noster, qui sanxit, ut si quid humanitus Cleonymus liberorum expers pateretur, eius facultates ad nos pertinerent. Tam gravi iuris praerogativa quum nos prediti simus, hos nihilominus et adfinitate nobis coniunctos et nulla aequitate suffultos non pudet iudicio nobiscum contendere de iis bonis, pro quibus turpe esset cum extraneis etiam hominibus dimicare.

3. Porro non eodem animo inter nos adfecti mihi videmur, o viri. Namque ego quod immerito periclitor, id maximum praesentium malorum non iudico; sed quod litigo cum necessariis, quos ne refellere quidem honestum est: neque equidem minorem calamitatem existimo si necessarios meos laesero dum me ipse defendo, quam quod ab illis sponte iniuriaque lacessitus sum. Adversarii au-

ἀλλ' ἥκουσιν ἐφ' ἡμᾶς, καὶ τοὺς φίλους παρακαλέσαντες, καὶ ῥήτορας παρασκευασάμενοι, καὶ οὐδὲν ἀπολείποντες τῆς αὐτῶν δυνάμεως, ὥσπερ, ὦ ἄνδρες, ἐχθροὺς τιμωρησόμενοι, καὶ οὐκ ἀναγκαίους καὶ συγγενεῖς κακῶς ποιήσοντες.

δ. Τὴν μὲν οὖν τούτων ἀναισχυντίαν καὶ τὴν αἰσχροκέρδειαν ἔτι μᾶλλον γνώσεσθε, ἐπειδὰν πάντων ἀκούσητε. Ὅθεν δ' οἶμαι τάχιστ' ἂν μαθεῖν ὑμᾶς περὶ ὧν ἀμφισβητοῦμεν, ἐντεῦθεν ἄρξομαι διδάσκειν. Δεινίας γὰρ ὁ τοῦ πατρὸς ἀδελφὸς ἐπετρόπευσεν ἡμᾶς, θεῖος ὤν, ὀρφανοὺς ὄντας· Κλεωνύμου δ' οὗτος, ὦ ἄνδρες, διάφορος ὢν ἔτυχεν· ὁπότερος μὲν οὖν αὐτῶν ἦν τῆς διαφορᾶς αἴτιος, ἴσως οὐκ ἐμὸν ἔργον ἐστὶ κατηγορεῖν· πλὴν τοσοῦτόν γε ἂν δικαίως αὐτοῖς ἀμφοτέροις μεμψαίμην, ὅτι καὶ φίλοι τέως ὄντες, καὶ προφάσεως οὐδεμιᾶς γενομένης, ἐκ λόγων τινῶν, οὕτως εἰκῇ πρὸς ἀλλήλους ἔχθρας ἀνείλοντο.

tem hanc mentem non gerunt: sed in nos irruunt, invocatis amicis, comparatis oratoribus, nullis denique copiis omissis, tamquam si inimicos, o viri, ulturi essent, et non potius necessariis ac consanguineis damnum illaturi.

4. Atque istorum impudentiam turpemque lucri cupiditatem clarius adhuc cognoscetis, quum omnia audiveritis. Incipiam autem ab ea parte vos docere, unde litem, in qua versamur, quam citissime intelligetis. Dinias patris nostri frater in tutela nos habuit, patruus pupillos. Hic autem inimicitias exercebat cum Cleonymo. Uter porro eorum ansam discidio dederit, officii mei non videtur certiores vos facere. Unum hoc haud immerito in utroque reprehenderim, quod antea amici quum essent, neque deinceps certa aliqua dissensionis occasio incidisset, tam temere ex quorumdam sermunculis mutuas inimicitias susceperunt.

©BIU Santé

ε. Ὅτι γοῦν ἐκ ταύτης τῆς ὀργῆς (1) Κλεώνυμος ταύτας ποιεῖται τὰς διαθήκας, οὐχ ἡμῖν ἐγκαλῶν, ὡς ὕστερον ἐσώθη (2) ἔλεγεν, ὁρῶν δὲ ἡμᾶς ἐπιτροπευομένους ὑπὸ Δεινίου, καὶ δεδιὼς μὴ τελευτήσειεν αὐτὸς ἔτι παῖδας ἡμᾶς καταλιπὼν, καὶ τῆς οὐσίας ἡμετέρας οὔσης γένοιτο κύριος Δεινίας· ἡγεῖτο γὰρ δεινὸν εἶναι τὸν ἔχθιστον τῶν οἰκείων ἐπίτροπον καὶ κύριον τῶν αὐτοῦ (3) καταλιπεῖν, καὶ ποιεῖν αὐτῷ τὰ νομιζόμενα τοῦτον, ἕως ἡμεῖς ἡβήσαιμεν, ᾧ ζῶν διάφορος ἦν. Ταῦτα διανοηθεὶς ἐκεῖνος, εἴτ᾽ ὀρθῶς εἴτε μὴ, τὰς διαθήκας ταύτας διέθετο. Καὶ εὐθὺς ἐρωτῶντος τοῦ Δεινίου παραχρῆμα, εἴ τι ἡμῖν ἢ τῷ πατρὶ ἐγκαλεῖ τῷ ἡμετέρῳ, ἀπεκρίνατο πάν-

5. Quod igitur huius odii adversus Diniam causa, quin alioqui nobis esset infensus, eas tabulas condidisset, ipse, postquam convaluit, narrabat Cleonymus; sed quia nostri tutelam geri videbat a Dinia, verebaturque ne, si ipse nobis adhuc pueris moreretur, bona sua in potestatem Diniae venirent. Cleonymo autem molestissimum accidebat, et hominem inimicissimum curatorem esse suorum consanguineorum, et eumdem dominum sui patrimonii relinquere, et, donec nos certe pubesceremus, ab eo sibi inferias de more dari, cui vivens iratus fuisset. Haec ille animo reputans, sive recte sive secus, eiusmodi testamentum conscripsit. Atque illico rogante eum Dinia, numquid de nobis aut de parente nostro querere-

(1) Cod. ambr. pro ὀργῆς habet ἀρχῆς deteriorem lectionem: quam si amplectaris, dicas licet: *quod igitur ex his initiis tabulae Cleonymi ortae sint* etc.

(2) Cleonymus inofficiosum illud testamentum condiderat olim implicitus in morbum, ex quo convaluit.

(3) Τῶν αὐτοῦ abest a codice ambr., sed recte suppletur ex edd.

πάντων τῶν πολιτῶν ἐναντίον, ὅτι οὐδὲν πονηρὸν ἐγκαλεῖ (1)· καὶ ἐμαρτύρησεν ὡς ὀργιζόμενος ἐκείνῳ, καὶ οὐκ ὀρθῶς βουλευόμενος, ταῦτα διέθετο· πῶς γὰρ ἂν εὐφρονῶν, ὦ ἄνδρες, κακῶς ποιεῖν ἡμᾶς ἐβουλήθη τοὺς μηδὲν αὐτὸν ἀδικήσαντας;

ϛ. Ὕστερον δὲ τούτων, ὃ μέγιστον ἡμῖν τεκμήριον, ὅτι οὐδὲ ταῦτα ἔπραξεν ἡμᾶς βλάπτειν βουλόμενος· τελευτήσαντος γὰρ Δεινίου, καὶ τῶν πραγμάτων πονηρῶς ἡμῖν ἐχόντων, οὐδὲ περιεῖδεν ἡμᾶς οὐδενὸς ἐνδεεῖς ὄντας, ἀλλ' αὐτοὺς μὲν εἰς τὴν οἰκίαν τὴν αὐτοῦ κομισάμενος ἐπαίδευε, τὴν δ' οὐσίαν ἀφελέσθαι τῶν χρηστῶν ἐπιβουλευσάντων, ἔσωσεν ἡμῖν, ἐπεμελεῖτό τε ὁμοίως τῶν ἡμετέρων, ὥσπερ τῶν αὐτοῦ πραγμάτων· καίτοι χρὴ θεωρεῖν αὐτοῦ τὴν ἔννοιαν ἐκ τούτων τῶν ἔργων μᾶλλον, ἢ ἐκ τῶν διαθηκῶν· καὶ τεκμηρίοις χρῆσθαι, μὴ

tur, coram plurimis civibus respondit, se nullam fraudem nobis exprobrare: testatusque est, se Diniae infensum et mente perturbatum ita res suas ordinasse. Ac reapse, o viri, quomodo homo sana mente praeditus damno nos afficere cogitasset, qui eum nulla in re violavimus?

6. Nunc addemus, quod maximo indicio est, Cleonymum, ne cum quidem ita se gerebat, malum nobis esse molitum. Mortuo enim Dinia, et re familiari nostra attrita, nihil ille nobis deesse passus est, sed domi suae exceptos educavit, et ab impetu creditorum bona nostra protexit: curam denique rerum nostrarum non secus ac suarum gessit. Atqui oportet Cleonymi mentem ex his operibus potius cognoscere quam ex tabulis: et indiciis uti non iis quae ille iratus edidit (quo in statu mentis

(1) Ἐγκαλεῖ abest a codice ambr.

τοῖς μετ᾽ ὀργῆς πραχθεῖσιν (ἐν οἷς ἅπαντες πεφύκαμεν ἁμαρτάνειν) ἀλλ᾽ ἀφ᾽ ὧν ὕστερον φανερὰν τὴν αὐτοῦ διάνοιαν ἐποίησε.

ζ. Ἔτι γὰρ μᾶλλον ἐν τοῖς τελευταίοις ἐδήλωσεν ὡς εἶχε πρὸς ἡμᾶς· ἤδη γὰρ ἀσθενῶν ταύτην τὴν νόσον, ἐξ ἧς ἐτελεύτησεν, ἐβουλήθη ταύτας τὰς διαθήκας ἀνελεῖν· καὶ προσέταξε Ποσειδίππῳ τὴν ἀρχὴν εἰσαγαγεῖν· ὁ δὲ οὐ μόνον οὐκ εἰσήγαγεν, ἀλλὰ καὶ τὸν ἐλθόντα τῶν ἀρχόντων ἐπὶ τὴν θύραν, ἀνέπεμψεν (1)· ὀργισθεὶς δὲ τούτῳ Κλεώνυμος, πάλιν εἰς τὴν ὑστεραίαν Διοκλεῖ καλέσαι τοὺς ἄρχοντας προσέταξε· καὶ οὐχ οὕτως ὡς ἀσθενῶν διακείμενος, ἀλλ᾽ ἔτι πολλῶν οὐσῶν ἐλπίδων, ἐξαπίνης τῆς νυκτὸς ταύτης ἐτελεύτησε.

η. Πρῶτον μὲν οὖν ὑμῖν παρέξομαι μάρτυρας, ὡς οὐχ ἡμῖν ἐγκαλῶν, ἀλλὰ Δεινίᾳ πολεμῶν, ταύτας τὰ διαθή-

omnes peccare solemus) sed iis quibus post illud tempus sententiam suam declaravit.

7. Namque Cleonymus multo magis in postremis significavit, quomodo erga nos esset adfectus. Quum enim ex eo morbo decumberet, quo extinctus est, cogitavit de illis tabulis antiquandis: iussitque a Posidippo magistratum arcessiri. Ille autem non modo non arcessivit, sed eum qui venerat de magistratibus ad aegroti fores, exclusit. Quod moleste ferens Cleonymus, rursus in crastinum imperavit Diocli ut magistratum advocaret. Nimirum ita se gessit, quia se in extremis versari non putabat, sed multam vitae spem retinebat: cum ecce eadem nocte repente animam efflavit.

8. In primis igitur vobis testes sistam, quod nihil de

(1) Ita cod. ambr. ἀνέπεμψεν, at inferius ἀπέπ.

©BIU Santé

©BIU Santé



κας διέθετο· ἔπειτα ὡς ἐκείνου τελευτήσαντος, ἐπεμελεῖτό τε τῶν ἡμετέρων ἁπάντων, καὶ αὐτὸς ἐπαίδευεν εἰς τὴν οἰκίαν ἑαυτοῦ κομισάμενος· πρὸς δὲ τούτοις, ὡς Ποσείδιππον ἔπεμψεν ἐπὶ τὸν ἀστυνόμον· οὗτος δ' οὐ μόνον αὐτὸν οὐκ εἰσεκάλεσεν, ἀλλὰ καὶ ἐλθόντα ἐπὶ τὴν θύραν Ἀρχωνίδην ἀπέπεμψεν (1)· ὡς οὖν ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας. ΜΑΡΤΥΡΕΣ. Ἔτι τοίνυν (2) ὡς οἱ τούτων φίλοι καὶ Κηφίσανδρος ἠξίουν νείμασθαι τὴν οὐσίαν, καὶ τὸ τρίτον μέρος ἡμᾶς ἔχειν ἁπάντων τῶν Κλεωνύμου· καὶ τούτων μοι κάλει μάρτυρας. ΜΑΡΤΥΡΕΣ.

θ. Ἡγοῦμαι μὲν τοίνυν, ὦ ἄνδρες, πᾶσι τοῖς τῶν κλήρων (3) ἀμφισβητοῦσιν, ὅταν ἀποφαίνωσι σφᾶς αὐτοὺς, ὥσπερ

nobis querens, sed propter suam simultatem cum Dinia, eas tabulas scripsit Cleonymus. Deinde quod, Dinia mortuo, ille nostra omnia curare coepit, nosque instituendos curavit domi suae receptos. Praeterea quod Posidippum ad aedilem allegavit: quem ille non modo non vocavit, verum etiam Archonidem, qui ad fores venerat, repulit. Quod igitur vera dicam, testes voca. TESTES. Ad haec adversariorum amici, inter quos Cephisander, censuerunt hereditatem dividendam, tertiamque partem bonorum Cleonymi a nobis esse cernendam: cuius item rei mihi testes voca. TESTES.

9. Age vero opinor, o viri, quicumque de hereditate causam dicunt, postquam se ipsos, ut nos fecimus, demonstraverint et genere priores et benivolentia erga vita

(1) Cod. ambr. Ἀρχονίδην ἀπεπέμψει. Mallem ἄρχοντα, ut est infra ff. ια.

(2) Cod. ambr. τούτων.

(3) Cod. ambr. τὸν κλῆρον.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 304 sur 544

©BIU Santé



ἡμεῖς, καὶ τῷ γένει προτέρους ὄντας, καὶ τῇ φιλίᾳ τῇ πρὸς τὸν τετελευτηκότα, περίεργον εἶναι τοὺς ἄλλους λόγους λέγειν· ἐπειδὴ δὲ τούτων οὐδέτερον ἔχοντες, οὕτω τολμῶσι τῶν οὐ προσηκόντων ἀμφισβητεῖν, καὶ ψευδεῖς παρασκευάζονται λόγους, βούλομαι βραχέα καὶ περὶ τούτων αὐτῶν εἰπεῖν· ἰσχυρίζονται γὰρ ταῖς διαθήκαις λέγοντες, ὡς Κλεώνυμος μετεπέμπετο τὴν ἀρχὴν, οὐ λῦσαι βουλόμενος αὐτὰς, ἀλλ' ἐπανορθῶσαι καὶ βεβαιῶσαι σφίσιν αὐτοῖς τὴν δωρεάν· ὑμεῖς δὲ σκοπεῖσθε (1) τὰς διαθήκας τὰς μετ' ὀργῆς γενομένας πότερα εἰκός ἐστι βουληθῆναι Κλεώνυμον ἀνελεῖν, ἐπειδὴ πρὸς ἡμᾶς οἰκείως ἔσχεν, ἢ σκοπεῖν ὅπως ἔτι βεβαιώτερον ἡμᾶς ἀποστερήσειε τῶν αὐτοῦ· τοῖς μὲν γὰρ ἄλλοις κἀκείνων, ὧν ἂν ὀργισθέντες τοὺς οἰκείους ἀδικήσωσιν, ὕστερον μεταμέλει· οὗτοι δὲ ἐκεῖνον ἀποφαίνουσιν ἐν ᾧ πρὸς ἡμᾶς οἰκειότατα διέκει-

functum, inutile esse prolixiorem sermonem addere. Sed quoniam adversarii, etsi neutrum horum pro se facere sentiunt, audent nihilominus pro iis bonis iudicio contendere, quae nihil ad illos adtinent, fallacesque orationes instruunt; volo et eorum argumentis breviter respondere. Tuentur quippe testamentum dicentes, Cleonymum advocasse magistratum, non illud rescindendi causa sed emendandi donumque ipsis confirmandi. Iamvero vos iudicate, tabulas quas ira impulsus scripsisset, utrum probabilius sit voluisse abrogare Cleonymum, postquam is nobis familiarissimus erat, an potius curare ut suis bonis firmius nos privaret. Et reliquos quidem homines, siquid amicos irati laeserunt, paenitere deinceps solet; adversarii autem contendunt, Cleonymum, quo tempore

(1) Ita cod. ambr. σκοπεῖσθε; at idem inferius σκοπεῖτε.



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 305 sur 544

το, μᾶλλον βεβαιοῦν τὴν διαθήκην βουλόμενον, ἣν ὀργιζόμενος ἐποιήσατο.

ι. Ὥστ᾽ εἰ καὶ ἡμεῖς ὁμολογήσομεν ταῦτα, καὶ ὑμεῖς αὐτοὶ πιστεύσοιτε, ἐνθυμεῖσθε ὅτι παράνοιαν οὗτοι τὴν μεγίστην αὐτοῦ κατηγοροῦσι· τίς γὰρ ἂν γένοιτο ταύτης μανία μείζων, ἢ τότε μὲν, ὅτε Δεινίᾳ διάφορος ὢν (1) ἔτυχεν, ἡμᾶς κακῶς ποιεῖν τε, καὶ διατίθεσθαι τοιαύτας διαθήκας, ἐξ ὧν οὐκ ἐκεῖνον ἐτιμωρεῖτο, ἀλλὰ τοὺς οἰκειοτάτους ἠδίκει· νυνὶ δὲ χρώμενος ἡμῖν, καὶ περὶ πλείστου ποιούμενος ἁπάντων, μόνους ἐβουλήθη τοὺς ἀδελφιδοῦς, ὡς οὗτοι φασὶν, ἀκλήρους ποιῆσαι τῶν ἑαυτοῦ; καὶ τίς ἂν εὖ φρονῶν, ὦ ἄνδρες, τοιαῦτα περὶ τῶν αὑτοῦ βουλεύσαιτο; ὥστ᾽ ἐκ τούτων τῶν λόγων

erga nos benivolentissimum gerebat animum, voluisse vehementius confirmare tabulas, quas iratus olim confecisset.

10. Atqui si id nos fateamur, vosque ipsi credatis, reputate quaeso cum animis vestris, Cleonymum ab adversariis maximae insaniae insimulari. Nam quae maior vesania esse potest, quam Cleonymum, cum inimicitias fovebat adversus Diniam, et in nos hostiliter egisse, et eiusmodi testamentum fecisse, quo non illum puniebat, sed sanguine coniunctissimos iniuria adficiebat: novissime vero, licet is et consuetudine nostra uteretur, nosque omnibus praeponeret, solos inquam et ex fratre nepotes voluisse, ut isti aiunt, exheredare? Quis, rogo, o viri, mentis compos de coniunctissimis suis ita decerneret? Quapropter adversarii hisce sermonibus faciliorem immo causae cognitionem vobis effecerunt. Nam sive Cleony-

(1) Cod. ambr. et unus wratislav. ἦν.

©BIU Santé

ῥᾳδίαν ὑμῖν τὴν διάγνωσιν πεποιήκασι περὶ αὐτῶν· εἰ μὲν γὰρ ἀνελεῖν τὰς διαθήκας βουλόμενος μετεπέμπετο τὴν ἀρχὴν, ὥσπερ ἡμεῖς φαμὲν, οὐδεὶς ἔνεστι τούτοις (1) λόγος· εἰ δ' οὕτως παραφρονῶν ἔτυχεν, ὥσθ' ἡμᾶς περὶ ἐλαχίστου ποιεῖν τοὺς γένει πρωτεύοντας, καὶ χρωμένους αὐτῷ πάντων οἰκειότατα, δικαίως ἂν δήπου τὰς τοιαύτας διαθήκας ἀκύρους ποιήσαιτε.

ια. Ἔτι τοίνυν ἐνθυμεῖσθε, ὅτι φάσκοντες καλεῖν τὴν ἀρχὴν τὸν Κλεώνυμον, ἵνα βεβαιώσῃ τὴν αὐτῶν δωρεὰν, προσταχθὲν αὐτοῖς οὐκ ἐτόλμησαν εἰσαγαγεῖν, ἀλλὰ καὶ τὸν ἐλθόντα τῶν ἀρχόντων ἐπὶ τὴν θύραν, ἀπέπεμψαν· καὶ δυοῖν τοῖν ἐναντιοτάτοιν θάτερον μέλλοντες, ἢ τὴν οὐσίαν ἕξειν βεβαιοτέραν (2), || ἢ ἐκείνῳ, μὴ ποιήσαντες, ἀπεχθήσεσθαι, τὴν

|| RELIQUA OMNIA INEDITA ERANT ANTE EDITIONEM MEDIOLANENSEM A. MAII.

mus eo nomine magistratum arcessivit, quod, ut nos inquimus, delere tabulas vellet; adversarii quidem nihil amplius habent quod dicant: sive ita vecors fuit, ut nos in perpetuum nihili ducendos existimaverit, qui tamen et genere priores eramus et summo usu cum illo coniuncti; vos ipsi iure videlicet meritoque has tabulas rescinderetis.

11. Praeterea cogitate, quod etsi adversarii dicunt, Cleonymum implorasse magistratum, ut illis donata firmaret; non sunt ausi tamen aedilem adducere, quamquam id ipsis esset imperatum: immo eum, qui venerat, a foribus prohibuerunt: quumque alterutrum maxime contrarium esset eventurum, ut nimirum aut facultates firmiore iure haberent, aut Cleonymi, si minus manda-

---

(1) Cod. ambr. τοιούτοις.

(2) Orationum Isaei prima ordine est *de hereditate Cleony-*

ἀπέχθειαν εἵλοντο μᾶλλον ταύτης τῆς δωρεᾶς· καίτοι πῶς ἂν ἕτερα τούτων γένοιτο ἀπιστότερα; τοὺς μὲν τηλικαῦτα μέλλοντας ἐκ τοῦ πράγματος κερδαίνειν, ὥσπερ ζημιωθησομένους, φυλάξασθαι τὴν διακονίαν, Κλεώνυμον δ' ὑπὲρ τῆς τούτων ὠφελείας τοσαύτην ποιήσασθαι σπουδὴν, ὥστε Ποσειδίππῳ μὲν, ὅτι κατημέλησεν, ὀργισθῆναι, Διοκλέους δὲ ταῦτα πάλιν εἰς τὴν ὑστεραίαν δεηθῆναι;

ιβ. Εἰ γὰρ δὴ, ὦ ἄνδρες, ὡς οὗτοι φασὶν, ἐν ταῖς νῦν γεγραμμέναις διαθήκαις ἔδωκεν αὐτοῖς τὴν οὐσίαν, καὶ τοῦτ' ἄξιον εἶναι μοι δοκεῖ θαυμάζειν, ὅ τί ποτε ἐπανορθώσας, κυ-

ta facerent, in offensionem incurrerent; illum laedere, quam donum ab eodem percipere maluerunt. Atqui nihil his incredibilius esse potest: eos videlicet qui arcessito magistratu tantum lucrum essent acquisituri, quasi damnum metuerent, a mandati exsecutione abstinuisse; Cleonymum autem horum utilitatis tantam curam gessisse, ut et Posidippo, qui mandatum neglexisset, irasceretur; et Dioclem, ut in crastinum vocaret magistratum, rogaret.

12. Quod si, o viri, testamento illis legaverat Cleonymus facultates, ut ipsi aiunt; mirum mihi videtur, quod emendando, firmius illud se effecturum existima-

---

*mi*, secunda *de Meneclis* item *hereditate*, ut e codicibus ambrosiano et mediceo aliisque patet. Iamvero Aldus, qui primus Isaeum edidit, codice mutilo quum uteretur, ab hoc loco primae orationis ad sequentis clausulam transilivit. Quum tamen sententiam hiare videret, lacunam spatio interposito indicavit. Aldum autem reliqui ante nos editores sectati sunt. In romano chisianae domus codice locus huius orationis cum clausula secundae connectitur, nullo adiecto lacunae indicio.

©BIU Santé



ριοτέρας αὐτὰς ἡγοῖτ' ἂν ποιῆσαι· τοῖς γὰρ ἄλλοις οὗτος ὅρος ἐστὶν, ὦ ἄνδρες, τῶν δωρεῶν. Ἔτι δὲ καὶ εἴ τι προσγράψαι τούτοις ἐβούλετο (1), διὰ τί οὐκ ἐν ἑτέρῳ γράψας αὐτὰ γραμματείῳ, κατέλιπεν, ἐπειδὴ τὰ γράμματα παρὰ τῶν ἀρχόντων οὐκ ἐδυνήθη λαβεῖν; ἀνελεῖν μὲν γὰρ, ὦ ἄνδρες, οὐχ οἷος τ' ἦν ἄλλο γραμματεῖον, ἢ τὸ παρὰ τῇ ἀρχῇ κείμενον· γράψαι δ' ἔξην εἰς ἕτερον, εἴ τι ἐβούλετο, καὶ μηδὲ τοῦθ' ἡμῖν ἀμφισβητήσιμον ἐᾶν.

ιγ. Εἰ τοίνυν καὶ τοῦτο συγχωρήσαιμεν, ὡς ἐκεῖνος ἐπανορθῶσαι τὰς διαθήκας ἐβούλετο, πᾶσι δήπου φανερὸν ὑμῖν ἐστὶν, ὅτι οὐκ ὀρθῶς αὐτὰς ἔχειν ἡγεῖτο· καίτοι σκοπεῖτε καὶ ἐντεῦθεν τὴν (2) ἀναισχυντίαν αὐτῶν, οἵτινες ταύτας τὰς διαθήκας ἀξιοῦσιν εἶναι κυρίας, ἃς ὁμολογοῦσι μηδ' αὐτὸν τὸν διαθέμενον ταῦτα ὀρθῶς ἔχειν ἡγεῖσθαι· καὶ πείθουσιν ὑμᾶς ἐναντία

verit. Reliqui enim homines cum testamentum scripserunt, finem donandi fecisse putant. Quod si addere aliquid iam scriptis voluit, cur codicillos non condidit? quoniam ipsum testamenti exemplar a magistratibus auferre non potuerat. Et abolere quidem nonnisi eam scripturam poterat, quam apud magistratus deposuerat; licebat tamen eidem aliam condere, si collibuisset, omnemque nobis in posterum controversiam de medio tollere.

13. Nunc si nos forte concedamus, voluisse Cleonymum tabulas emendare, iam certe omnibus patet, se eas recte fecisse non esse arbitratum. Atque ex hoc etiam adversariorum impudentiam discite, qui illud testamentum ratum esse confirmant, quod ipsum testatorem fatentur non bene a se conditum iudicasse: vobisque suadent, ut

(1) Cod. ambr. ἐβάλετο.
(2) Cod. ambr. καὶ τήν.

©BIU Santé



καὶ τοῖς νόμοις, καὶ τῷ δικαίῳ, καὶ τῇ τοῦ τετελευτηκότος γνώμῃ ψηφίσασθαι.

ιδ'. Ἔτι τοίνυν τούτων ἁπάντων ἀναιδέστατος τῶν λόγων ἐστὶν, ὅτ' ἂν τολμῶσι λέγειν, ὡς Κλεώνυμος οὐδὲν ἡμᾶς τῶν αὑτοῦ λαβεῖν ἐβούλετο· καίτοι, ὦ ἄνδρες, τίνας ἂν ἄλλους ταῦτα ἔχειν ἐβουλήθη, ἢ τούτους, οὓς καὶ ζῶν ἐκ τῶν αὑτοῦ πλεῖστα τῶν οἰκείων ὠφέλει; πάντων δ' ἂν εἴη θαυμασιώτατον, εἰ Κηφίσανδρος μὲν, ὁ τούτων οἰκεῖος, δίκαιον ἡγεῖτο εἶναι, μέρος ἕκαστον ἡμῶν ἔχειν τῆς οὐσίας, Κλεώνυμος δ' ὃς ἦν ἡμῖν οἰκειότερος, καὶ ἡμᾶς εἰς τὴν οἰκειότητα ἑαυτοῦ λαβὼν ἐθεράπευε, καὶ ἐπεμελεῖτο τῶν ἡμετέρων ὥσπερ τῶν αὑτοῦ πραγμάτων, οὗτος μόνος ἐβούλετο ἡμᾶς ἀκλήρους εἶναι τῶν αὑτοῦ· καὶ τίς ἂν ὑμῶν πιστεύσειεν, εὐνουστέρους καὶ μετριωτέρους τοὺς ἀντιδίκους ἡμῖν εἶναι τῶν οἰκειοτάτων; ἢ ἐκεῖνον μὲν,

contra leges et aequitatem et ipsius defuncti voluntatem sententiam feratis.

14. Ille vero est omnium impudentissimus sermo cum dicere audent, Cleonymum nihil suarum facultatum a nobis percipi voluisse. Atqui, o viri, quosnam alios eas habere maluisset quam nos? quos et prae omnibus necessariis re familiari sua vivens iuvabat. Multo autem mirabilissimum esset, si quum Cephisander, adversariorum nostrorum cognatus, aequum censeat, nos quoque in partem hereditatis vocari; Cleonymus contra nobis adfinitate longe coniunctior, quippe qui nos in familiaritatem suam receptos educavit, resque nostras non secus ac suas cordi habuit; is, inquam, unus nos ab hereditate depellere voluisset. Iam quis vestrum sibi persuadeat, adversarios benivolentiores esse et moderatiores erga nos quam hominem coniunctissimum? Aut eum quidem, cui plane

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 310 sur 544

ᾧ καὶ ἀναγκαῖον εὖ ποιεῖν ἡμᾶς, καὶ αἰσχρὸν ἡμῶν ἀμελῆσαι, μηδὲν τῶν αὐτοῦ δοῦναι ἡμῖν· τούτους δὲ οἷς οὔτ' ἀνάγκη ἐστὶν, οὔτ' αἰσχύνην οὐδεμίαν φέρει, τῶν οὐ προσηκόντων, ὡς φασὶν, ἡμῖν μεταδιδόναι; ἀλλὰ ταῦτα μὲν, ὦ ἄνδρες, πολλὴν ἀπιστίαν ἔχει.

ιε. Ἔπειτα, εἰ μὲν καὶ νῦν οὕτω πρὸς ἀμφοτέρους ἡμᾶς ἔχων ἐτελεύτησεν, ὥσπερ ὅτε τὰς διαθήκας ταύτας ἐποιήσατο, εἰκότως ἄν τις ὑμῶν πιστεῦσαι τοῖς λογοῖς τοῖς τουτωνί· νῦν δὲ πᾶν τοὐναντίον εὑρήσετε· τότε μὲν γὰρ ἔτυχε Δεινίᾳ, ὃς ἡμᾶς ἐπετρόπευε, διάφορος ὢν, ἡμῖν τε οὔπω (1) χρώμενος, τούτοις τε ἅπασιν ἐπιτηδείως διακείμενος· νῦν δὲ τούτων μέν τισι διάφορος ἐγένετο, ἡμῖν δὲ πάντων ἐχρῆτο οἰκειότατα· καὶ ἐξ ὧν μὲν αὐτῷ πρὸς τούτοις ἐγένετο ἡ δια-

necessarium erat nobis benefacere, turpe autem negligere, nihil suarum facultatum nobis dedisse: hos vero, quibus nulla necessitas benefaciendi est, neque ulla ex neglectu ignominia imminet; nobiscum ea bona communicare, quae ad nos prorsus non adtinent? Haec, inquam, o viri, a fide vehementer abhorrent.

15. Praeterea, si cum Cleonymus obiit, eo adhuc animo erga nos et adversarios nostros fuisset, quem gessit cum huiusmodi testamentum scribebat; aequum foret, vos sermonibus adversariorum fidem adiungere; nunc autem plane contrarium deprehendetis. Olim quippe Cleonymus inimicus Diniae erat tutori nostro, neque adhuc consuetudine nostra utebatur, et his omnibus adversariis nostris erat familiaris. Postea vero et horum nonnullis factus est inimicus Cleonymus, et nobis fami-

(1) Cod. ambr. οὔτω.

φορὰ, περίεργον ἐστὶ λέγειν, σημεῖα δ' ὑμῖν ἐρῶ μεγάλα περὶ ὧν καὶ μάρτυρας ἕξω παρασχέσθαι· πρῶτον μὲν γὰρ θύων τῷ Διονύσῳ, καὶ τοὺς οἰκείους ἅπαντας καλέσας, καὶ τῶν ἄλλων πολιτῶν πολλοὺς, Φερένικον οὐδαμοῦ παρεστήσατο· ἔπειτα μικρὸν πρὶν τελευτῆσαι βαδίζων εἰς Πάνορμον (1) μετὰ Σίμωνος, καὶ συντυχὼν αὐτῷ, προσειπεῖν οὐκ ἐτόλμησε· ἔτι δὲ πρὸς τούτοις πυνθανομένου τὴν διαφορὰν τοῦ Σίμωνος, τήν τ' ἔχθραν διηγήσατο, καὶ προσηπείλησε ὅτι δηλώσοι ποτ' ἂν τούτῳ, ὡς διακεῖται πρὸς αὐτόν· καὶ ὡς ἀληθῆ λέγω, κάλει μάρτυρας. ΜΑΡΤΥΡΕΣ.

ιϛ. Οἴεσθε οὖν, ὦ ἄνδρες, τὸν οὑτωσὶ πρὸς ἑκατέρους ἡμῶν διακείμενον, ἡμῖν μὲν, οἷς οἰκειότατα ἐχρῆτο, οὕτως

liarissimus esse coepit. Et qua quidem de causa Cleonymi animus ab adversariis nostris aversus sit, operosum est dicere: sed tamen ipsius magna indicia exhibebo, quorum etiam testes exhibebo. Nam primum quum Baccho sacrum faceret Cleonymus, omnesque necessarios, multosque e civibus advocasset, Pherenicum prorsus non invitavit. Rursus paulo ante obitum quum Panormum iret Simone comite, occurrissetque forte eidem Pherenico, non tulit eum salutare. Praeterea quum de ea simultate sciscitaretur Cleonymum Simon, ille et odium aperte fassus est, et minatus etiam se aliquando, quo animo in Pherenicum esset, ostensurum. Ut autem constet me vera dicere, testes voca. TESTES.

16. Postquam igitur cognovistis, o viri, quomodo erga nos adversariosque nostros adfectus fuerit Cleonymus; putabitis, inquam, eum adversus nos, quibuscum ami-

(1) Panormus portus Atticae a Ptolemaeo in tabulis memoratus.

©BIU Santé

ποιεῖν, ὅπως μηδὲ λόγον ὑπολείψει, τούτοις δὲ, ὧν τισι καὶ διάφορος, σκοπεῖν ὅπως ἅπασαν βεβαιώσῃ τὴν οὐσίαν; (1) καὶ τούτους μὲν περὶ πλείονος ποιεῖσθαι, ταύτης ὑπούσης τῆς ἔχθρας, ἡμᾶς δὲ, τοσαύτης οἰκειότητος καὶ φιλίας γινομένης, πειρᾶσθαι μᾶλλον κακῶς ποιεῖν; ἀλλ᾽ ἐγώ γε, εἰ κατηγορεῖν ἐβούλοντο τῶν διαθηκῶν ἢ τοῦ τετελευτηκότος, οὐκ οἶδ᾽ ὅ τι ἂν ἄλλο πρὸς ὑμᾶς εἶπον οἵ τε τὰς μὲν διαθήκας ἀποφαίνουσιν οὔτ᾽ ὀρθῶς ἐχούσας οὔτ᾽ ἀρεσκούσας τῷ διαθεμένῳ· τοῦ δὲ τοσαύτην μανίαν κατηγοροῦσιν, ὥστε φασὶν αὐτὸν περὶ πλείονος ποιεῖσθαι τοὺς αὐτῷ διαφέροντας, ἢ τοὺς οἰκείως χρωμένους· καὶ οἷς μὲν ζῶν οὐ διελέγετο ἅπασαν δοῦναι τὴν οὐσίαν, τοὺς δὲ οἰκειότητος κεκτημένους, οὐδὲ πολλοστοῦ μέρους ἀξιῶσαι· ὥστε τίς ἂν ὑμῶν ταύτας κυρίας εἶναι ψηφίσαιτο τὰς διαθήκας, ἃς ὁ μὲν διαθέμενος, ὡς οὐκ

cissime versabatur, ita se gessisse, ut ne appellaret quidem in tabulis; his autem, quorum nonnullis erat infensus, magnopere curasse ut universam hereditatem adsereret? eosdemque, hac simultate intercedente, plurimi fecisse; nos vero, quibuscum erat ei tanta necessitudo et benivolentia, maluisse pro viribus damno adficere? Sane si isti vellent aut tabulas aut mortuum vituperare, haud scio quidnam aliud apud vos essent dicturi: quum videlicet et tabulas haud recte confectas significent, et ipsi testatori non probatas; eumdem vero tam furiosum declarent, ut ab eo inimicos pluris factos adfirment quam familiares: et iis, quos vivens non alloquebatur, facultates ab eodem esse legatas; consuetudine autem devinctis ne partem quidem aliquantam fuisse donatam. Quare quis

(1) Cod. ambr. ἔχθραν.

ὀρθῶς ἐχούσας ἀπεδοκίμασεν, οὗτοι δ' ἔργῳ λύουσιν, ἐθέλοντες ἡμῖν ἰσομοιρῆσαι τῆς οὐσίας, πρὸς δὲ τούτοις ἡμεῖς ὑμῖν ἀποφαίνομεν ἐναντίας οὔσας καὶ τῷ νόμῳ καὶ τοῖς δικαίοις καὶ τῇ τοῦ τετελευτηκότος διανοίᾳ.

ιζ. Οἶμαι δ' ὑμᾶς τὸ περὶ ἡμᾶς δίκαιον σαφέστατ' ἂν παρ' αὐτῶν τούτων πυνθάνεσθαι· εἰ γάρ τις αὐτοὺς ἔροιτο, διὰ τί ἀξιοῦσι κληρονόμοι γενέσθαι τοῦ Κλεωνύμου, τοῦτ' ἂν εἰπεῖν ἔχοιεν, ὅτι καὶ γένει ποθὲν προσήκουσιν, καὶ ἐκεῖνος αὐτοῖς χρόνον τινὰ ἐπιτηδείως διέκειτο· οὐκ οὖν ἄρα ὑπὲρ ἡμῶν μᾶλλον, ἢ ὑπὲρ σφῶν αὐτῶν εἶεν εἰρηκότες; εἴ τε γὰρ διὰ τὴν τοῦ γένους ἀγχιστείαν δεῖ γενέσθαι τινὰς κληρονόμους, ἡμεῖς ἐγγυτέρω γένει προσήκομεν· εἴ τε διὰ τὴν φιλίαν τὴν ὑπάρχουσαν, ἴσασιν αὐτὸν ἅπαντες ἡμῖν οἰκειότερον διακείμενον· ὥστ' οὐ χρὴ παρ' ἡμῶν, ἀλλὰ καὶ παρ' αὐτῶν τούτων πυν-

vestrum eas tabulas esse ratas decernat, quas testator ipse ut inique factas improbavit; adversarii reapse abrogant, cum a nobis quoque aequam portionem hereditatis percipiendam censent; nos demum insuper vobis demonstramus et legibus et aequitati et ipsius testantis menti adversari.

17. Existimo autem, ius nostrum vos ab ipsis adversariis evidentissime posse cognoscere. Nam si quis eos roget, cur sibi Cleonymi hereditatem vindicent; utique respondeant, quod et genere illum aliquantum adtingant, et idem eos ad tempus aliquod benivolentia complexus sit. Iamvero utrum pro se an potius pro nobis haec dixerint? Nam sive propter generis adfinitatem oportet fieri heredem, nos sanguine propinquiores sumus: sive propter adfectum, omnibus prorsus exploratum est, Cleonymum nemini vehementius quam nobis studuisse.

©BIU Santé

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 314 sur 544

θάνειν δεῖ τὸ δίκαιον· πάντων δ' ἂν εἴη δεινότατον, εἰ τοῖς μὲν ἄλλοις ψηφίζοισθε, ὅτ' ἂν θάτερα τούτων ἀποφαίνωσι σφᾶς αὐτοὺς, ἢ γένει προτέρους ὄντας, ἢ τῇ φιλίᾳ τῇ πρὸς τὸν τετελευτηκότα· ἡμᾶς δ' οἷς ἐστιν ἀμφότερα ταῦτα παρὰ πάντων ὁμολογούμενα, ἀξιώσετε μόνους ἀκλήρους ποιῆσαι τῶν ἐκείνου.

ιη. Καὶ εἰ μὲν Πολύαρχος, ὁ πατὴρ ὁ Κλεωνύμου, πάππος δ' ἡμέτερος, ζῶν ἐτύγχανε, καὶ τῶν ἐπιτηδείων ἐνδεὴς ὤν, ἢ Κλεώνυμος ἐτελεύτησεν, θυγατέρας ἀπορουμένας καταλιπὼν, ἡμεῖς ἂν, διὰ τὴν ἀγχιστείαν, καὶ τὸν πάππον γηροτροφεῖν ἠναγκαζόμεθα, καὶ τὰς Κλεωνύμου θυγατέρας, ἢ λαβεῖν αὐτοὶ γυναῖκας, ἢ προῖκα ἐπιδιδόντες, ἑτέροις ἐκδιδόναι (1)· καὶ ταῦθ' ἡμᾶς καὶ ἡ συγγένεια καὶ οἱ νόμοι καὶ ἡ παρ'

Quare non ex nobis sed ex adversariis ius huius hereditatis adeundae discendum est. Iniquissimum autem esset, si quum ceteroqui pro iis suffragia ferre soleatis qui alterutrum ostenderint, se nimirum aut genere aut benivolentia priores fuisse apud mortuum; nos, quibus utrumque manifesto adest, solos indignos hereditate Cleonymi indicaretis.

18. Quod si forte Polyarchus pater Cleonymi, avus noster, adhuc viveret, et necessariis ad victum careret; aut si Cleonymus obiisset, relictis filiabus pauperibus; nobis profecto, propter propinquitatem, tum avi senectam alere necesse foret, tum Cleonymi filias aut in matrimonium recipere, aut dotatas aliis collocare. Atque

(1) Consonat Terentius in Phormione 2. 1. 65.
. . . . . . . *Verum si cognata est maxume,*
*Non fuit necesse habere: sed, id quod lex iubet*
*Dotem daretis: quaereret alium virum.*

©BIU Santé



ἡμῶν αἰσχύνη ποιεῖν ἠνάγκαζεν ἄν, ἢ ταῖς μεγίσταις ζημίαις καὶ τοῖς ἐσχάτοις ὀνείδεσι περιπεσεῖν· εἰ δ' οὐσία κατελείφθη, δίκαιον ἡγήσεσθ' εἶναι ταύτης ἑτέρους ἡμῶν μᾶλλον κληρονομεῖν; οὐκ ἄρα δίκαια, οὐδ' ὑμῖν αὐτοῖς συμφέροντα, οὐδὲ τοῖς νόμοις ὁμολογούμενα ψηφιεῖσθε· εἰ τῶν μὲν συμφορῶν τοὺς [ἐγγυτάτω γένει κοινωνεῖν ἀναγκάσετε; χρημάτων δὲ καταλειφθέντων πάντας ἀνθρώπους κυρίους (1) ἢ τούτους ποιήσετε.

ιθ. Χρὴ δὲ, ὦ ἄνδρες καὶ διὰ τὴν συγγένειαν, καὶ διὰ τὴν τοῦ πράγματος ἀλήθειαν, ὅπερ ποιεῖτε (2), τοῖς κατὰ γένος ψηφίζεσθαι μᾶλλον, ἢ τοῖς κατὰ διαθήκην ἀμφισβητοῦσι· τὴν μὲν γὰρ τοῦ γένους οἰκειότητα πάντες ἐπιστάμενοι τυγχάνετε, καὶ οὐχ οἷόν τέ ἐστι τοῦτο πρὸς ὑμᾶς ψεύσασθαι· διαθήκας δ'

ita nos agere cum propinquitas et leges, tum etiam natura insitus pudor cogeret: secus enim et grandi multae et summo dedecori fieremus obnoxii. Nunc contra si hereditas relicta sit, aequum iudicabitis, hanc ad alios potius devenire? Nae vos sive recta, sive vobis ipsis convenientia, sive legibus consentanea non decerneretis: si nimirum proximos genere participes incommodorum esse cogeretis; bonorum autem relictorum quosvis potius, quam hos, dominos faceretis.

19. Ac sane oportet, o viri, et propter generis praerogativam et propter rei ipsius veritatem, ut reapse soletis, consanguineis potius, quam in tabularum iure nitentibus vos suffragia tribuere. Nam generis quidem necessitudo omnibus explorata est, neque eadem apud vos

(1) Cod. ambr. κύρια.
(2) Cod. ambr. ποιεῖται.

©BIU Santé



ἤδη πολλοὶ ψευδεῖς ἀπέφηναν· καὶ οἱ μὲν τὸ παράπαν οὐ γενομένας, ἐνίων δ' οὐκ ὀρθῶς βεβουλευμένων· καὶ νῦν ὑμεῖς τὴν μὲν συγγένειαν καὶ τὴν οἰκειότητα τὴν ἡμετέραν, οἷς ἡμεῖς ἀγωνιζόμεθα, ἅπαντες ἐπίστασθε· τὰς δὲ διαθήκας, αἷς οὗτοι πιστεύοντες ἡμᾶς συκοφαντοῦσιν, οὐδεὶς ὑμῶν οἶδε κυρίας γενομένας. ἔπειτα τὴν μὲν ἡμετέραν συγγένειαν εὑρήσετε καὶ παρ' αὐτῶν τῶν ἀντιδίκων ὁμολογουμένην, τὰς δὲ διαθήκας ὑφ' ἡμῶν ἀμφισβητουμένας· οὗτοι γὰρ τὸ ἀνελεῖν αὐτὰς, ἐκείνου βουλομένου, διεκώλυσαν· ὥσθ' ὑμῖν, ὦ ἄνδρες, πολὺ κάλλιόν ἐστι ψηφίσασθαι κατὰ τὸ γένος τὸ παρ' ἀμφοτέρων ἡμῶν ὁμολογούμενον μᾶλλον, ἢ κατὰ τὰς διαθήκας τὰς οὐ δικαίως γεγενημένας· πρὸς δὲ τούτοις ἐνθυμήθητε, ὅτι αὐτὰς ἔλυσε μὲν Κλεώνυμος εὖ φρονῶν, διέθετο δὲ ὀργισθεὶς καὶ οὐκ ὀρθῶς βεβουλευμένος· ὥστε πάντων ἂν εἴη δεινότατον, εἰ κυριωτέραν αὐτοῦ τὴν ὀργὴν ἢ τὴν διάνοιαν ποιήσετε.

confingi potest: tabulas contra multi falsas protulerunt, et quidem interdum omnino nullas, interdum vero quorumdam qui non bene sua consilia agitaverunt. Atqui adfinitatem quidem et necessitudinem, pro qua nos iudicio certamus, vos omnes scitis; tabulas autem quibus isti confisi negotium nobis facessunt, nemo vestrum ratas esse novit. Insuper nostram quidem adfinitatem etiam apud adversarios in confesso esse deprehendetis; testamentum autem plane a nobis in controversiam vocari: quoniam isti Cleonymum abolere illud volentem impediverunt. Ut plane vobis, o viri, multo honestius sit suffragium ferre pro genere de quo neutra pars ambigit, quam pro testamento non iuste confecto. Denique cogitate, Cleonymum quum placidus esset illud abrogasse, confecisse quum ira perturbaretur nec sapienter consilio ute-

κ. Οἶμαι δ' ὑμᾶς ϗ λαμβάνειν παρὰ τούτων ἀξιοῦν (ϗ μὴ τυγχάνοντας ἀγανακτεῖν) οἷς ἂν ὑπάρχῃ ϗ παρ' ὑμῶν τῶν αὐτῶν τυχεῖν· εἰ τοίνυν συνέβη Κλεωνύμῳ μὲν ζῆν, ἐξερημωθῆναι δὲ τὸν ἡμέτερον οἶκον ἢ τὸν τούτων, σκέψασθε ποτέρων (1) ἐκεῖνος ἐγίγνετο (2) κληρονόμος· δίκαιον γάρ ἐστι, τούτους ἔχειν τὰ ἐκείνου, παρ' ὧν ὠφείλετο ϗ λαβεῖν αὐτῷ· εἰ μὲν τοίνυν Φερένικος ἢ τὶς τῶν ἀδελφῶν ἐτελεύτησεν, οἱ παῖδες οἱ τούτων, οὐκ ἐκεῖνος ἐγίγνετο κύριος τῶν καταλειφθέντων· ἡμῶν δὲ τοιαύτῃ τύχῃ χρησαμένων, Κλεώνυμος ἁπάντων ἐγίγνετο κληρονόμος· οὔτε γὰρ παῖδες ἡμῖν ἦσαν, οὔτ' ἄλλοι συγγενεῖς, ἀλλ' ἐκεῖνος ϗ γένει προσήκων ἐγγυτά-

retur: ut plane nefarium futurum sit, si magis ratam Cleonymi iram quam sanam eiusdem mentem habeatis.

20. Puto insuper videri vobis aequum accipere (item vos aegre ferre si non accipiatis) ab iis, quibus quidem invicem contingere posset, ut aliquid a vobis consequerentur. Si igitur accidisset ut Cleonymus viveret, nostra autem aut adversariorum domus dominis orbaretur; considerate utrorum Cleonymus heres fieret. Aequum enim est bona illius ad eos devenire, a quibus item bona ille esset consecuturus. Itaque si Pherenicus aut aliquis eius fratrum extinctus esset, filii utique eorum, non Cleonymus, relictae rei dominium occupassent. Contra si nos ea fata obivissemus, Cleonymus ex asse heres fuisset. Neque enim nobis aut liberi sunt aut alii propinqui: ille autem genere proximus et usu prae omnibus familiaris: quare etiam leges hereditatem eidem adiudicassent: immo nos ip-

(1) Cod. ambr. πότερον.
(2) Cod. ambr. ἐγένετο.

©BIU Santé

τω, καὶ τῇ χρείᾳ πάντων ἦν οἰκειότατος· ὥστε διὰ ταῦτα καὶ οἱ νόμοι δεδώκασιν αὐτῷ, καὶ ἡμεῖς οὐδένα ἄλλον ἠξιώσαμεν ταύτης τῆς δωρεᾶς· οὐ γὰρ δήπου ζῶντες μὲν οὕτως ἂν ἐνεχειρήσαμεν αὐτῷ τὴν αἰτίαν, ὥστε περὶ τῶν ἡμετέρων κυριωτέραν εἶναι τὴν ἐκείνου διάνοιαν τῆς ἡμετέρας αὐτῶν· ἀποθνήσκοντες δὲ ἄλλους κληρονόμους ἐβουλήθημεν αὐτῶν μᾶλλον, ἢ τὸν πάντων οἰκειότατον· ὥσθ' ἡμᾶς μὲν, ὦ Ἀθηναῖοι, καὶ ἐν τῷ λαβεῖν οἰκείους ὄντας εὑρήσετε· τούτους δὲ νῦν μὲν ἀναισχυντοῦντας, καὶ τὴν οἰκειότητα καὶ τὴν ἀγχιστείαν λέγοντας, ὅτι λήψεσθαί τι προσδοκῶσιν· ἐν δὲ τῷ δοῦναι, πολλοὺς ἂν καὶ συγγενεῖς καὶ φίλους ἐκείνου προείχοντο οἰκειοτέρους.

κα. Κεφάλαιον δὲ τῶν εἰρημένων, ὃ πάντας ὑμᾶς δεῖ προσέχειν τὸν νοῦν· ὅσῳ γὰρ ἂν ταῦτα λέγοντες ἀποφαίνωσι καὶ πειρῶνται πείθειν ὑμᾶς, ὡς ἐκεῖνος διέθετο ταύτας τὰς διαθήκας, καὶ οὐδὲ πώποτε αὐτῷ ὕστερον μετημέλησε, καὶ νῦν

si neminem alium eiusmodi largitate donandum censuissemus. Neque enim viventes quidem ita Cleonymo rei nostrae rationes tradidissemus, ut in negotiis agundis firmior eius esset sententia quam nostra; morientes autem alios heredes scribere maluissemus, quam omnium maxime necessarium. Quare nos, o Athenienses, et in dando et in accipiendo propinquitatis rationem sequi deprehendetis: adversarios autem nunc impudenter iactare necessitudinem et adfinitatem, quia aliquid accipere expectant; quum, si dandum foret, multos omnino et adfines et amicos Cleonymo praeponerent uti propinquiores.

21. Omnium quae diximus caput est, cui et vos omnes mentem advertere necesse est. Scilicet quanto magis adversarii adseverant vobisque suadere conantur, Cleonymum et has reapse tabulas condidisse; neque deinceps

©BIU Santé



ἐβούλετο ἡμᾶς μὲν μηδὲν τῶν αὐτοῦ λαβεῖν, σφίσι δ' αὐτοῖς βεβαιῶσαι τὴν δωρεάν· καὶ ταῦτα πάντα λέγοντες καὶ διισχυριζόμενοι, μηδέτερον ἀποφάνωσι, μήθ' ὡς ἐγγυτέρω τῷ γένει προσήκουσι, μήθ' ὡς οἰκειότερον ἡμῶν πρὸς Κλεώνυμον διέκειντο· ὑμεῖς ἐνθυμεῖσθε, ὅτι ἐκείνου κατηγοροῦσιν, ἀλλ' οὐχ ὡς δίκαιον ἐστὶ τὸ πρᾶγμα διδάσκουσιν ὑμᾶς· ὥσθ' ὑμεῖς ὅταν (1) τοῖς τούτων λόγοις πιστεύητε, οὐ τούτους προσήκει ποιῆσαι τῶν ἐκείνου κληρονόμους, ἀλλὰ παράνοιαν Κλεωνύμου (2) καταγινώσκειν· ὅταν δὲ τοῖς ἡμετέροις, ἐκεῖνόν τε νομίζειν ὀρθῶς βεβουλεῦσθαι, λῦσαι τὰς διαθήκας βουλόμενον· ἡμᾶς τε μὴ συκοφαντεῖν, ἀλλὰ δικαίως τούτων ἀμφισβητεῖν· ἔπειτα, ὦ ἄνδρες, ἐνθυμεῖσθε, ὅτι οὐχ οἷόν τε ὑμῖν ἐστι καὶ

paenitentia ulla fuisse captum, nullamque partem bonorum suorum voluisse nos adsequi, sed donationem ipsis confirmare studuisse; haec inquam omnia cum dicunt et argumentis comprobant, et nihilo tamen magis ostendunt se Cleonymo vel genere propiores, quam nos, vel benivolentia familiariores; vos reputate, Cleonymum ab ipsis accusari, non rei aequitatem vos edoceri. Ut si eorum orationi crederetis, non eis Cleonymi hereditatem decerni, sed Cleonymi vesaniam damnari a vobis oporteret. Secus, si nostrae orationi fidem adiungatis, sequitur ut illum existimetis recte deliberasse cum antiquare tabulas voluit; nos autem non calumniosam causam agere, sed iure haec bona iudicio persequi. Ad extremum memineritis, o viri, fieri non posse, ut suffragia pro adversariis nostris feratis, si vel ipsorum orationi mentem

(1) Ὅταν abest a codice. ambr.

(2) Cod. ambr. Κλεώνυμον.

©BIU Santé



τοὺς τούτων λόγους γνῶναι περὶ αὐτῶν· πάντων γὰρ ἂν εἴη δεινότατον, εἰ τῶν ἀντιδίκων γινωσκόντων ἡμᾶς δίκαιον εἶναι τὸ μέρος αὐτῶν λαβεῖν, ὑμεῖς (1) ἅπαντ' αὐτοὺς ἔχειν ψηφίσεσθε· καὶ τούτους μὲν ἡγήσεσθε χρῆναι πλείω λαβεῖν, ὧν αὐτοὶ σφᾶς αὐτοὺς ἠξίωσαν· ἡμᾶς δὲ μηδὲ τούτων ἀξιώσετε, ὧν οἱ ἀντίδικοι συγχωροῦσιν ἡμῖν.

advertatis. Multo enim iniquissimum esset, si quum adversarii non detrectent hereditatem nobiscum communicare, vos illis universam adiudicaretis: et iisdem plura tribueretis quam ipsi sibi vindicant; nos autem ne ea quidem parte dignos censeretis, quam ultro adversarii concedunt.

---

(1) Ὑμεῖς deest in cod. ambr.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 321 sur 544

©BIU Santé



# ΘΕΜΙΣΤΙΟΥ ΦΙΛΟΣΟΦΟΥ

## ΛΟΓΟΣ

### ΠΡΟΣ ΤΟΥΣ ΑΙΤΙΑΣΑΜΕΝΟΥΣ ΕΠΙ ΤΩΙ ΔΕΞΑΣΘΑΙ ΤΗΝ ΑΡΧΗΝ (1).

α. Ὅτι μὲν τηλικούτων τινὲς φιλοσοφίαν ἀξίαν ἡγοῦνται, ὥστε καὶ τὴν ἀρχὴν τὴν μεγίστην καταδεεστέραν αὐτῆς ὑπολαμβάνειν, λίαν ἐπαινῶ τοὺς ἄνδρας καὶ φιλῶ· τὸ γὰρ περὶ τοῦ θειοτάτου τῶν ἀνθρωπίνων ἐπιτηδεύματος τὰ μέγιστα διανοεῖσθαι, σημεῖον οὐκ ἀγεννοῦς τίθεμαι φύσεως· ὅτι δὲ

# THEMISTII PHILOSOPHI

## ORATIO

### IN EOS A QUIBUS OB PRAEFECTURAM SUSCEPTAM FUERAT VITUPERATUS.

1. Quod philosophiam adeo nonnulli admirantur, ut vel maximam dignitatem infra ipsam ponant, ego quidem vehementer homines laudo et amplector. Nam praestantissimae humanarum omnium disciplinae plurimum tribuere, id utique excelsae mentis indicium existimo. Quod vero neque consideratis umquam officiis, quae ei

(1) Nempe constantinopolitanae urbis praefecturam, de qua suscepta agit Themistius etiam tota oratione XVII. (editionis harduinianae) quam orationem siquis cum hac contulerit, miram sensuum consensionem deprehendet.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 322 sur 544

μή τε ἐπισκεψάμενοι πώποτε ὑπὲρ τῶν προσηκόντων ἔργων τῇ τέχνῃ, μή τε μαθεῖν ἀξιώσαντες, ὅμως τὸ δοκοῦν ἀποφαίνονται, τοῦτο οὐκ ἄξιον ἡγοῦμαι τῆς δόξης ἣν ἔχειν ὑπὲρ αὐτῆς σχηματίζονται· καὶ εἰ μὲν κατ' ἐμοῦ μόνου ταύτην ἐποιοῦντο τὴν ἐπιτίμησιν, ἀπέχρησεν ἂν μοι πρὸς αὐτοὺς ἑτέρωθι διαλεχθῆναι· ἐπεὶ δὲ τῷ λαβόντι μὴ προσηκόντως, συναπολαύειν τῆς αἰτιάσεως καὶ τὸν δεδωκότα ἀνάγκη, βούλομαι (1) ὑπὸ σοὶ κριτῇ (2) τὸ κοινὸν ἔγκλημα ἀπολύσασθαι. Ἢ γὰρ ἐπήραμεν ἄμφω (3) φιλοσοφίαν εἰς τὰ ἔργα ἐκ τῶν λόγων καταγαγόντες, ἢ ἄμφω καταβεβλήκαμεν. Ἀνάγκη δὲ πρὸ ἁπάντων σαφὲς

scientiae conveniunt, neque eadem edoceri ferentes, sententiam tamen suam declarant, hoc haud congruens duco ei existimationi, quam se de philosophia gerere profitentur. Quod si me unum hac in re obiurgarent, contentus essem alio modo illis respondere: sed quoniam ei qui absurde dignitatem recepit, illum quoque qui dedit participem fieri criminationis necesse est, volo sub te iudice communem criminationem dissolvere. Aut enim uterque philosophiam eveximus cum verba in rem contulimus, aut uterque eamdem depressimus. In primis autem

(1) Vocabulum βούλομαι deest in codice, spatiolo vacuo relicto Cl. Iacobsius in suis animadversionibus malebat repetere ἀνάγκη, quod mihi certe parum iucundum accidit; sed tamen fortasse omissum ab amanuense ob ipsam repetitionem fuit.

(2) Num intelligit adversarium Palladam, de quo nos alibi loquimur? an potius ipsum Theodosium, ad quem hanc orationem misisse Themistium credibile est? Quamquam cap. IX. prorsus loqui cum adversario videtur Themistius.

(3) Videlicet ego qui recepi et Theodosius qui obtulit dignitatem.



©BIU Santé

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 323 sur 544

καταστῆσαι ὑμῖν τε τοῖς νῦν ἀκροωμένοις, καὶ ὅσοι μετὰ ταῦτα τῷ λόγῳ περιπεσοῦνται, τί τὸ ἔργον φιλοσοφίας ἡγεῖσθαι προσήκει, καὶ τί βουλομένη παρελήλυθεν εἰς τὸν ἀνθρώπινον βίον, καὶ ὅπως τὴν ἀρχὴν ηὐξήθη τε καὶ ἠγαπήθη, καὶ ὅση πρὸς τὴν βασιλείαν ἡ συγγένεια καὶ οἰκειότης, καὶ ὅση πρὸς τυραννίδα ἀλλοτριότης· οὕτω γὰρ ῥᾷον μάθοιτε ἂν εἴ τε ἐφύλαττον ἐγὼ τοὺς πατρίους ὅρους τὴν ἀρχὴν ὑποστὰς, εἴ τε ἐξῄειν.

β. Εἰ τοίνυν τίς ἔροιτο ὑμᾶς ὅτῳ μάλιστα τῶν λοιπῶν ζώων ἄνθρωπος διενήνοχε, καὶ διὰ τί τῶν ἄλλων ζώων ἄρχει τε καὶ κρατιστεύει, τίς οὕτω πόῤῥω καθέστηκε λόγου, ὥστε μὴ ἐννοεῖν ὅτι λόγος ἐστὶ τὸ πρεσβεῖον αὐτῆς τῆς φύσεως; οὐ γὰρ δὴ ἰσχὺς τοῦ σώματος, οὐδὲ ὠκύτης, οὐδὲ τῆς αἰσθήσεως ἀρετή· ἀλλὰ τούτοις ἅπασιν οὐδὲ ἔστιν εἰπεῖν ὅσον ἀπολειπόμεθα τῶν θηρίων καὶ τῶν ὀρνίθων· τοῦτο τοίνυν τὸ πλεονέκ-

necessario explicandum est et vobis qui me nunc auditis, et ceteris qui deinceps in hanc meam orationem incident, quodnam officium philosophiae existimandum sit, quidve haec spectans ad humanam vitam accesserit, et quo pacto incrementa atque asseclas nacta sit, quamque ea iustae dominationi familiaris et coniuncta sit, quantum item a tyrannide abhorreat. Sic enim facilius intelligetis, utrum ego intra patrios fines constiterim dignitate recepta, an ab iisdem excesserim.

2. Si quis igitur vos roget, quo pacto maxime a reliquis animantibus homo differat, et quare in eosdem imperium obtineat, praeque iis polleat, quis ita mente caret, ut non intelligat, rationem in humana natura esse praestantissimam? non profecto robur corporis neque velocitatem neque sentiendi vim. Quin adeo vix dici potest, quam feris et avibus, quod ad haec attinet, inferiores simus.

©BIU Santé



τημα τοῦ ἀνθρώπου εἰ μὲν καλῆς τύχῃ παιδαγωγίας, παρέχει ζῶον ἐπὶ τῆς γῆς θεογενές· εἰ δὲ κακῆς, ποιεῖ θηρίον ἄρκτων δυσμαχώτερον καὶ συῶν· κακίᾳ γὰρ λόγος ὑπηρετῶν, ὅπλον ἐστὶ λίαν δυσκαταγώνιστον· ταύτης ἕνεκεν τῆς παιδαγωγίας ἐζητήθη μὲν νόμος, ἐζητήθη δὲ τέχνη νόμου εὑρέτις· καὶ εἴ περ τὴν πρώτην γένεσιν ἐξιχνεύεις φιλοσοφίας, ἐπὶ μήκιστον ἀνιών, ὥσπερ οἱ τῶν ὑδάτων τὰς πηγὰς ἐρευνῶντες, οὐκ ἄλλην ἢ ταύτην εὑρήσεις, καὶ τοὺς ἄρτι φυομένης αὐτῆς ἐκλάμψαντας καὶ ἀνθήσαντας, ἐπὶ τούτῳ πρώτῳ καὶ μόνῳ τῷ ἔργῳ κλεινοὺς καὶ περιβοήτους γεγενημένους.

γ. Ὁ γὰρ Σολων ἐκεῖνος, καὶ ὁ Λυκοῦργος, καὶ ὁ Πιττακὸς, καὶ ὁ Βίας, καὶ ὁ Κλεόβουλος (1) ἀνεῤῥήθησαν σοφοὶ παρὰ τῶν

Ista porro hominis praerogativa, si quidem rectam institutionem nanciscatur, eum exhibet animantem in terris prope divinum: sin pravam, feram efficit ursis aprisque ferociorem. Ratio enim malitiae inserviens, telum est magnopere periculosum. Huius institutionis gratia quaesita est lex: quaesita item ars, quae legem ipsam inveniret. Igitur si prima initia indagaveris philosophiae, quam longissime progrediens, more eorum qui aquarum fontes scrutantur, non alia quam haec invenies: et eos qui sub eius primordiis luculenter floruerunt, hoc primo, immo unico, officio claros et celebres extitisse.

3. Namque ille Solon et Lycurgus et Pittacus et Bias et Cleobulus dicti sunt ab hominibus sapientes, non

---

(1) Ut sileam de notissimis legumlatoribus Solone et Lycurgo, Pittaci bellica gesta et leges, Biantis liberalitatem et strategemata, Cleobuli et praedictorum sapientia effata, narrat Laërtius in eorum vitis.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 325 sur 544

©BIU Santé



τότε ἀνθρώπων, οὐχ ὅτι συλλογισμοὺς ἔστρεφον ἄνω καὶ κάτω, οὐδὲ ὅτι περὶ τῶν ἰδεῶν διελέγοντο, οὐδ᾽ ὅτι τοὺς ἐγκεκαλυμμένους ἀνεκάλυπτον καὶ τοὺς κερατίνας, σοφίσματα δυσμήχανα καὶ κακοῦργα, καὶ ὧν χαλεπὴ μὲν ἡ εὕρεσις, ἀχρεῖος δὲ ἡ ἐπιστήμη· ἀλλ᾽ οὐδὲ ὅτι τὸν ἥλιον ἀνεμετροῦντο, οὐδὲ ὅτι τῆς σελήνης ἐγνωμάτευον τὴν πορείαν· ἀλλ᾽ ὅτι νόμους ἐτίθεσαν, καὶ τὸ ποιητέον καὶ τὸ μὴ ποιητέον ἐδίδασκον, καὶ τί μὲν αἱρεῖσθαι προσήκει τί δὲ ἀποφυγγάνειν· καὶ ὅτι τὸ ζῷον τοῦτο οὐ μονῆρες καὶ αὐθέκαστον, ἀλλὰ κοινωνικὸν καὶ πολιτικόν· καὶ διὰ τοῦτο αὐτῷ καὶ πατρίδος ἐπιμελεῖσθαι προσήκει καὶ νόμων καὶ πολιτείας. Καὶ ταῦτα οὐ διδάσκειν μόνον, ἀλλὰ καὶ αὐτουργεῖν οὐκ ἀπώκνουν· ὥστε καὶ τὰ μὲν συγγράμματα ἐκείνων ἑκάστου εὑρήσεις ἐνδύναμα ῥήμασιν, ἔργα (1)

quod syllogismos multipliciter versarent, neque quod de ideis dissererent, neque quod argumentationes involutas ceratinas et sophismos difficiles captiososque explicarent, aut ea investigarent, quorum cum difficilis est inventio, tum cognitio inutilis: rursus non quod solem metirentur, aut lunae cursum scrutarentur; sed quia leges condebant, quidve faciendum esset, quid secus, quid amplectendum, quid fugiendum docebant: et denique hunc animantem non esse solitarium et singulum, sed sociabilem politicumque: ita ut eum oporteat et patriae curam gerere et legum et civilitatis. Haec autem illi sapientes non docere tantummodo sed et opere exequi studebant. Quare cum illorum scripta eloquentia verbis deprehendes, tum etiam opera aedepol innumera, legationes videlicet,

(1) Cod. ἔργῳ.

©BIU Santé



δὲ ἀμήχανα ὅσα, πρεσβείας καὶ στρατηγίας, ἐλευθερώσεις πατρίδος, γῆς ἐπικτήσεις.

δ. Καὶ ἡ μὲν πρώτη γένεσις φιλοσοφίας αὕτη καὶ τοιαύτη. Προϊόντος δὲ τοῦ χρόνου ταυτὸν ὑπέμεινε καὶ φιλοσοφία ταῖς ἄλλαις τέχναις· καὶ ὥσπερ ἐκεῖναι χρείας ἑκάστην παραγαγούσης οὐκ ἔστησαν ἐπὶ τῆς χρείας, οὐδὲ ἄχρι τῶν τοίχων καὶ τοῦ ὀρόφου προῆλθεν ἡ οἰκοδομική, οὐδὲ ἄχρι μόνου τοῦ σκέπειν τὸ σῶμα ὑφαντική· ἀλλὰ προὔβησαν περαιτέρω, καὶ τὸ καλὸν τῷ ἀναγκαίῳ προσεξειργάσαντο, καὶ τοῦ προσεῖναι κόσμον ἐν τοῖς ἔργοις ἐπεμέλησαν· οὕτω καὶ φιλοσοφία τὸ ΓΝΩΘΙ ΣΑΥΤΟΝ, καὶ τὸ ΓΝΩΘΙ ΚΑΙΡΟΝ, καὶ τὸ ΜΗΔΕΝ ΑΓΑΝ οὐκ ἀγαπήσασα, οὐδὲ ἀρκεσθεῖσα τοῖς ἀναγκαίοις πρὸς τὸν ἀνθρώπινον βίον ἔργοις καὶ νοήμασι, περιβέβληται πολὺν τὸν ἔξωθεν κόσμον, τὴν τῆς φύσεως ἱστορίαν, καὶ τὴν τοῦ λόγου ἀπεργασίαν· ὥσπερ οἰκία πρὸ τοῦ θαλάμου προπύλαια καὶ

imperatoria munera, patriae liberationes, ditionis acquisitiones.

4. Et incunabula quidem philosophiae haec fuerunt. Deinceps vero idem philosophiae, quod ceteris artibus, contigit. Nam sicuti illae a necessitate ortae, intra necessitatis terminos non steterunt; nimirum neque architectura ultra muros et tectum non processit; neque textrina tegere corpus satis habuit; sed ulterius progressae sunt, et venustum necessario adiunxerunt, ornatumque in operibus esse voluerunt; sic etiam philosophia effatis illis NOSCE TE IPSUM, et NOSCE TEMPORA, et NEQUID NIMIS non satis delectata, neque contenta operibus et consiliis ad vitam humanam necessariis, multo exteriore ornatu sese ipsa circumdedit, videlicet naturae cognitione et orationis artificio. Uti nimirum domus ante

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 327 sur 544

στόμα (1) καὶ ποικίλματα καὶ ἀγάλματα, ἃ τὴν μὲν χρείαν οὐ συμπληροῖ, κόσμος δέ ἐστι τῆς χρείας καὶ ἐγκαλλώπισμα.

ε. Καὶ διὰ τοῦτο ὁ μὲν παλαιὸς ἐκεῖνος Σωκράτης, ὃν ἄν τις πατέρα προσείπῃ καὶ ἀρχηγέτην τῆς πολυτελεστέρας σοφίας, τὰ μὲν ἄλλα ὅμως οὐκ ᾤετο δεῖν ἐρευνᾷν· τὰ μὲν γὰρ οὐδὲν ἡμῖν διαφέρειν, τὰ δὲ ὑπὲρ ἡμᾶς εἶναι τὴν γνῶσιν, ἅπασαν δὲ ἐποιεῖτο τὴν σκέψιν περὶ ἀγαθῶν καὶ κακῶν (2), καὶ πόθεν οἰκία, καὶ πόθεν πόλις· καὶ ἐπῄνει τὸν Ὅμηρον, πρὸ ἁπάντων σκοπεῖν ἀξιοῦντα.

ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται (3).

Ἐπὶ δὲ τούτων διέμεινε τῶν ὅρων ὁ γνήσιος Σωκράτους χορὸς ὁ Κέβης ὁ Φαίδων ὁ Ἀρίστιππος ὁ Αἰσχίνης· Πλάτων δὲ ὁ

andronem atque cubiculum, habet vestibula et ostium et picturas et statuas: quae quidem ad usum non conferunt, sed rerum usui necessariarum ornamentum et decus sunt.

5. Propterea antiquus ille Socrates, quem exquisitioris sapientiae parentem ac principem iure appellaveris, reliqua prorsus non iudicabat esse vestiganda, quia nimirum vel nobis nihil prosunt, vel nostram cognitionem atque intelligentiam excedunt. Totam vero in virtutibus et vitiis mentem defigebat, atque in quaerendo qua ratione homo et domus et civitas beati fierent: laudabatque Homerum qui in primis curandum censet

quid bene quidve secus patria peragatur in aede.

Hisce finibus se continuit germanus ille Socratis chorus, Cebes, Phaedo, Aristippus, Aeschines. Unus autem divi-

(1) Ita cod. At alii suadebant corrigere ἀέτωμα, quod est quoddam in aedificiis fastigium. Denique al. στοάς.

(2) Eadem plane de Socrate narrat Cicero academ. I. 4.

(3) Odyss. δ. 392.

θεσπέσιος μόνος, ἅτε μεγαλοφυέστατος καὶ μεγαλοπρεπέστατος γεγονὼς, ἐκόσμησε πρῶτος φιλοσοφίαν τοῖς πολλοῖς ἀναθήμασι, καὶ προσπαρέλαβε τας ἐπιστήμας ἀριθμητικὴν μουσικὴν ἀστρονομίαν (1)· προϊὼν δὲ καὶ αὐτὸν ὑπερέβη τὸν οὐρανὸν καὶ ἐθάῤῥησε περιεργάσασθαι, μὴ καὶ αὐτῆς τῆς φύσεώς ἐστιν ἀνώτερον (2)· οὐ μὴν ὥστε ἀσύμβολον πρὸς πολιτείαν ταύτην ἀποφῆναι τὴν περιουσίαν, ἀλλὰ τοῦτο καὶ μάλιστα ἴδιον τοῦ Πλάτωνος διὰ περινοίας ἀνάψασθαι τῶν θείων ἀγαθῶν τὰ ἀνθρώπινα, καὶ πρὸς τὴν τοῦ παντὸς πολιτείαν, ὡς οἷόν τε, μορφῶσαι τὴν ἀνθρωπίνην· τοῦτο γὰρ βούλονται αἱ πολιτεῖαι, καὶ οἱ κλεινοὶ νόμοι, καὶ οἱ Φαῖδροι καὶ οἱ Γοργίαι, καὶ ἐν ὅσοις ἀγωνιστικώτατος ἑαυτοῦ πρὸς τὸ δεῖξαι δικαιοσύνην μὲν δι' αὐτὸ αἱρετὸν, κακίαν δὲ δι' αὐτὸ φευκτὸν

nus Plato eximio ingenio et verborum magnificentia praeditus primus philosophiam pluribus ornamentis decoravit: addiditque artes arithmeticam musicam astronomiam. Ulterius autem provectus in ipsum quoque caelum conscendit, scrutarique ausus est, numquid et ipsa natura esset sublimius. Haud sane eo consilio ut ostenderet, ad civilem vitam hanc eruditionis copiam nihil conferre; sed platonica sollertia id maxime spectat, ut divina bona connectat humanis, et ad universale regimen, quatenus fieri potest, humanum conformet. Hoc enim sibi volunt respublicae et famigeratae illae leges et Phaedri et Gorgiae et ea scripta quibus se ipse Plato superat, nempe cum ostendit iustitiam per se ipsam colendam vel nullo

(1) Arithmeticae, musicae et astronomiae commendationem videsis apud Platonem praesertim in epinomide.
(2) De Platone eadem paene scribit Cicero academ. I. 4. et 5.

τοῖς ἀνθρώποις, κἂν τῇ μὲν μηδὲν πρόκειται ἆθλον, ἡ δὲ πᾶσαν τιμωρίαν ἀποφυγγάνῃ (1).

ϛ. Ἆρα οὖν Πλάτων μὲν τοῦτον, Ἀριστοτέλης δὲ ἕτερον τρόπον; καί τοι πλείων μὲν τοῦ ἀνδρὸς ἡ πολυπραγμοσύνη καὶ ἡ λεπτουργία, ὅμως δὲ αὐτοῦ ἡ σύμπασα πραγματεία καὶ ὁ πολὺς κύκλος, οὐκ ἐκνένευκε τὸ ἀνθρώπινον ἀγαθὸν, ἀλλ' εἰς τοῦτο συντέτακται καὶ ἀνήρτηται· τὸ γὰρ κεφάλαιον αὐτοῦ τῆς ἀνθρωπίνης εὐδαιμονίας, χρῆσίς ἐστιν ἀρετῆς ἐπὶ βίῳ τελείῳ, καὶ ψυχῆς ἐνέργεια κατ' ἀρετὴν ἐν προηγουμένοις (2)· καὶ οὐχ ἵνα εἰδῶμεν, φησὶ, τὰ δίκαια, φιλοσοφοῦμεν, ἀλλ' ἵνα, ὥσθ' οἷόν τε, ἐργαζώμεθα· καὶ νενήμηται αὐτῷ τὸ ἀγα-

praemio proposito, malitiam item per se ipsam fugiendam etiamsi nulla punitio secutura sit.

6. Age vero cum Plato sic philosophatus sit, num forte aliter Aristoteles? Immo vero, etiamsi hic multis subtilibusque quaestionibus semet implicat, tamen eius omnis tractatio et longa circumitio e finibus humanae felicitatis non excedit, sed in hanc collineat eique adhaeret. Ex eius enim sententia felicitas summa in usu virtutis consistit per omnem vitam, et in animae conatu ad virtutis normam in actionibus sponte susceptis. Neque ut sciamus, inquit, quod aequum est, philosophamur, sed ut id ipsum pro viribus exequamur. Atque

(1) Vide Platonis praesertim Theaetetum, et librum IX. de republica.

(2) Fortunatianus in art. rhet. lib. II. de argumentatione ed. paris. 1599. p. 66. ait: *species quaestionum quot sunt? octo, generalis, specialis, principalis, incidens, voluntaria quam* προηγούμενον *vocamus, necessaria quam* ἀναγκαίαν *dicimus.* Vide eundem etiam p. 64.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 330 sur 544

θὼν εἰς ψυχὴν, εἰς σῶμα, εἰς τὰ ἐκτός· καὶ τὴν εὐδαιμονίαν συμπληροῖ τὴν ἀνθρωπίνην ἐκ πρώτης καὶ δευτέρας καὶ τρίτης κράσεως (1), ἀγαπητὴν μὲν λέγων καὶ ἐφ' ἑνὸς, μείζω δὲ καὶ τελειωτέραν καὶ ἐφ' ὅλης πόλεως· διὸ καὶ τὴν μέθοδον πολιτικὴν ὀνομάζει, καὶ τὸ εὖ πράττειν (2) φησὶν ἄνευ τοῦ πράττειν μὴ ἐγχωρεῖν, καὶ τὸν ἄγοντα θεὸν τόδε τὸ πᾶν, καὶ τοὺς ἐκείνῳ συμπεριπόλους πρακτικήν τε καὶ πολιτικὴν φιλοσοφίαν φιλοσοφεῖν, ῥυομένους τὴν ὅλην φύσιν ἀκλινῆ καὶ ἀκέραιον δι' αἰῶνος (3)· τοσαῦτα οὖν καὶ τηλικαῦτα ἔργα τε καὶ ἐγχειρήματα ὑποστάσης ταύτης τῆς τέχνης ἀνθρώπου χάριν καὶ ἀνθρωπίνης εὐδαιμονίας οὔτε εἰ-

ab illo bonum tribuitur in animam, corpus, et externa: diciturque perfecta illa felicitas, quae ex horum trium temperatura existit. Ac praeclare quidem nobiscum agi arbitratur, si ea felicitas vel uni homini forte contigerit; maiorem tamen multoque perfectiorem eamdem esse dicit, si ea universae civitati usuvenerit. Quare et rationem haec docendi, civilem scientiam appellat: contenditque, felicitatem sine ipsa actione esse non posse: deumque et genios, qui cum eo versantur, activa et politica philosophia reapse uti, cum universam naturam perpetuo firmam incolumemque conservant. Tot igitur ac tanta opera et conatus cum haec ars sustineat hominis gratia et humanae felicitatis; isti qui neque id sciunt, neque ple-

(1) Codex habet manifesto κρατῆρος pro κράσεως. De loci ergo lectione pro suo quisque libito statuat.

(2) Aristot. polit. VII. 3. p. 271. ed. Schneider.

(3) Quod attinet ad totam hanc Aristotelis doctrinam, operae pretium erit conferre moral. magn. I. 3. 4, Eudem. II. 1, ad Nicomachum I. 1. 2. 6, de republica VII. 1. 3.

©BIU Santé



δότες οὔτε μαθεῖν οἱ πολλοὶ προαιρούμενοι, τοὺς προδόμους αὐτῆς τεθαυμάκασι καὶ τὰ θριγγία καὶ τοὺς περιβόλους καὶ τὰ ἄλση καὶ τοὺς λειμῶνας· ὅτι δὲ κέκτηται καταλύσεις ἀλεξανέμους καὶ δυσπαθεῖς (1) ὑπὸ τῶν τύχης πνευμάτων, οὐκ ἀγαπῶσιν.

ζ. Ἀλλ' οὐχ ὅ γε θεοειδέστατος αὐτοκράτωρ· ἀλλ' ἑπόμενος ἐκείνοις τοῖς κλεινοῖς ἀνδράσιν οἰκουροῦσαν ἐν πολλῷ χρόνῳ φιλοσοφίαν εἰς τὰ πάτρια καὶ δημόσια προήγαγεν ἀγωνίσματα (2)· καὶ ὥσπερ ἄγαλμα κεκτημένος τῆς ἀρχαίας τέχνης, ἀντὶ τοῦ μόνος ἀπολαύειν, εἰς τὸ κοινὸν ἐξενήνοχε. Καὶ εἴ τινα χρὴ καλεῖν κληρονόμον τοῦ Πλάτωνος τῶν θείων δογμάτων, οὐχ οὕτω Σπεύσιππον χρὴ καλεῖν ἢ Ξενοκράτην (3), ἀλλὰ τὸν γνώμῃ αὐτοῦ βεβαιώσαντα ἣν πάντων μάλιστα

rique discere volunt, atria quidem eius et pinnas et loricas et lucos et prata mirantur: eamdem autem habere habitacula a ventis tuta, et fortunae impetu non movenda, haud sibi persuadent.

7. Non ita se gessit divinus imperator; verum illorum illustrium exempla secutus, latitantem iamdiu philosophiam ad nativum et publicum exercitium producere non diu cunctatus est: ac veluti simulacro antiquae artis potitus, non solus eo frui voluit, sed in communem usum eamdem eduxit. Quod si quis divini Platonis dogmatum dicendus est heres, non hoc nomen Speusippo aut Xenocrati tribuendum est, sed ei qui suffragio suo illa dogmata corroboravit, quae ipsemet in primis ad opus

(1) Cod. δυσαθεῖς.

(2) Hac ipsa sententia exorditur Themistius orationem XVII, quam habuit cum praefectus urbis creatus est.

(3) *Speusippum* (inquit Cicero academ. I. 4.) *sororis filium Plato philosophiae quasi heredem reliquit: duos autem praestan-*

ἐκεῖνος ἐποιήσατο ἓν εἰς ἔργον ἐκβῆναι, καὶ ἰδεῖν εἰς ταυτὸν συντρέχουσαν (1) δύναμιν πολιτικὴν καὶ φιλοσοφίαν, καὶ μὴ πορευομένας χωρὶς δὴ φρόνησιν καὶ ἐξουσίαν· τοῦτο γὰρ οὐκ ἔτι προσδοκώμενον τὸ θέαμα ἐπέδειξε βασιλεὺς τοῖς νῦν ἀνθρώποις, βραβεύουσαν τὰ δίκαια φιλοσοφίαν μετὰ τῆς μεγίστης δυνάμεως, καὶ τοὺς λόγους ἔμπνους ἐπιδεικνυμένην καὶ ἐνεργοὺς, οὓς τέως ἐν τοῖς πράγμασιν ὑποτίθεται. Καὶ ὑμνήσουσιν οἱ ἐφεξῆς ἄνθρωποι τὸν Θεοδόσιον ἐπὶ τῇ κλήσει τῆς πρὸς τὰ κοινὰ φιλοσοφίας, ὡς τὸν Ἀδριανὸν, ὡς τὸν Μάρκον, ὡς τὸν Ἀντωνῖνον τοὺς προπάτορας ἑαυτοῦ καὶ πολίτας (2) καὶ ἀρχηγέτας· οὓς

pertraxit: quique curavit, ut vis politica cum philosophia concurreret, neque separatim incederent sapientia et potestas. Hoc enim improvisum spectaculum ostendit imperator iis qui nunc vivunt hominibus, philosophiam nempe ius moderantem cum virtute maxima, sermonesque exserentem vivos et efficaces, quos interim et operibus exhibet. Igitur posteri Theodosium, qui philosophiam ad communem vitam vocavit, non secus celebrabunt, quam Hadrianum, Marcum, et Antoninum maiores illius et populares et antesignanos: quorum is

---

*tissimos studio atque doctrina, Xenocratem chalcedonium et Aristotelem stagiritem.*

(1) Cod. συμπρέπουσαν.

(2) Hadrianum utique et Marcum ex Hispania originem generis traxisse, uti Theodosium, exploratum est. Sed Antonini Pii paternum certe genus Nemauso gallica urbe ductum dicitur a Capitolino in eius vita. Themistius tamen non heic solum sed et in oratione XIX. p. 229. C. dicit etiam Pium popularem Theodosii: quo loco haeret aqua Petavio adnotanti, qui quidem frustra suspicatur corruptum locum; namque is ab hac nova oratione con-

©BIU Santé



οὐκ ἠγάπησεν ἄχρι τῆς ἁλουργίδος κληρονομῆσαι, ἀλλὰ τὰς εἰκόνας αὐτῶν ἐπαναγαγὼν εἰς τὴν βασιλίδα διὰ μακροῦ χρόνου, καὶ φιλοσοφίαν ἑαυτῷ καθάπερ ἐκεῖνοι συμπαρεστήσατο.

η. Ταύτην οὐκ ἔσχε φιλοτιμήσασθαι τὴν φιλοτιμίαν ὁ Κῦρος ὁ πέρσης, οὐκ Ἀλέξανδρος ὁ μέγας· ἀλλὰ τὸν καθηγέτην Ἀριστοτέλην πολλῶν καὶ μεγάλων ἀξιώσας, καὶ τὰ Στάγειρα αὐτῷ συνοικίσας (1), ὅμως οὐκ ἔστησεν ὄγκῳ τηλικαύτης ἀρχῆς· οὐδὲ τὸν Ἄρειον ὁ Σεβαστὸς (2), οὐδὲ τὸν Παν-

non fuit contentus hereditatem purpurae adire, sed et eorum imaginibus longo postliminio in regiam revocatis, philosophiam sibi, ut illi, consociavit.

8. Hoc ambitioso studio gloriari non possent vel Cyrus persa vel magnus Alexander: quorum postremus praeceptorem Aristotelem multis magnisque donis affectum et Stagirorum constructione honoratum; tamen ad tantae dignitatis fastigium non evexit: uti neque Arrium Augus-

---

firmatur. Vel igitur peccat Themistius, vel confugiendum est ad ius adoptionum, quo in patriam quoque adoptantis transisse videntur adoptati. Sic Fronto ad amicos epist. lib. II. 10. ed. rom. ait Aufidium Victorinum fieri municipem Cirtensem, quum ducta eius unica filia in gentem Corneliam Frontonis Cirtensis transiret.

(1) Cod. συνοικήσας. Stagira in gratiam Aristotelis restaurata ab Alexandro ait heic Themistius cum Ammonio in Aristotelis vita. At Plutarchus in Alexandro edit. londin. 1723. t. IV. p. 12, itemque Dio chrysostomus orat. II. de regno in fine, narrant id factum a Philippo, a quo eadem Stagira excisa fuerant. Alteram hanc sententiam fortasse prae se fert etiam Themistius or. XI. p. 145. B.

(2) Propter Arium, cuius philosophia et contubernio utebatur, parcere se Alexandrinis testatus est Augustus. V. Cassium Dionem lib. LI. 16; Themistium or. VIII. p. 108. B. et XIII. 173. C.

αἴτιον ὁ Σκηπίων (1), οὐδὲ τὸν Θράσυλλον Τιβέριος (2)· ἀλλὰ θεατὰς κέκτηνται μόνον τῶν οἰκείων ἀγωνισμάτων, ἑλκύσαι δὲ ἐπὶ τὸ στάδιον καὶ τὴν κονίστραν, καί τοι σφόδρα ἂν βουληθέντες, οὐκ ἠδυνήθησαν. Ἀλλ᾽ οὐχ οἵ γε τοῦ βασιλέως πατέρες καὶ ἀρχηγέται, ὧν τὰ μεγάλα ὀνόματα· ἀλλὰ τὸν Ἀρριανὸν (3) καὶ τὸν Ῥουστικὸν (4) τῶν βιβλίων ἐξαναστήσαντες, οὐκ εἴασαν ἄχρι τοῦ μέλανος καὶ τοῦ καλάμου φιλοσοφεῖν· οὐδὲ γράφειν μὲν ὑπὲρ ἀνδρείας, οἴκοι δὲ καθῆσθαι· οὐδὲ

tus, neque Panaetium Scipio, neque Thrasyllum Tiberius: sed eos spectatores tantum habuerunt gestorum suorum; pertrahere autem in ipsum stadium et pulverem ne si vellent quidem potuerunt. Secus fecerunt imperatoris nostri parentes et antesignani, quorum ingentia nomina fama concelebrat. Hi quippe Arrianum et Rusticum a libris abstrahentes, non siverunt intra atramentum tantummodo et calamum philosophari: neque scribere de virili animo, et domi sedere: neque disserere de legibus,

---

(1) Symmachus in paneg. Gratiani cap. VII. ait: *Africanum illum terra marique victorem lectionis particeps et laboris Panaetius non reliquit.*

(2) Svetonius in Tiberio cap. 14. ait: *Thrasyllum mathematicum ut sapientiae professorem, contubernio admoverat* (Tiberius).

(3) Praesidem Cappadociae, Hadriano imperante, dicit Arrianum Cassius Dio LXIX. 15. eiusque terrore Albanos compressos. Consulatum eius memorat Photius cod. 58. p. 54.

(4) De hoc Capitolinus in Marci Aurelii vita (edit. paris. an. 1603. p. 33. C.) *Audivit* (Marcus) *praecipue iunium Rusticum, quem et reveritus est, et sectatus, qui domi militiaeque pollebat, stoicae disciplinae peritissimum, cum quo omnia communi-*

συντάττειν μὲν ὑπὲρ νόμων, φεύγειν δὲ τὰ κοινὰ, ὑπὲρ ὧν οἱ νόμοι· οὐδὲ κρίνειν μὲν τίς ἀρίστη τῶν πολιτειῶν, πολιτείας δὲ ἐξίστασθαι πάσης· τοιγαροῦν οὐκ ἄχρι τοῦ βήματος μόνου προήγαγον (1) τοὺς ἄνδρας, ἀλλὰ μέχρι τοῦ στρατηγίου· καὶ διέβαινον μὲν στρατηγοὶ Ῥωμαίων πύλας κασπίας, ἐξήλαυνον δὲ Ἀλανοὺς ἐξ Ἀρμενίας, ἔταττον δὲ Ἴβηρσιν ὅρους καὶ Ἀλβανοῖς· ἐπὶ τούτοις ἅπασι τὴν ἐπώνυμον τῶν ὑπάτων ἀρχὴν ἐκαρποῦντο, καὶ τὴν πόλιν ἥρμοζον τὴν μεγάλην (2), καὶ

et publicas res vitare, quarum causa conduntur leges: neque decernere quaenam sit optima administratio, et ab omni re gerenda interim abstinere. Igitur non tantum ad suggestum homines promoverunt, sed etiam usque ad militare praetorium: qui Romanorum facti duces portas caspias perruperunt, Alanos ex Armenia pepulerunt, fines Iberis et Albanis constituerunt: praeterea et dignitatem consulis ordinarii obtinuerunt, et magnae urbis praefecturam gesserunt, et senatus principes fuerunt. Ii quippe

---

*cavit publica privataque consilia: quem et consulem iterum designavit.*

(1) Cod. προήγαγε. Item inferius στρατ abrupto vocabulo pro στρατηγίου.

(2) Praefectus romanae urbis sine dubio intelligendus est Rusticus. Nam et ante hanc editam Themistii orationem luculenta mentio extabat Rustici urbis praefecti in rescripto divorum Fratrum digest. lib. 49. tit. 1. leg. 1. § 3. et apud Epiphanium haeres. 26. seu 46. et in actis D. Iustini et Soc. MM. apud Bolland. T. I. Iunii p. 18—21. ubi et locus Epiphanii expenditur. Quod vero Corsinius de praefectis urbis ad annum Ch. 167. Rusticum M. Aurelii praeceptorem a Rustico praefecto urbis distinguendum censet, id mihi quidem nullo fere iure ab eo fieri videtur.

©BIU Santé



προήδρευον τῆς ἀρχαίας βουλῆς (1)· ᾔδεσαν γὰρ οὗτοι οἱ αὐτοκράτορες, καθάπερ σῶμα τὴν ἀρχὴν, ὅσῳ περ ἂν μείζων ᾖ καὶ γενναιοτέρα, τοσοῦτο μᾶλλον ἐκκαθάρθαι προσήκειν (2)· καὶ τοὺς πάλαι ῥωμαίους ἔγνων ὡς (3) φρονοῦντας, παρ' οἷς Κάτων ὁ φιλολόγος ταμίας ἦν (4), καὶ Βροῦτος ἐστρατήγει, καὶ Φαβώνιος ἐδημάρχει (5), καὶ Βάρων τὴν ἑξαπέλεκυν (6) ἦρχεν ἀρχὴν, καὶ Ῥουτίλιος ὑπάτευεν (7)· ἐῶ

imperatores noverant, imperium veluti corpus esse, quod quo maius nobiliusque est, eo magis oportet expoliri. Atque hanc stetisse sententiam antiquis item Romanis probe sciebant: nempe eruditum Catonem quaestorem fuisse, Brutum imperatorem, Favonium tribunum plebis, Varro-

---

(1) Memorat Arriani consulatum Suidas in eo. Ad Arrianum senatus fortasse principem scribit Plinius epist. 11. lib. 2. Verum alius et paulo iunior videtur fuisse philosophus nicomediensis, de quo in hac oratione sermo est.

(2) Cod. πρόσηκει.

(3) Cod. ἐγνωκώς.

(4) De Catonis quaestura vide Nepotem in illius vita cap. 1.

(5) Favonium tribunum pl. videsis apud Pighium ad annum U. C. 698. Catonis aemulus dicitur a Svetonio Favonius in Octav. 13. (et a Dione XXXVIII. 7. Vide etiam XXXIX. 34—35.) qui quum post bellum philippense produceretur catenatus, Octavianum victorem convicio proscidit. Favonii mentio etiam in epist. Coelii inter Tullianas ad famil. VIII. 9. ad quem locum consule praeclaram P. Manutii notam de Favonio. Vide et Sallust. de rep. ord. orat. II. 55, Val. Max. VI. 2. 7.

(6) De M. Terentii Varronis praetura urbana videsis Pighium ad an. U. C. 695; de provinciali ad an. 696. Et quidem vox ἑξαπέλεκυς praeturae magis provinciali convenit. In urbe enim ne consulibus quidem, iam inde a Valerio Publicola, secures praeferebantur. Vide Dion. Halic. V. 19.

(7) Hic est summus ille vir P. Rutilius Rufus qui consulatum



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 337 sur 544

τὸν Πρίσκον καὶ τὸν Θρασέα (1) καὶ τοὺς ἐκ τῆς αὐτῆς ἰδέας, ὡς ἐμπλήσωσί σε οἱ συγγραφεῖς εἰ προέλοιο· οὐδὲ γὰρ αὐτὸς ὁ Μάρκος ἄλλό τι ἦν, ἢ φιλόσοφος ἐν ἀλουργίδι· οὐδὲ ὁ Ἀδριανὸς, οὐδὲ ὁ Ἀντωνῖνος, οὐδέ γε ὁ νῦν Θεοδόσιος.

θ. Ἀλλ' εἰ μὲν τὴν ζώνην καὶ τὴν χλαμύδα αὐτοῦ ἐπισκοποίης, μετὰ πολλῶν βασιλέων αὐτὸν ἀριθμήσεις· εἰ δὲ εἰς τὴν ψυχὴν ἐγκύψειας καὶ τὴν γνώμην, μετὰ τῆς ἐκείνης τριάδος· ἐν γὰρ τοῖς ὁμοίως φρονοῦσι τακτέος, οὐκ ἐν τοῖς ὁμοίως ἠμφιεσμένοις· καὶ οὗτος οὖν μόνος ἤρκει σοι ὁ βασιλεὺς ζῆλον ἀρετῆς προκαλέσασθαι οὐκ ἀργῆς οὐδὲ ἀπράκτου οὐδὲ

nem praeturam gessisse, Rutilium consulatum. Mitto Priscum et Thraseam et alios eiusmodi: te enim explebunt historici, si iis mentem advertes. Neque enim ipse Marcus aliud erat nisi philosophus purpuratus: ita et Hadrianus, et Antoninus, et nunc Theodosius.

9. Atqui si huius cingulum et chlamydem spectes, inter alios reges eum connumerabis; sin animum inspicias et mentem, tribus nuper dictis adiunges: collocandus est enim cum aeque sapientibus, non cum aeque indutis. Itaque tanti imperatoris tibi exemplum sufficiat, quô virtuti studeas, non ignavae et otiosae, vel quae obsignatas quaestiones et propositiones explicet, sed ei quae opera quo-

gessit cum C. Manilio anno U. C. DCXLIX, et a romanis scriptoribus magnopere commendatur. Is a Tullio in Bruto XXX. dicitur *doctus vir et graecis litteris eruditus, Panaetii auditor, prope perfectus in stoicis.* De hoc Rutilio accurate nos scripsimus in prosopographia dialogorum Ciceronis de rep.

(1) Thrasea Paetus philosophus stoicus et vir egregius celebratur apud Tacitum annal. XIV. XV. XVI. Extinctus est sub Nerone, dato mortis arbitrio XVI. 33. Priscus Helvidius huius gener, virtute par, pulsus est Italia a Nerone. Vide Tacit. hist. IV. 5.

©BIU Santé

σημαινόμενα καὶ προτάσεις ἀνελιττούσης, ἀλλ' ἔργα ὁσημέραι μετὰ τῶν τῆς ἀκαδημίας παραγγελμάτων· εἶτα λέγεις ὅτι κατέβην ἐκ φιλονεικίας τὴν ἀρχὴν ὑποστὰς τῆς Καλλιπόλεως (1); εἰ μὲν ἔξω τί τῶν ἐκείνης ἔπραξα παραγγελμάτων, κατέβην· εἰ δὲ πανταχόθεν τοὺς ἐκεῖθεν ἐτήρησα νόμους, οὐ κατέβην, ὦ φίλος, ἀλλὰ κατὰ χώραν ἀναβέβηκα· οὐδὲ γὰρ Σωκράτης ἐκεῖνος ἐκ φιλοσοφίας κατέβη πρυτανεύσας Ἀθήνησιν (2), ἀντέσχε (3) γαρ τοῖς λ· οὐδὲ ὁ πάγκαλος Ξενοφῶν στρατηγήσας τῶν μυρίων ἐκ φιλοσοφίας κατέβη, ἔσωσε γὰρ τοὺς ἕλληνας ἐκ τῶν ἐσχάτων κινδύνων· οὐδὲ Παρμενίδης κατ-

tidiana secundum academiae praecepta exserat. Iamne dices, praefectura recepta Callipoleos, me de mentis proposito decessisse? Siquid feci praeter academiae praescripta, sententiam immutavi; sin cunctis eius legibus parui, non e fastigio me demisi, o bone, sed pro loco, in quo eram, adscendi. Neque enim philosophiam deseruit Socrates cum prytanin egit Athenis: inhibuit enim triginta tyrannos. Neque rursus nobilis Xenophon philosophiam dimisit cum decem millium dux fuit: ab extre-

(1) Constantinopolim dicit *Callipolim*, id est *pulchram urbem*, constanter Themistius, bis quidem in hac oratione, tum in orat. III. p. 41. bis A—D; et p. 44; item bis. B. V. 70. C. VI. 83. B; XI. 151. B; XIV. 181. D; XXI. 248. A; XXXI. 354. D. Et quidem eius urbis pulchritudinem, Theodosio imperante, describit Themistius orat. XVIII. p. 222—223: tum eamdem sub Iuliano Himerius orat. VII. Vide etiam XVI.

(2) Socraten fuisse prytanin suae tribus Antiochidis ait Plato in apolog. Socratis (edit. francofurt. an. 1602. p. 25.) quo in loco et eius constantia adversus XXX. tyrannos narratur, de qua vide etiam Laërtium lib. 2. segm. 34.

(3) Cod. ἀνέσχε.



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 339 sur 544

ἔβη νομοθετῶν Ἰταλιώταις, ἐνέπλησε γὰρ εὐνομίας τὴν μεγάλην καλουμένην Ἑλλάδα (1)· καίτοι νῦν εἴ τι χρηστὸν τῆς ἐμῆς ἀρχῆς, οὐκ ἐμὸν, ἀλλ' ἐκμέμακται ἐκ τοῦ παραδείγματος· εἰ κέρδους κρείττων ἐγενόμην, ἐζήλωσα τὸν ὁσημέραι πλουτοδοῦντα· εἰ τὸν θυμὸν ἐχαλίνουν, πρὸς τὸν χειροτονήσαντα ἀφεώρων· εἰ προὔστην ὀρφανῶν, τὸν κοινὸν ἐμιμούμην πατέρα· εἰ τὸ σιτηρέσιον οὐκ εἴων τὸ πολιτικὸν κακουργεῖσθαι, καὶ τοῦτο ἀπὸ τῆς αὐτῆς ἠρυόμην πηγῆς (2)· εἰ τὰς δίκας ἐδίκαζον κατὰ νόμους, πρὸς τὸν ἔμψυχον ἔβλεπον νόμον.

mis enim periculis Graecos servavit. Neque item Parmenides cum leges condidit Italis: bonis enim institutionibus magnam Graeciam implevit. Nunc autem si quid boni magistratui meo inest, non meum id est, sed ab exemplari expressum. Nam si lucro abstinui, aemulatus sum eum qui quotidie alios ditat. Si iram cohibui, ad eum qui me elegit respexi. Si pupillorum tutelam gessi, communem parentem imitatus sum. Si civilem annonam non sivi damno adfici, hoc item ab eodem fonte hausi. Si ius ex legum praescripto reddidi, ad vivam legem spectavi.

---

(1) Parmenides Eleae seu Veliae, quae fuit Lucaniae urbs, ortus, et inter eleaticae sectae doctores satis celebris, floruit, teste Laërtio, circa olympiadem LXIX, id est quingentis circiter ante Ch. annis. Iamvero leges ab eo scriptas civibus quidem suis dixerant Laërtius ex Speusippo, et Plutarchus contra Colotem (edit. paris. an. 1624. t. 2. p. 1126.) qui addit, cives eleates quotannis coactos a magistratibus iurare in Parmenidis leges. Nunc Themistius leges Parmenidis ad universam magnam Graeciam pertinuisse testis est.

(2) De congiariis atque annona cpolitanae urbi a Theodosio liberaliter suppeditatis, praeter Themistium in orat. XVIII. p. 222, vide etiam cod. theod. lib. 14. tit. 17. leg. 14.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 340 sur 544

ι. Τοιγαροῦν πρὸς τοῦτον τὸν ζῆλον συντεταμένος (καλῶ δὲ ἀδράστειαν ἐπὶ τῷ μέλλοντι λόγῳ, καὶ τὴν ὑμετέραν μαρτύρομαι ψῆφον) οὐκ ἀτιμοτέρους ἀπέφηνα μῆνας πολλῶν ἐνιαυτῶν (1), οὐδὲ κατέλιπον τοὺς ἀρχομένους βαρυνομένους τὴν ἐμὴν ἀρχὴν, ἀλλὰ διψῶντας· χρόνος γὰρ, ὑπηκόων εὔνοιαν οὐ ποιεῖ, ἀλλὰ προμήθεια καὶ φιλοπονία, καὶ τὸ μηδὲν τῆς κοινῆς λυσιτελοῦντος προύργου ποιεῖσθαι, μὴ φιλοδοξίαν, μὴ δυναστείαν, μὴ τὸ πρὸς ἀπέχθειαν καὶ τὸ πρὸς χάριν· ὁ τούτους φυλάττων τοὺς θεσμοὺς οὐ δεῖται πλήθους ἐτῶν, ἀλλὰ καὶ ὀρρωδεῖ· χαλεπὸν γὰρ ἀνθρώπῳ τὸ καλὸν ἀκέραιον ἐπὶ πολὺ διασώζεσθαι· πρὸς δὲ ἀρετῆς ἐπίδειξιν ἀποχρῶσι καὶ μῆνες ὀλί-

10. Ergo cum huic aemulationis studio intentus fuerim (eorum quae dicturus sum invidiam deprecor, et sententiam vestram contestor) non minus mihi honorifici fuerunt aliquot menses multis annis: neque reliqui subditos meos gravem incusantes meam dominationem, sed discupientes. Neque enim temporis diuturnitate tibi benivolentiam subditorum comparabis, sed providentia et sedulitate: item si nihil praeferas communi utilitati, non vanam gloriae speciem, non dominandi cupiditatem: si nihil odii, nihil gratiae causa facias. Qui hisce regulis utitur, multorum annorum non indiget, immo et hoc spatium pertimescit: difficile enim est homini honestam famam diu in-

(1) Themistius iniit urbis cpolitanae praefecturam anno post ch. natum 384. circa kal. septembres, uti recte adnotavit Harduinus ad orat. XVII, adeoque nonnisi paucorum mensium magistratum gessit. Porro hoc ipso anno 384. vertente Quintus etiam Aur. Symmachus romanae urbis praefecturam suscepit (V. Corsinium de praefec. urbis). Quare duo principes oratores duabus principibus urbibus eodem tempore praefuerunt.

©BIU Santé



Ὁ λόγος ἡμῖν οὐ φιλοτιμίας καὶ ἐπιδείξεως, ἀλλὰ τῆς ὁσίας τῆς εἰς τὸν πατέρα στοχάζεται, ἣν μείζονα ἔσεσθαι καὶ σεμνοτέραν ὑπέλαβε παρ' ὑμῖν ἀκροαταῖς γινομένην· τοῦτο γὰρ τὸ θέατρον καὶ μόνον ἄξιον ἡγεῖται ἀρετῆς· φιλεῖ μὲν οὖν ὡς τὰ πολλὰ μὴ δέχεσθαι μῆκος ἡ τοιάδε ἐπαγόρευσις (2)· ἡμῖν δὲ καὶ ἄλλως ἀναγκαῖον ἐγένετο φείσασθαι τοῦ πλήθους· οὔτε γὰρ ὁ παρὼν καιρὸς ἐνεδίδου, ταχυτέραν ἀπαιτῶν ἢ μακροτέραν τὴν εὐφημίαν· ἕωλος γὰρ ἐπικήδειος ἅπας, μακρὰν

# THEMISTII

## exordium ineditum orationis funebris in patrem.

Orationis nostrae scopus non est ostentatio et pompa, sed in parentem pietas, quae quidem maior graviorque videbitur, quoniam vos auditores sortita est: hoc enim theatrum uni virtuti contingere posse existimatur. Iamvero huiusmodi concio prolixitatem pati plerumque non solet. Nobis vero et alioqui necessarium est non esse verbosis. Neque enim vel haec occasio aliter sinit, breviorem potius quam longiorem postulans laudationem. Stulta enim est ea funebris oratio, quae dolorem pellere ni-

(1) Oratio XX. Themistii est epitaphium in ipsum oratoris parentem. Codex vero ambrosianus hoc ei exordium praeponit, quod in editionibus desideratur. Scriptum est autem ab ipso Themistio, ut cuique legenti facile patebit.

(2) In margine codicis scribitur glossa ὁ ἐπιτάφιος λόγος.

©BIU Santé

©BIU Santé



ἀφιστάμενος τοῦ πάθους τῷ χρόνῳ· καὶ πρὸς τὴν ἀναγραφὴν τοῦ βίου τὰ καθέκαστον ἀνεθέμεθα· τῇ λέξει δὲ εἴ τι ἐλλείπειν εἰς παλαιότητα εὑρίσκοιτε, οὐ θαυμαστόν· χαλεπὸν γὰρ ἐφικέσθαι τῆς ἐν συγγραφῇ ἀκριβείας, μὴ τοῦτο συνεχῶς ἐκμελετῶντας, ἀλλὰ πρὸς ἕτερα τὴν πλείω σπουδὴν ποιουμένους· καὶ ἅμα οὐχ οὕτω φροντιστέον τῷ φιλοσόφῳ καλλιεπεῖν, ἀλλ᾽ ἐκεῖνο μάλιστα φυλακτέον ὑμῖν, εἰ τὸ πρέπον ἁπανταχῇ διεσώσατο, καὶ υἱεῖ, καὶ φιλοσοφεῖν ἐπιχειροῦντι, καὶ εἰς φιλόσοφον.

titur temporis prolixitate. Et describenda quidem parentis vita, singula persequemur; si quam tamen loquutionem a vetere stilo declinare sentietis, ne miremini. Difficile enim est accuratam vocabulorum nos servare rationem, qui huic rei non semper studuimus, sed in aliis plerumque curam collocavimus. Praeterea philosopho non magnopere laborandum est ut ornate dicat; sed illud potius vobis observandum est, num ipse ubique personam apte sustineat et filii et philosophiae studiosi et pro philosopho dicentis.

---

Supplementa duorum locorum Themistii.

*Orationis* XXIX. de sophistae appellatione (*edit. Hard. p.* 347. *B.*) *lacuna ope codicis ambrosiani expletur sic*: χαλεπαίνοι ἐπὶ τῷ λόγῳ, οὗ εἴσω κάμπτει, καὶ ὁλοκλήρου etc. *Harduinus* (*in notis p.* 544.) *legebat* οὗ εἰσωκάπτει.

*Orationis* XXXIII. de nominibus regis et consulis (*p.* 365. *A.*) *lacuna item ope eiusdem codicis expletur sic*: ἐπειδὴ πολλὰς μὲν κέκτηται οἰκίας, πολλοὺς δὲ ἀγρούς, πολλὰς δὲ ἀγέλας etc. *Harduinus* (*in notis p.* 550.) *lacunam supplebat ex oratione* XXIV. (*p.* 307. *A.*) *sic*: πολλοὺς μὲν ἀγρούς, πολλὰς δὲ οἰκίας πεπαμμένος.

# ΠΟΡΦΥΡΙΟΥ ΦΙΛΟΣΟΦΟΥ

## ΠΡΟΣ ΜΑΡΚΕΛΛΑΝ.

α. ΕΓΩ σε, Μαρκελλα, θυγατέρων μὲν πέντε, δυοῖν δὲ ἀῤῥένων οὖσαν μητέρα, τῶν μὲν καὶ ἔτι νηπίων, τῶν δὲ ἤδη εἰς γάμου ἡλικίαν ἠβῶν ἐφορμούντων, εἱλόμην ἔχειν σύνοικον· μὴ καταδείσας τὸ πλῆθος τῶν εἰς τὰς χρείας αὐτοῖς ἐσομένων ἀναγκαίων· οὔτε παιδοποιίας χάριν τοῦ ἀπὸ τοῦ σώματος· ἔχειν κεκρικὼς παῖδας τῆς ἀληθινῆς σοφίας ἐραστὰς, τά τε σὰ τέκνα, εἰ φιλοσοφίας τῆς ὀρθῆς ἀντιλάβοιτό ποτε ὑφ' ἡμῖν ἀνατρεφόμενα (1)· οὔτε μὴν διὰ χρημάτων

# PORPHYRII PHILOSOPHI

## AD MARCELLAM.

1. EGO te, Marcella, filiarum quinque, marium vero duorum parentem, quorum alii parvuli sunt, alii ab nuptiali aetate prope absunt, coniugem optavi, nihil veritus graves impensas quae in illorum victum insumendae sunt. Neque id feci liberorum causa ex te suscipiendorum: nam filios mihi iampridem esse iudico verae sapientiae studiosos, itemque liberos ex te natos, siquidem et hi aliquando nostra institutione usi rectam philosophiam

---

(1) Satis cum hoc loco consentit in Porphyrii vita Eunapius, qui et huius porphyriani operis ad Marcellam praeclarus est testis. Γάμοις (male editum γάμος) τε ὁμιλήσας φαίνεται, καὶ πρὸς Μαρκέλλαν γε αὐτοῦ γυναῖκα γενομένην βιβλίον φέρεται· ἣν φησὶν ἀγαγέσθαι, καὶ ταῦτα οὖσαν πέντε μητέρα τέκνων, οὐχ' ἵνα παῖδας

περιουσίαν ἢ ὑμῖν ἢ ἐμοὶ προσοῦσαν· ἀγαπητὸν γὰρ καὶ τῶν ἀναγκαίων τὸ τυχὸν, οὖσιν ἀκτήμοσιν· οὔτε ἀπὸ τῆς ἄλλης διακονίας ῥᾳστώνην τινά μοι προσδοκήσας εἰς τὸ γῆρας ἀποκλίνοντι (1) ἔσπευσα· ἐπίνοσον γάρ σοι τὸ σῶμα, καὶ ἰατρείας μᾶλλον τῆς παρὰ τῶν ἄλλων δεόμενον, ἢ ἄλλοις ἐπικουρεῖν τι ἢ προστατεῖν ἐπιτήδειον· οὔτε δι' ἄλλην οἰκονομίαν ἢ θή-

amplectentur. Neque rursus id studui, quia vel vobis vel mihi abunde opum suppetat: contenti enim erimus, si necessaria ad vitam non desint; quandoquidem valde inopes sumus. Neque item putes me paravisse mihi ministerium aliquod commodum vitae iam in senium vergenti: nam corpus tibi esse sciebam valetudinarium, quodque ab aliis

---

ἐξ αὐτῆς ποιήσηται, ἀλλ' ἵνα οἱ γεγονότες παιδείας τύχωσιν· ἐκ φίλου γὰρ ἦν αὐτοῦ τῇ γυναικὶ τέκνα προϋπάρξαντα: *constat* (Porphyrium) *connubium quoque contraxisse; et habetur in manibus liber ad Marcellam coniugem, quam in matrimonium duxisse ait quinque liberorum matrem, non suscipiendae ex ea prolis gratia, sed uti eos erudiret, quos antea ex amico suo Marcellam partu edidisse noverat.* Miror tamen ab Eunapio quinque tantum Marcellae liberos commemorari, quum Porphyrius quinque filias duosque mares diserte narret. Et quidem ambrosianus codex Eunapii (C. 120. part. sup.) emendat illud γάμος pro γάμοις, verum alteram varietatem non tollit. Obiter noto, vitam quoque Plotini magistri sui scriptam a Porphyrio ad quemdam Marcellum, uxoris fortasse consanguineum. Et quidem eam vitam sine dubio adornavit post connubium Porphyrius, quandoquidem de magistro satis grandis natu scripsit. Confer inferius notas ad cap. XVI. Denique num loquitur de Marcella nostra locus anonymi auctoris apud Suidam voc. ἐξ ὑπογύου? nempe: γεγονὼς ἀπὸ Μαρκέλλης τὸ γένος ἀνέκαθεν· τὸ δ' ἐξ ὑπογύου πατρόθεν ἀπὸ Ἐκδικίου ῥήτορος: *Marcella ortus, si altius eius genus repetas: sin propiorem paterni generis originem spectes, ab Ecdicio rhetore.*

(1) Codex ἀποκλίνοντα.

©BIU Santé



ραν δόξης καὶ ἐπαίνων παρὰ τῶν ἀνυποστάντων ἐθελοντὶ τὸ τοιοῦτον βαστάσαι ψιλῆς ἕνεκα τοῦ εἰς τὸ εὐποιεῖν προθυμίας· τοὐναντίον γὰρ, ὑπ' ἀβελτηρίας τῶν πολιτῶν σου, καὶ τῷ πρὸς ἡμᾶς φθόνῳ, βλασφημίαις τε πολλαῖς περιπέπτωκα, καὶ παρὰ πᾶσαν προσδοκίαν εἰς θανάτου κίνδυνον ὑπ' αὐτῶν δι' ὑμᾶς περιέστην.

β. Τούτων οὖν χάριν οὐδένα κοινωνὸν ἕτερον τοῦ βίου πεποίηκα, διττῆς δὲ μᾶλλον ἕνεκα εὐλόγου αἰτίας· μιᾶς μὲν, καθ' ἣν ἀπομειλίξασθαι κρίνας τοὺς γενεθλίους θεοὺς, κατὰ τὸν ἐν τῷ δεσμωτηρίῳ Σωκράτην (1), δημώδη μουσικὴν πρὸ τῆς ἐν φιλοσοφίᾳ συνήθους ἐνεργείας διαθεῖναι ἑλόμενον, ἀσφαλείας ἕνεκα τῆς ἐκ τοῦ βίου ἀπαλλαγῆς· οὑτωσὶ γὰρ καὶ αὐτὸς

potius medicinam expectaret, quam iisdem auxiliari aut curam impendere posset. Neque denique aliquid aliud mihi proposui, neque gloriam laudesve ab iis aucupatus sum, qui haud paterentur unico benefaciendi studio ducti tantum onus sponte subire : contra enim accidit, ut ob tuorum civium vesaniam et adversus me invidiam, in vituperationes multas incurrerim ; et praeter omnem expectationem, in vitae quoque discrimen vestra causa ab illis vocatus fuerim.

2. Verum ob ea quae dicam te omnino prae ceteris ad vitae meae societatem vocavi : duplicem scilicet in primis rationem, et quidem utramque laudabilem, sequutus. Primum quia me placaturum putavi genitales deos, veluti olim in vinculis Socrates, qui popularem musicam consuetis philosophiae exercitiis anteposuit, idque ut tu-

(1) Apud Platonem in Phaedone ed. francofurt. anni 1602. p. 46.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 374 sur 544

ἀπομειλιττόμενος τοὺς ἐν τῇ κωμῳδοτραγῳδίᾳ (1) προστάτας δαίμονας, τὸν γαμικὸν ὕμνον ἀγωνίζεσθαι οὐκ ὤκνησα ἀσμενέστατα· καὶ πλήθει τῶν σῶν τέκνων συντυχὼν, καὶ τῇ προσούσῃ περισκελείᾳ (2) τῶν ἀναγκαίων, τῇ τε πονηρίᾳ τῶν ἐνυβρισάντων· οὐδὲν γὰρ παρεῖται τῶν εἰς τὸ δρᾶμα συμβαίνειν εἰωθότων, οὐ ζηλοτυπία, οὐ μῖσος, οὐ γέλως, οὐ διαπληκτισμός τε καὶ ὀργαί· πλήν γε ὅτι οὐ περὶ ἡμᾶς, περὶ δὲ τοὺς ἄλλως ὑπουργοῦντας τοῖς δαίμοσι, τουτὶ τὸ θέατρον ἡμεῖς ὑπεκρίθημεν (3).

γ. Ἑτέρας δὲ θειοτέρας καὶ οὐδὲν τῇ δημώδει ταύτῃ ἐοικυίας, καθ᾽ ἣν ἀγασθείς σου τὴν πρὸς τὴν ὀρθὴν φιλοσοφίαν ἐπιτηδειότητα τῆς φύσεως, οὐκ ᾠήθην προσήκειν ἀνδρὸς φίλου μοι στερηθεῖσαν, συλλήπτορος ἔρημόν σε καταλιπεῖν καὶ

tius ab hac vita discederet· Sic enim et ego ut placarem tragicomoediae praesides deos, nuptialem hymnum lubentissime concinere non recusavi: et multitudini tuorum liberorum ultro me obiiciens, et victus difficultati, et maledicorum improbitati· Nihil enim eorum praetermissum est, quae ad drama adhiberi solent; non aemulatio, non odium, non risus, non altercatio, non irae. Verumtamen nos quidem eiusmodi drama non tam nostri causa egimus, quam eorum qui multo aliter diis inserviunt·

3. Altera nobilior causa fuit atque ab hac vulgari prorsus abhorrens, quod ego nempe miratus tuum rectae philosophiae idoneum ingenium, haud aequum existimavi, te viro mihi caro spoliatam, nunc omni adiutore destitutam

(1) Fortasse tragicomoediae nomine designatur humana vita.
(2) Nota vocabulum περισκελεία.
(3) Num Christianos innuit, et deos dicit pro divinitate?

προστάτου σώφρονος καὶ τῷ σῷ τρόπῳ ἐπιτηδείου (1)· ἀποσοβήσας δὲ πάντας τοὺς ἐπηρεάζειν μέλλοντας ἐν προσποιήσει, ἤνεγκα μὲν τὰς παραλόγους ὕβρεις, ἐβάσταζα δὲ τὰς

relinquere, et sine patrono modesto tuisque moribus accommodato. Quare reiectis omnibus qui fallaci artificio negotium facessere studebant, toleravi absurdas contumelias,

---

(1) Divus Cyrillus alexandrinus contra Iulian. lib. VI. (ed. lips. 1696. T. II. p. 209.) se legisse hunc locum porphyriani operis ad Marcellam plane declarat his verbis: Πορφύριος τὴν Μαρκέλλαν ὑπεράγασθαι μὲν τῆς φιλοσοφίας φησὶν, εἰσοικίσασθαι δὲ ἀσμένως, καὶ συμβιωτεύειν ἑλέσθαι γαμικῶς: *Porphyrius Marcellae philosophandi studium mirari vehementer se ait, eamque libenter domum duxisse, et cum ea veluti cum uxore consuevisse.* Sic autem Cyrilli verba ipse interpretatus sum, quae in lipsiensi editione aliter convertuntur: *Porphyrius Marcellam philosophiae studium supra modum admiratam* etc., qui sensus a Porphyrii, qui nunc prodit, loco improbari videtur. Iam ego *philosophiam* libenter intelligerem christianam religionem (ut saepe Graeci locuti sunt) cui Marcella fuit addicta, nisi Augustinus mox a me recitandus, diceret Porphyrium potius conatum esse ut Marcellam uxorem a Christo abduceret. Quamquam reapse utrumque fieri potuit, nempe ut Porphyrius christianis Marcellae virtutibus illectus (nam virtus impiis quoque admirationi esse solet) eam uxorem sibi adsciverit; deinde vero stimulante notissimo Porphyrii adversus Christum odio, nisus sit eandem a sacris christianis revocare. En Augustini verba (de civ. Dei XIX. 23.) " In libris quos (Porphyrius) ἐκ λογίων „ φιλοσοφίας appellat, in quibus exsequitur atque conscribit rerum „ ad philosophiam pertinentium velut divina responsa, ut ipsa ver„ ba eius, quemadmodum ex lingua graeca in latinam interpretata „ sunt, ponam; *interroganti*, inquit, *quem Deum placando re„ vocare possit uxorem suam a christianismo*, *haec ait versibus „ Apollo*. Deinde verba velut Apollinis ista sunt: *forte magis po„ teris in aqua impressis litteris scribere*, *aut adinflans pennas*

©BIU Santé

ἐπιβουλὰς εὐσχημόνως· ἐλευθερῶν δὲ, τὸ εἰς ἐμὲ περιῆκον, παντὸς τοῦ δεσπόζειν ἐπιχειροῦντος, ἀνεκαλεσάμην εἰς τὸν ἑαυτῆς τρόπον, μεταδιδοὺς φιλοσοφίας, ἀκόλουθον τῷ βίῳ λόγον ἐπιδεικνύμενος. Καὶ τίς γὰρ ἂν ἄλλος μοι πρό γε σοῦ μάρτυς ἂν εἴη ἀκριβέστερος (1), ἣν αἰσχυνοίμην ἀφοσιούμενος, ἢ τὰ κατ' ἐμαυτὸν ἀποκρύπτων, ἀλλ' οὐχὶ πρὸς ἀλήθειαν ἀπ' ἀρχῆς εἰς τέλος, τῇ μάλιστα τὴν ἀλήθειαν προτιμώσῃ (2) καὶ διὰ ταύτην ἕρμαιον ἡγησαμένῃ τὴν συνοίκησιν (3), πάντα τὰ εἰς αὐτὴν καὶ δι' αὐτῆς πραχθέντα ὑπομιμνήσκων.

δ. Συγχωρούντων οὖν τῶν πραγμάτων ἐπιπλέον αὐτόθι

tuli aequo animo insidias: teque liberans, quantum in me fuit, a cuiusvis impotenti arbitrio, ad tuos ipsius mores revocavi, philosophiae praeceptis tibi impertitis, consentaneam nempe vitae doctrinam tradens. Quis autem te luculentior mihi testis erit? quam ego quidem erubescerem reiiciens, aut aliquid meorum celans, aut (quoniam tu veritatem in primis semper coluisti, et ea propter lucrum putasti matrimonium) non omnia verissime, quae ad veritatem ducunt, vel ipsius causa facta sunt, edocens.

4. Igitur cum per negotia licebat diutius istic commo-

---

„ *leves per aëra ut avis volare, quam pollutae revoces impiae* „ *uxoris sensum. Pergat quomodo vult inanibus fallaciis perse-* „ *verans, et lamentationibus fallacissimis mortuum Deum can-* „ *tans, quem a iudicibus recta sentientibus perditum, pessima* „ *in speciosis ferro iuncta mors interfecit.* „

(1) Cod. ἀκρινέστερος.

(2) In margine codicis scribitur ἀγαπώσῃ.

(3) Nimirum Marcella philosophiae studiosa nupserat libenter philosopho Porphyrio.

διατρίβειν, ἐπ' ἐξουσίας ἐνῆν σοι, ὥσπερ ἐκ παρακειμένων πηγαίων ναμάτων, τὸ ποτὸν ἀπαρρύεσθαι δαψιλέστερόν τε καὶ πρόσφατον· καὶ μὴ ἀγαπᾷν ὅσον αὐτῆς δόσεως συντείνοι πρὸς τὸ χρήσιμον, θαρρεῖν δὲ καὶ διαναπαυσαμένη παρέχεσθαι ἐκ τοῦ ῥᾴστου δι' ἐξουσίας τὴν ἀνάκτησιν· καλούσης δὲ σε τῶν Ἑλλήνων χρείας (1), καὶ τῶν θεῶν συνεπειγόντων, αὐτοῖς ὑπακούειν μέν σε, καίπερ οὖσαν προθυμοτάτην, μετὰ τοσαύτης ἀκολουθίας θυγατέρων, ἀδύνατον ἦν· ἄνευ δέ σου ταύτας ῥίπτειν οὕτως ἐν σκαιοῖς ἀνθρώποις, ἀβουλίας εἶναι ὁμοῦ καὶ ἀδικίας ἔργον ὑπείληφα· μένειν δὲ ἐνταυθοῖ βια-

rari, liberum tibi erat tamquam ex obviis fontibus potum haurire abundantem et promptum neque contentae esse quod ea res ad utilitatem aliquam duceret, verum etiam laetari licebat, atque tibimet interquiescenti exhibere facillime pro facultate praesente recreationem. Nunc vero urgentibus Graecorum negotiis, ipsisque una diis cogentibus, ut tu quidem obsecundares, quamvis paratissima, cum tanta filiarum sequela fieri non poterat. Sine te autem has proiicere ad improbos homines, stultum immo scele-

(1) Multa Porphyrii itinera recensentur ab iis qui de hoc summo philosopho aliquid scripserunt, nempe ab Eunapio aliisque veteribus, et Holstenio atque Bruckero. Nimirum puer Alexandriam aliasque regiones invisit. Athenis etiam versatum eum constat. Annos natus XX. Romam venit; iterum trigesimo aetatis anno. Post quinquennium in Siciliam concessit. Quin et Carthagine aliquamdiu commoratus est. Ex Sicilia tertio Romam venit, ibique diu docuit, vitamque finisse existimatur. Iam iter, de quo heic agitur, quonam vel quando susceptum fuerit, ignoro. Marcellam certe ductam uxorem a se in senium iam vergente, scripsit paulo ante Porphyrius cap. I. Heic autem decimo post nuptias mense ab ea se recessisse ait.

©BIU Santé

ζόμενος, τήν τε τοῦ αὖθις ἐντυχεῖν ἐλπίδα προϊσχόμενος, εἰκότως σοι παραινέσαιμ' ἂν ἀντεχομένῃ τῶν δοθέντων ἐν τοῖς δέκα μησὶν οἷς μοι συνῴκησας, μὴ πόθῳ καὶ ἐπιθυμίᾳ τοῦ πλείονος, καὶ τὸ ὂν ἤδη ἐκβαλεῖν· σπεύδω μὲν γὰρ ὃν ἂν δύναμαι τρόπον τὴν ταχίστην πάλιν ἀναλαβεῖν.

ε. Ἀδήλου δὲ ἐν ταῖς ἀποδημίαις τοῦ μέλλοντος ὄντος, ἀναγκαῖον σοι παραμυθούμενον τῷ λόγῳ ἅμα ἐπισκέπτειν· οἰκειότερον δ' εἴποιμ' ἂν τῆς σαυτῆς καὶ ἐν σεαυτῇ οἴκου κήδεσθαι, καὶ ἔμπεδα πάντα φυλάσσειν (1)· καταλειπόμενος (2) οὐδὲν ἀπεικότως τοῦ ἐν τραγῳδίαις Φιλοκτήτου ἕλκει μοχθίζοντος (3)· πλὴν ὅτι τῷ μὲν τὸ ἕλκος ὑπὸ ὀλοόφρονος ὕδρου· σοὶ δ' ἐπιγνούσῃ τὸ εἰς τὴν γένεσιν πτῶμα ὅσον καὶ οἷον ἡμῖν τῆς ψυχῆς περιέστη· οὐ τῶν θεῶν ἡμᾶς ὑπεριδόντων, ὡς ἐκεῖνον οἱ

stum arbitrabar. Nunc ego longinqua in terra manere coactus, spem tamen te rursus videndi nutriens, merito te hortor, ut conservato bono, quo fruita es per eos decem menses quibus una versati sumus, ne, desiderio ac cupiditate maioris emolumenti, etiam id quod habes amittas. Ego vero quam fieri potest celerrime te ad me recipere aveo.

5. Age vero quum in peregrinationibus quid eventurum sit, lateat, necesse est ut sapientiam te consolantem auscultes. Et quidem id dixerim gravius officium tuum, quam te tui tuaeque domus curam gerere, et incolumia cuncta servare. Quippe a me derelicta es, prorsus ut ille apud tragicos laborans ulcere Philocteta: nisi quod

(1) Odyss. II. 227.
(2) Ita codex, nisi mavis scribere καταλειπομένη.
(3) Iliad. II. 723.

Ἀτρεῖδαι, ἀλλὰ σωτήρων γενομένων καὶ οὐκ ἐπιλαθομένων. Πολλοῖς δή σε παλαίσμασι καὶ ἐπωδύνοις εἰς ἀγῶνα ἐμπεσοῦσαν, νῦν μάλιστα φιλοσοφίας τοῦ μόνου ἀσφαλοῦς πείσματος ἀντεχομένην παρακαλῶ μὴ ταῖς ἀμηχανίαις ταῖς ἐκ τῆς ἡμετέρας ἀπουσίας πλέον ἐνδοῦναι τοῦ προσήκοντος· μή τε πόθῳ τῆς παρ' ἡμῖν διδασκαλίας, καὶ τὸ δοθὲν ἤδη ἐκκροῦσαι (1)· μηδὲ πρὸς τὸ πλῆθος τῶν περιεστώτων ἀλλοτρίων ἀπαυδήσασαν, ἔκδοτον σεαυτὴν τῷ σύροντι ποταμῷ τῶν πραγμάτων ἐᾶσαι· ἀλλὰ λογισαμένην, ὡς οὐ διὰ ῥᾳστώνης ἡ τῶν ὄντων ἀγαθῶν κτῆσις τοῖς ἀνθρώποις περιγίνεται, αὐτοῖς τούτοις τοῖς συγκυρήσασιν εἰς ἄσκησιν τοῦ προσδοκωμένου χρήσασθαι βίου· ὅσα καὶ μόνα τῶν ἄλλων ἀντίπαλα τῆς σῆς καρτερίας εἰς τὸ παρατρέψαι σε καὶ βιάσαι εἶναι δύναται· τὰ μὲν γὰρ τῶν

ille a pernicioso colubro ictus erat; tu autem doles, quod talis tantaque naturae corporeae labes spiritum circumstet. Quamquam dii nos haud negligunt, ut Philoctetam Atridae, sed salutem adferunt, nedum oblivioni tradunt. Te vero, quae multis cruciantibusque luctaminibus exercita es, uti nunc vehementius philosophiae, quod unum est tutum refugium, adhaereas magnopere rogo; neque te plus aequo anxietati propter nostram absentiam des; neque propter magisterii nostri desiderium, id quod iam didicisti abiicias; neque ob cumulum exterarum, quae instant, rerum defetiscens, victam te impetu fluentis agminis trahi sinas: sed consideres, veri boni acquisitionem hominibus otiosis non contingere, tuisque hisce casibus ad futurae vitae praeparationem utaris. Reapse hi tantum casus ita constantiae

(1) Cod. ἐκκροῦσα.

ἐπιβουλῶν εὐκαταφρόνητα πάντη τοῖς ὧν οὐχ ἡμεῖς κύριοι ἐθίσασιν ἀτιμάζειν, καὶ μᾶλλον εἰς ἐκείνους κεκρικόσι τὴν ἀδικίαν ἀναστρέφειν, ἢ βλάπτειν γε τούτους, οἷς τῶν μάλιστα παρ' ἑαυτοῖς δρωμένων ἐναντίων, οὐ μεγάλη τῆς ζημίας ἢ ἐλάττωσις εἶναι ὑπειλήφθη.

ς. Τὴν δὲ τοῦ ἐπωφελοῦντος τὴν ψυχὴν ἀπουσίαν, πατρός τε ὁμοῦ καὶ ἀνδρὸς καὶ διδασκάλου, καὶ συγγενῶν, εἰ δὲ βούλει, καὶ τῆς πατρίδος τὴν εὔνοιαν εἰς αὐτὸν συνῃρηκότος, δοκοῦσαν περιέχειν εὔλογον τῆς δυσχερείας τὴν αἰτίαν παρηγοροίης ἄν, θεωρὸν προστησαμένη τὸν λόγον, οὐ τὸ πάθος· πρῶτον μὲν ὡς οὐκ ἦν ἄλλως, ὅπερ ἔφην (1), πρὸς τῶν μελλόντων νόστου δὴ μιμνήσκεσθαι (2) ἐκ τῆς ἐνταυθοῖ ξένης κατ-

tuae adversantur, ut permovere et cogere queant. Nam quae mala per alienas insidias accidunt, facile contemnuntur ab illis, qui ea solent despicere, quibus ipsi non dominantur: atque in improbos potius improbitatem recidere iudicant, quam illis ipsam nocere, quibus vel summae iniuriae parum detrimenti ac deminutionis adferre creduntur.

6. Hominis autem utilis animo tuo, et patris et mariti et magistri atque cognatorum omnium, immo et ipsius patriae benivolentiam in se uno complectentis, absentiam (quae sine dubio est iusta causa molestiae) satis lenies, si non animi dolorem, sed sapientem sectaberis considerationem; cuius haec prima admonitio erit, quod aliter nimirum haud liceret, ut dixi,

(1) Capite superiore.

(2) Nempe in caelum, (cui rei contrarium est πτῶμα εἰς τὴν γένεσιν, retro dictum.) Nam caelo emissas animas, corporibusque

αγωγῆς τὸ δι' ἡδονῆς καθάπερ ἱππήλατόν τι χωρίον καὶ ῥᾳστώνης ποιεῖσθαι τὴν ἐπάνοδον· αὐτὸ γὰρ τὸ πρᾶγμα ὡς οὐδὲν ἄλλο ἄλλῳ ἀντίκειται πράγματι, ἡδονή τε καὶ ῥᾳθυμία τῇ πρὸς θεοὺς ἀνόδῳ· ἐπεὶ οὐδὲ τὰ ὑψηλότερα τῶν ὀρῶν ἀκινδύνως καὶ πόνων ἄνευ ἦν ἀναβαίνειν, οὐδ' ἀπὸ τῶν μυχῶν τοῦ σώματος διὰ τῶν εἰς τὸ σῶμα καταγωγῶν, ἡδονῆς τε καὶ ῥᾳθυμίας, ἀνακύπτειν· διὰ γὰρ μερίμνης ἡ ὁδὸς καὶ τῆς ἀναμνήσεως τοῦ πτώματος· κἂν ᾖ τὰ συμβαίνοντα δυσχερῆ, τὸ δύσκολον πρὸς ἀνάβασιν οἰκεῖον· ὅτι καὶ τὸ (1) ῥεῖα ζώειν,

eos qui reditum aliquando molituri sunt, reapse redire ex hoc peregrino diversorio, si esset veluti voluptarius locus campusque spatiosus et delicatus. Nihil enim adeo obstat, ut voluptas et ignavia, quominus ad deos accedamus. Reapse ne montium quidem cacumina sine periculo et labore conscendere licet: neque item a recessibus corporis emergere per ea quae deorsum ad corpus ferunt, per voluptatem videlicet et ignaviam. Via enim per aerumnas secta est perque reminiscentiam mortalitatis. Quod si intercedunt molestiae, difficultas quidem maxime propria est adscensionis: tranquille siquidem vivere, deorum

---

ad tempus immixtas aiebant philosophi aliquot, atque illuc post fata ad Deum reverti, quos inter Porphyrius teste Augustino de civ. D. X. 30. *Porphyrius purgatam animam ob hoc reverti dixit ad patrem, ne aliquando iam malorum polluta contagione teneatur. Falso igitur a quibusdam platonicis est creditus quasi necessarius orbis ille, ab eisdem abeundi et ad eadem revertendi.* Quin et libros Porphyrii *de regressu animae* diserte memorat idem Augustinus opere et libro citato cap. 29. Utitur autem heic Porphyrius locutione homerica iliad. X. 509.

(1) Codex videtur habere τά. Est autem locus apud Homerum iliad. VI. 138, et odyss. IV. 805. V. 122.

παρὰ θεοῖς· πεπτωκόσι δὲ (1), εἰς τὴν ἔγερσιν ἐναντιώτατον, ὡς ἂν εἰς λήθην ἄγον τῷ ἀλλοτρίῳ, καὶ τῷ ὕπνῳ συντελοῦν, ἂν καθεύδωμεν ὑπὸ τῶν ψυχαγωγούντων ἡμᾶς ἐνυπνίων βουκολούμενοι·

ζ. Ἐπεὶ καὶ τῶν πεδῶν αἱ μὲν ἐκ χρυσοῦ βαρυτάτου ὄντος, διὰ τὴν εὐπρέπειαν, εἰς κόσμον μᾶλλον συντελεῖν καὶ φέρειν τὸν δεσμὸν δι' αὐτῶν ἐπήγαγον τῷ κούφῳ τὰς δι' ἀφροσύνην τοῦ βάρους ἀναισθήτους γυναῖκας· αἱ δὲ τοῦ σιδήρου συνιέναι τῶν ἁμαρτημάτων ἠνάγκασαν, καὶ λυπήσασαι μεταγινώσκειν, καὶ ζητεῖν τοῦ βάρους ἀπαλλαγὴν πορίσασθαι· τοῦ χρυσοῦ δὲ διὰ τὴν τέρψιν εἰς ἀγανάκτησιν οὐ τὴν τυχοῦσαν πολλάκις συντελούσης τῆς ἀλύσεως (2)· ὅθεν καὶ ἔδοξε τοῖς σώφρο-

est. In iis autem qui ceciderunt in terram, tranquillitas in primis contraria est erectioni, quoniam per res extraneas oblivionem *caeli* invehit, somnumque conciliat, ita ut dormiamus, ab illudentibus somniorum imaginibus oblectati.

7. Iam et catenae, quae sunt ex auro gravissimo, tamen, propter pulchritudinem, ut ornamento magis quam vinculo tribuantur, suadent mulieribus, quae stultitiae suae causa pondus non sentiunt. Contra ferreae catenae peccata in memoriam revocant, suaque molestia paenitentiam creant, impelluntque ut quo pacto liberemur a pondere, vestigemus. Ceterum aurea quoque vincula post oblectationem ad non mediocres dolores saepe transferunt. Quamobrem sapientibus videntur aerumnae magis quam vo-

(1) Recole pag. 365. not. 2. Animas delapsas in corpora ait Porphyrius in sententia XXXII.

(2) Cod. λύσεως.

σι τὰ ἐπίπονα τῶν ἡδέων μᾶλλον συντελεῖν εἰς ἀρετήν· καὶ τὸ μοχθεῖν ἄριστον εἶναι ἀνδρί τε ὁμοίως καὶ γυναικὶ, ἢ ἐξοιδαίνειν τὴν ψυχὴν ὑπὸ τῆς ἡδονῆς χαλωμένην· παντὸς γὰρ καλοῦ κτήματος πόνους δεῖ προηγεῖσθαι, καὶ πονεῖν ἀνάγκη τὸν τυχεῖν ἀρετῆς σπουδάζοντα. Ἀκούεις δὲ καὶ τὸν Ἡρακλέα, τούς τε Διοσκούρους, καὶ τὸν Ἀσκληπιὸν, τούς τε ἄλλους ὅσοι θεῶν παῖδες ἐγένοντο, ὡς διὰ τῶν πόνων καὶ τῆς καρτερίας τὴν μακαρίαν εἰς θεοὺς ὁδὸν ἐξετέλεσαν· οὐ γὰρ ἐκ τῶν δι' ἡδονῆς βεβιωκότων ἀνθρώπων αἱ εἰς θεὸν ἀναδρομαὶ, ἀλλ' ἐκ τῶν τὰ μέγιστα τῶν συμβαινόντων γενναίως διενεγκεῖν μεμαθηκότων.

η. Μείζων (1) δὲ ἆθλος τοῦ νῦν σοι προκειμένου εὖ οἶδα καὶ αὐτὸς, ὡς οὐκ ἂν γένοιτο ἄλλος, ἡγουμένη μετ' ἐμοῦ καὶ τῆς σωτηρίας τὴν ὁδὸν καὶ τὸν ταύτης καθηγεμόνα καταλείψειν· ἔχει δὲ οὐχ οὕτω παντάπασι δυσκαρτερήτως σοι τὰ παρ-

luptates ad virtutem conferre: videtur item expedire ut vir mulierque potius laborent, quam animo turgeant aura voluptatis inflati. Certe cuiusvis rei pulchrae labor dux esse debet; atque eum qui virtuti studet, laborare necesse est. Et quidem satis nosti, Herculem quoque et Dioscuros et Aesculapium aliosque deorum filios per labores atque patientiam viam ad caelestium beatitudinem adfectasse. Neque enim ab hominibus voluptariis ad Deum curritur, sed ab iis qui gravissimos casus fortiter tolerare didicerunt.

8. Graviorem porro praesente laborem plane mihi persuadeo, tibi haud posse proponi, quae arbitraris me procul abeunte, a via omni salutis eiusque duce excidere. Atqui res tuae non tam deterrimo loco sunt, si tamen o-

(1) Cod. μέγιστος.

©BIU Santé



ὄντα, εἰ παρεῖσα τὴν ἐκ τοῦ πάθους ἀλόγιστον ταραχὴν, μὴ περὶ φαύλων ἡγήσῃ μεμνῆσθαι ὧν εἰς φιλοσοφίαν τὴν ὀρθὴν παρὰ τῶν θείων ἐτελέσθης (1) λόγων· ὧν τὴν βεβαίαν ἀκρόασιν αἱ πράξεις ἐλέγχειν εἰώθασι· τὰ γὰρ ἔργα τῶν δογμάτων ἑκάστου φέρειν πέφυκε τὰς ἀποδείξεις· καὶ δεῖ οὕτως βιοῦν ὅστις ἐπίστευσεν, ἵνα καὶ αὐτὸς πιστὸς ᾖ μάρτυς περὶ ὧν λέγει τοῖς ἀκροωμένοις. Τινὰ οὖν ἦν ἄρα ἃ παρὰ τῶν σαφέστατ' εἰδότων τὰ κατ' ἀνθρώπους μεμαθήκαμεν; ἆρ' οὐχ ὅτι μέν σοι ἐγὼ οὐχ ὁ ἁπτὸς οὗτος καὶ τῇ αἰσθήσει ὑποπτατὸς, ὁ δὲ ἐπὶ πλεῖστον ἀφεστηκὼς τοῦ σώματος, ὁ ἀχρώματος καὶ ἀσχημάτιστος, καὶ χερσὶ μὲν οὐδαμῶς ἐπαφητὸς, διανοίᾳ δὲ μόνῃ κρατητὸς· λαμβάνομεν δὲ οὐ παρὰ τῶν ἔξωθεν τὰ εἰς τὰ παρ' αὐτῶν ἡμῖν ἐντεθειμένα· τοὐν-

missa insana doloris perturbatione, praeclaras opiniones in memoriam revocabis, quibus cum recta philosophiae institutione, divini sermonis ope, initiata es: quasque utrum firmiter didicerimus, facta ipsa solent coarguere. Etenim natura comparatum est, ut cuiusque opera certae dogmatum demonstrationes sint, atque oportet ita unumquemque vivere ut credit, ut sit ipse apud audientes fidelis eorum, quae dicit, testis. Quaenam igitur didicimus ab iis qui certissime res humanas noverunt? Scilicet me tibi non esse hunc palpabilem virum sensibusque subiectum, sed illud nescio quid potius quod a corpore plurimum differt, sine colore, sine figura, et manibus quidem non contrectandum, mente vero tantummodo comprehendendum. Neque porro ab externis sumimus quae in nobis ipsis insita sunt: verum, ut in choro, numerum tantum auscultamus,

(1) Cod. ἐπελέσθης.



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 385 sur 544

δόσιμον δὲ μόνον ὥσπερ ἐν χορῷ εἰς ἀνάμνησιν ἡμᾶς ἄγοντα, ὧν ἔχοντες παρὰ τοῦ δεδωκότος ἐπλανήθημεν (1).

θ. Πρὸς δὲ τούτοις οὐχ ὅτι πᾶν πάθος ψυχῆς εἰς σωτηρίαν αὐτοῖς πολεμιώτατον, καὶ ἀπαιδευσία μὲν τῶν παθῶν πάντων μήτηρ; τὸ δὲ πεπαιδεῦσθαι οὐκ ἐν πολυμαθείας ἀναλήψει, παλάξει (2) δὲ τῶν ψυχικῶν παθῶν ἐθεωρεῖτο· πάθη δὲ νοσημάτων ἀρχαί· ψυχῆς δὲ νόσημα κακία· κακία δὲ πᾶσα αἰσχρόν· τὸ δὲ αἰσχρὸν τῷ καλῷ ἐναν-

a quo ea nobis in mentem revocantur, quae postquam acceptimus a donante *Deo* peregrinamur in orbe.

9. Praeterea nonne quaevis animae passio inimicissima est saluti? tum vero inscitia nonne parens omnium passionum est? Bonam autem institutionem numquam aestimem quae cum eruditionis copia, animalium quoque passionum contaminatione sordescat. Passiones morborum initia: im-

(1) Porphyrii locus hic mirificam lucem haurit a Tullio de senectute XXI. *Dum sumus in his inclusi compagibus corporis, munere quodam necessitatis et gravi opere perfungimur. Est enim animus caelestis ex altissimo domicilio depressus, et quasi demersus in terram, locum divinae naturae aeternitatique contrarium. Sed credo deos immortales sparsisse animos in corpora humana, ut essent qui terras tuerentur, quique caelestium ordinem contemplantes, imitarentur eum vitae modo atque constantia. Audiebam Pythagoram pythagoreosque, incolas paene nostros, qui essent italici philosophi quondam nominati, numquam dubitasse, quin ex universa mente divina delibatos animos haberemus . . . magnoque esse argumento, homines scire pleraque ante quam nati sint, quod iam pueri, cum artes difficiles discant, ita celeriter res innumerabiles arripiant, ut eas non tum primum accipere videantur, sed reminisci et recordari.*

(2) Nota vocabulum πάλαξις, a παλάσσω. Porro ante illud vocabulum est spatiolum in codice, sine tamen sensus defectu.

©BIU Santé



τίον· καλοῦ δὲ ὄντος τοῦ θεοῦ, ἀμήχανον αὐτῷ σὺν κακίᾳ πελάζειν· καθαροῦ γὰρ μὴ καθαρὸν ἐφάπτεσθαι οὐδὲν ὁ Πλάτων φησὶ θεμιτὸν εἶναι (1)· διὸ καὶ μέχρι τοῦ νῦν καθαρεύειν δεῖ τῶν παθῶν τε, καὶ τῶν διὰ τὸ πάθος ἁμαρτημάτων (2). Ἆρ' οὖν οὐ τοιαῦτα ἦν οἷς μάλιστα συνήνεις, ὡς γράμματα θεῖα ἐνόντα παρὰ σαυτῇ διὰ τῆς τῶν λόγων ἐνδείξεως ἀναγινώσκουσα; πῶς οὖν οὐκ ἄτοπον τὴν πεπεισμένην ἐν σοὶ καὶ τὸ σῶζον καὶ τὸ σωζόμενον, καὶ τό γε ἀπολλύον καὶ ἀπολλύμενον, τόν τε πλοῦτον καὶ τὴν πενίαν, τόν τε πατέρα καὶ τὸν ἄνδρα καὶ τῶν ὄντως ἀγαθῶν καθηγεμόνα, κεχηνέναι πρὸς τὴν τοῦ ὑφηγητοῦ σκιὰν, ὡς δὴ τὸν ὄντως ὑφηγητὴν μὴ ἐντὸς ἔχουσαν, μηδὲ παρὰ σαυτῇ πάντα τὸν πλοῦ-

probitas est animae morbus: vitium omne turpe: turpe bono adversarium: bonus quum sit Deus, fieri nequit ut cum vitio ad eum accedamus. Etenim mundum immundo tangere, Plato nefas omnino esse ait. Quare hactenus purgare oportet passiones, atque orientia ab his peccata. Iamvero nonne haec erant quae tu maxime comprobabas, quaeque ut divina documenta apud te condita, sermone facem praeferente, legebas? Quomodo igitur non est absurdum, eam cui persuasum est in se habere servans et servatum, perdens et perditum, opes et egestatem, parentem et virum verique boni magistrum, hiare ad suasoris umbram, quasi verum ducem intus non habeas, neque in te ipsa omnigenam opum vim? quas quidem opes pe-

(1) Sunt ipsa fere verba Platonis in Phaedone (ed. Ficini francof. 1602. p. 51.)

(2) De purgationibus animae conferatur Porphyrii doctrina in eius sententia XXXIV. edit. cantabrig. anno 1655.



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 387 sur 544

τον; ὃν ἀνάγκη ἀπολλύναι καὶ διαφεύγειν, πρὸς τὴν σάρκα καταβαίνουσαν, ἀντὶ τοῦ σώζοντος καὶ σωζομένου.

ι. Τῆς μὲν οὖν ἐμῆς σκιᾶς καὶ τοῦ φαινομένου εἰδώλου, οὔτε παρόντων ὀνήσω τι, οὔτ' ἀπόντων ἐπώδυνος ἡ ἀπουσία τῇ μελετώσῃ φεύγειν ἀπὸ τοῦ σώματος (1). Ἐμοῖ δὲ καθαρῶς τύχοις ἂν μάλιστα καὶ παρόντος καὶ συνόντος νύκτωρ καὶ μεθημέραν, σὺν καθαρῷ καὶ τῷ καλλίστῳ τοῦ συνουσίας καὶ μηδὲ χωρισθῆναι οἵου τε ὄντος, εἰ μελετῴης εἰς ἑαυτὴν ἀναβαίνειν, συλλέγουσα ἀπὸ τοῦ σώματος πάντα τὰ διασκεδασθέντα μέλη, καὶ εἰς πλῆθος κατακρεματισθέντα (2), ἀπὸ τοῦ τέως ἐν μεγέθει δυνάμεως ἰσχυούσης ἑνώσεως. Συνάγοις δ' ἂν καὶ ἑνίζοις τὰς ἐμφύτους ἐννοίας, καὶ δι' ἀρθροῦν συγκεχυμένας, καὶ εἰς φῶς ἕλκειν ἐσκοτισμένας

rire et effluere necesse est, si, nulla ratione habita servantis et servati, ad carnem te demittas.

10. Mea igitur umbra atque conspicua imagine neque praesens iuvabo, neque absens molestiam creabo, siquidem mentem avertere a corpore curabis. Me autem pure diu noctuque frueris tamquam praesente et coniuncto cum defaecata et pulcherrima copula et porro inseparabili, si dabis operam ut in te ipsam adscendas, retrahens a corpore partes omnes sparsim diffusas, nimirum ut virtus hactenus extensa, coniunctione roboretur. Colliges autem atque cumulabis innatas animae

---

(1) Eadem Porphyrii doctrina legitur etiam apud Augustinum de civ. D. X. 29. *Intuentes Porphyrium in his ipsis libris, quos de regressu animae scripsit, tam crebro praecipere omne corpus esse fugiendum, ut anima possit beata permanere cum Deo.*

(2) Nimirum Porphyrius hoc ponit inter fundamenta purgationis animae in sententia XXXIV: συνάγειν αὐτὸν ἀπὸ τοῦ σώματος, καὶ τοῖς οἷον τόποις, πάντως γε μὲν ἀπαθῶς πρὸς αὐτὸ διατιθέμενον:

πειρωμένη· ἀφ' ὧν ὁρμώμενος καὶ ὁ θεῖος Πλάτων, ἀπὸ τῶν αἰσθητῶν διὰ τὰ νοητὰ τὰς ἀνακλήσεις πεποίηται· ἔτι εἰ μνημονεύεις, διαρθροίης δ' ἂν ἅ γε ἀκήκοας, διὰ τῆς μνήμης ἀναπεμπαζομένη, τοῖς τε τοιούτοις τῶν λόγων ὡς ἀγαθοῖς συμβούλοις ἀξιοῦσα προσέχειν, καὶ λοιπὸν τὰ γνωσθέντα διὰ τῶν ἔργων ἀσκοῦσα, διὰ δ' αὐτῶν πονεῖν συντηροῦσα.

ια. Λέγει δὲ ὁ λόγος πάντη μὲν καὶ πᾶσι (1) παρεῖναι τὸ θεῖον (2)· νεὼν δὲ τούτῳ παρ' ἀνθρώποις καθιερῶσθαι τὴν διάνοιαν μάλιστα τοῦ σοφοῦ μόνην, τιμήν τε προσήκουσαν ἀπονέμεσθαι τῷ θεῷ ὑπὸ τοῦ μάλιστα τὸν θεὸν ἐγνωκότος· τοῦτον δὲ εἶναι εἰκότως μόνον τὸν σοφὸν, ᾧ τιμητέον διὰ σοφίας τὸ θεῖον, καὶ κατακοσμητέον αὐτῷ διὰ σοφίας ἐν τῇ γνώμῃ τὸ ἱερὸν, ἐμψύχῳ ἀγάλματι τῷ νῷ ἐνεικονισαμέ-

facultates articulatim hactenus confusas, si ad lucem revocare obscuras conaberis: unde exorsus etiam divinus Plato a sensilibus ad abstracta nos vocavit: praeterea si memor eris, et nectes audita menta versans, atque his doctrinis tamquam bonis consiliariis uteris, et mox cognitas opere exercebis constanter ad laborem incumbens.

11. Ait autem philosophia Deum cunctis et ubique esse praesentem: mentem vero sapientis templum esse inter homines ei consecratum potissimum immo unicum: honoremque convenientem Deo tribui ab eo qui Deum maxime novit. Eiusmodi sapientem solum esse, a quo numen sapientiâ adorandum est, exornandumque huic per eam-

---

*Colligere semet ipsum a corpore, et quasi e diversis locis, ita ut omnino liber sis ab eius adfectionibus.*

(1) Cod. πάντας.

(2) Deum ubique praesentem ait Porphyrius etiam in sententia XXXI.

©BIU Santé



νου ἀγάλλοντα . . . (1) Θεὸς μὲν γὰρ δεῖται οὐδενός· σοφὸς δὲ μόνου θεοῦ· οὐ γὰρ ἂν ἄλλως καλὸς κἀγαθὸς γένοιτο, ἢ νοῶν τό τε ἀγαθὸν καὶ καλὸν ὅπερ ἐξέχει τοῦ θείου· οὐδ' αὖ ἄλλος κακοδαίμων ἄνθρωπος, ἢ πονηρῶν δαιμόνων (2) ἐνδιαίτημα τὴν ψυχὴν κατασκευάσας· ἀνθρώπῳ δὲ σοφῷ θεὸς θεοῦ δίδωσιν ἐξουσίαν· καὶ καθαίρεται μὲν ἄνθρωπος ἐννοίᾳ θεοῦ· δικαιοπραγίαν δὲ ἀπὸ θεοῦ ὁρμώμενος διώκει.

ιβ. Πάσης πράξεως καὶ παντὸς ἔργου καὶ λόγου θεὸς ἐπόπτης παρέστω καὶ ἔφορος· καὶ πάντων ὧν πράττομεν ἀγαθῶν τὸν θεὸν αἴτιον ἡγώμεθα· τῶν δὲ κακῶν αἴτιοι ἡμεῖς ἐσμὲν οἱ ἑλόμενοι· θεὸς δὲ ἀναίτιος· ὅθεν καὶ εὐκταῖον (3) τὰ ἄξια

dem sapientiam in intellectu templum, decorandum scilicet animata statua mente eius qui semet spectat *in Deo* tamquam imagine . . . . Deus nemine indiget: Deo solo sapiens eget: neque is aliter bonus honestusque evadet, nisi cogitans bonum honestumque quod effulget ex Deo. Neque alius est calamitosus homo, nisi qui malorum geniorum habitaculum animam suam facit. Sapienti autem homini Deus divinum ius tribuit: destruitur quidquid hominis est Dei comprehensione: atque ipse iustitiam sectatur, a Deo capiens exordium.

12. Omnis actionis omnisque operis atque sermonis scrutator Deus adsit et inspector. Quidquid boni facimus, causam eius putemus Deum: malorum nos sumus auctores qui ea sponte eligimus: Deus inculpabilis. Quare et digna

---

(1) Spatium unius vocabuli in codice.

(2) De malis geniis saepe Porphyrius in secundobr lio de abstinentia.

(3) Cod. εὐεκταῖον.

θεοῦ· καὶ αἰτώμεθα ἃ μὴ λάβοιμεν ἂν παρ' ἑτέρου· καὶ ὧν ἡγεμόνες οἱ μετ' ἀρετῆς πόνοι, ταῦτα εὐχόμεθα γενέσθαι μετὰ τοὺς πόνους· εὐχὴ γὰρ ῥαθύμου μάταιος λόγος (1)· ἃ δὲ κτησαμένη οὐ καθέξεις, μὴ αἰτοῦ παρὰ θεοῦ· δῶρον γὰρ θεοῦ πᾶν ἀναφαίρετον· ὥστε οὐ δώσει ὃ μὴ καθέξεις· ὧν δὲ τοῦ σώματος ἀπαλλαγεῖσα οὐ δεηθήσῃ (2), ἐκείνων καταφρόνει· καὶ ὧν ἂν ἀπαλλαγεῖσα δέῃ, εἰς ταῦτα σὺ ἀσκουμένη τὸν θεὸν παρεκάλει γενέσθαι συλλήπτορα· οὐκοῦν δεήσῃ οὐδενὸς, ὧν καὶ ἡ τύχη δοῦσα πολλάκις πάλιν ἀφαιρεῖται· οὐδὲ πρὸ καιροῦ τινὸς τὴν αἴτησιν ποιεῖσθαι, ἀλλ' ὅταν σοι ὁ θεὸς ἐν σοὶ οὖσαν φύσει τὴν ὀρθὴν αἴτησιν ἐκφαίνει.

ιγ. Δι' ὧν μάλιστα καὶ αὐτὸς ἐνοπτρίζεσθαι πέφυκεν, οὔτε διὰ σώματος ὁρατὸς ὢν οὔτε διὰ ψυχῆς αἰσχρᾶς καὶ ὑπὸ τοῦ

Deo rogandus est Deus: et quae ab alio accipere nequimus: atque ea bona quibus praeit labor cum virtute, haec, inquam, post laborem adsequi postulemus. Ignavi hominis preces stulta sunt verba. Quae vero tu adsequuta, non es retentura, haec a Deo ne postules: donum enim Dei est quidquid auferri nequit. Quamobrem is ne dabit quidem id quod in perpetuum non es habitura. Ea contemne, quorum libera a corpore non indigebis: quorum vero post fata indigebis, ad horum acquisitionem te exercens, Dei auxilium implora. Igitur nihil petes eorum, quae ipsa fortuna, postquam dedit, auferre solet. Neque ante suum tempus quidvis postules, verum ubi Deus bonas tibi preces naturaliter insitas suggeret.

13. Namque in his ipsum Deum tamquam in speculo

(1) Scriptum πόνος, tum superscriptum λόγος.

(2) Cod. δεηθείσῃ.

κακίας ἐσκοτισμένης· κάλλος γὰρ ἐκείνου τὸ ἀκήρατον, καὶ φῶς τὸ ζωτικὸν ἀληθείᾳ διαλάμπον· κακία δὲ πᾶσα ὑπ' ἀγνοίας διέψευσται, καὶ ὑπὸ αἴσχους διέστραπται· ταῦτ' οὖν θέλε καὶ αἰτοῦ τὸν θεὸν ἃ θέλει τε καὶ ἔστιν αὐτός· εὖ ἐκεῖνο γινώσκουσα, ὡς ἐφόσον τὶς τὸ σῶμα ποθεῖ καὶ τὰ τοῦ σώματος σύμφυλα, ἐπὶ τοσοῦτον ἀγνοεῖ τὸν θεὸν, καὶ τῆς ἐκείνου ἐνοράσεως ἑαυτὸν ἀπεσκότισε (1), καὶ ἂν παρὰ πᾶσι τοῖς ἀνθρώποις ὡς θεὸς δοξάζεται· σοφὸς δὲ ἄνθρωπος ὀλίγοις γινωσκόμενος, εἰ δὲ βούλει, καὶ ὑπὸ πάντων ἀγνοούμενος, γινώσκεται ὑπὸ θεοῦ· ἐπέσθω τοίνυν ὁ μὲν νοῦς τῷ θεῷ, ἐνοπτριζόμενος τῇ ὁμοιώσει θεοῦ· τῷ δὲ νῷ ἡ ψυχή· τῇ δ' αὖ ψυχῇ ὑπηρετείτω τὸ σχῆμα, εἰς ὅσον οἷόν τε, κα-

licet contemplari, qui neque a corpore aliquo cernitur neque ab animo turpi et vitiis obtenebrato. Pulchritudo enim Dei incorrupta; lux eius vivificat, veritate coruscans. Vitium inscitiâ falsum fit et turpitudine distorquetur. Id igitur a Deo pete quod ipse vult et porro est. Illud tibi persuade, quo magis quis corpus et corpori agnata adpetit, eum vehementius Deum ignorare atque illius notionem ipsum sibi praecludere, etiamsi a cunctis hominibus ceu numen observaretur. Contra sapiens homo paucis notus, immo, si lubet, omnibus ignotus, noscitur a Deo. Sectetur igitur mens Deum, cumque tamquam in imagine contempletur: mentem sectetur animus:

---

(1) Hanc hausit Porphyrius doctrinam a suo magistro Plotino, in cuius vitae initio scribit ipse Porphyrius: Πλωτῖνος ὁ καθ' ἡμᾶς γεγονὼς φιλόσοφος, ἐῴκει μὲν αἰσχυνομένῳ ὅτι ἐν σώματι εἴη: *Plotinus, nostrae aetatis philosophas, pudore quodam adfici videbatur, quod anima eius in corpore esset.* Conferantur eiusdem Porphyrii sententiae, et Platonis Phaedo. Recolatur denique p. 372. n. 2.

θαρῷ καθαρόν· ἀπὸ γὰρ τῶν παθῶν ταύτης μιαινόμενον, εἰς αὐτὴν πάλιν ἐπαναστρέφεται τὰ μιάσματα.

ιδ. Τῇ δὲ ψυχῇ τῇ θεοφιλεῖ (1) καὶ τῷ θεοφιλεῖ νῷ ἐν τῷ καθαρῷ σώματι ἔστωσαν καὶ πρᾶξις ἀκόλουθος καὶ λόγος· αἱρετωτέρου σοὶ ὄντος (χρήματα (2)) εἰκῇ βαλεῖν ἢ λόγον· καὶ τὸ ἡττᾶσθαι τ' ἀληθῆ λέγοντα, ἢ νικᾶν ἀπατῶντα· τὸ γὰρ νικῶσαν ἀπάτη, ἐν τῷ ἤθει ἥττηται· μάρτυρες δὲ κακῶν ψευδεῖς λόγων· ἀδύνατον τὸν αὐτὸν φιλόθεόν τε εἶναι καὶ φιλήδονον καὶ φιλοσώματον· ὁ γὰρ φιλήδονος καὶ φιλοσώματος, πάντως καὶ φιλοχρήματος· ὁ δὲ φιλοχρήματος, ἐξ ἀνάγκης ἄδικος· ὁ δὲ ἄδικος, καὶ εἰς θεὸν καὶ εἰς πατέρας ἀνόσιος καὶ

animo vero ipsi subserviat corporea figura, quantum fieri potest, pura puro. Secus corpus ab illius passionibus inquinatum, in ipsum animum piacula retorquebit.

14. Pio autem animo piaeque menti in puro corpore consentiant opera et sermo. Quippe tibi optabilius est opes temere proiicere quam sermonem: vinci vera dicentem, quam vincere alios fallentem. Nam qui fraude vincit, moribus deterior fit. Falsus sermo testis rei malae. Fieri nequit ut idem Deum amet et voluptatem atque corpus. Nam voluptatis corporisque amator, idem utique est pecuniae cupidus: hic autem necessario iniustus: iniustus vero, et in Deum et in parentes impius est, et in reliquos omnes peccat: adeo ut, etiamsi hecatombas im-

(1) Cod. θεοφιλῆ.

(2) Spatiolum in codice relictum explevi vocabulo χρήματα. Praecipiebat sane Pythagoras, teste in eius vita Porphyrio pythagoreo sect. 39. παρακαθήκην μὴ χρημάτων μόνον, ἀλλὰ καὶ λόγων φυλάσσειν: *non solum pecuniarum sed et sermonum depositum esse servandum.*

εἰς τοὺς ἄλλους παράνομος· ὥστε κἂν ἑκατόμβας θύῃ, καὶ μυρίοις ἀναθήμασι τοὺς νεὼς ἀγάλλῃ, ἀσεβὴς ἐστὶ καὶ ἄθεος καὶ τῇ προαιρέσει ἱερόσυλος· διὸ καὶ πάντα φιλοσώματον ὡς ἄθεον καὶ μιαρὸν ἐκτρέπεσθαι χρή.

ιε. Καὶ οὗ ταῖς δόξαις οὐκ ἂν χρήσαιο, τούτῳ μήτε βίου μήτε λόγου τοῦ περὶ θεὸν κοινώνει· λόγον γὰρ θεοῦ τοῖς ὑπὸ δόξης διεφθαρμένοις λέγειν, οὐκ ἀσφαλές· καὶ γὰρ καὶ τἀληθῆ λέγειν ἐπὶ τούτων περὶ θεοῦ καὶ τὰ ψευδῆ, κίνδυνον ἴσον φέρει· οὔτε αὖ τέ τινα προσῆκεν ἀνοσίων ἔργων μὴ καθαρεύοντα φθέγγεσθαι περὶ θεοῦ, οὔτε εἰς τοιούτων ἀκοὰς ἐμβάλλοντα τὸν περὶ θεοῦ λόγον οἴεσθαι μὴ μιαίνειν· ἀλλ' ἀκροᾶσθαι καὶ λέγειν τὸν περὶ θεοῦ λόγον ὡς ἐπὶ θεοῦ· προηγείσθω οὖν τοῦ περὶ θεοῦ λόγου τὰ θεοφιλῆ ἔργα, καὶ σιγάσθω ὁ περὶ αὐτοῦ λόγος ἐπὶ πλήθους (1)·

molet innumerisque donis templa exornet, impius nihilominus sit et irreligiosus et impurus et mente sacrilegus. Quare omnis homo voluptati corporis deditus, ceu irreligiosus et impurus vitandus est.

15. Iam quorum dogmatibus uti nolis, eos neque ad convictum adhibebis, neque sermone de divinis rebus imperties. De his enim rebus cum iis loqui qui falsa opinione corrupti sunt, haud tutum est. Nam sive vera sive falsa de Deo apud hos narres, aeque periculosum est. Neque rursus decet sceleribus inquinatum de Deo loqui, neque non videtur pollui eiusmodi sermo in impiorum aures demissus: sed prorsus oportet, sermonem de Deo et dici et audiri digne Deo. Praecedant igitur divinum sermonem

(1) Id nimirum inter praecepta Pythagorae recenset ipse Porphyrius in illius vita sect. 42. θεῶν εἰκόνας ἐν δακτυλίοις μὴ φο-

©BIU Santé



ἀνοικειοτάτη γὰρ θεολογία κενοδοξία ψυχῆς· νόμιζε αἱρετώτερον εἶναι σιγᾶν ἢ λόγον εἰκῇ προέσθαι περὶ θεοῦ· ἀξίαν σε ποιήσει θεοῦ τὸ μηδὲν ἀνάξιον θεοῦ μήτε λέγειν μήτε πράττειν, μήτε πάντη (1) εἰδέναι ἀξιοῦν· ὁ δὲ ἄξιος ἄνθρωπος θεοῦ, θεὸς ἂν εἴη.

ιϛ. Καὶ τιμήσεις μὲν ἄριστα τὸν θεὸν ὅταν τῷ θεῷ τὴν σαυτῆς διάνοιαν ὁμοιώσεις· ἡ δὲ ὁμοίωσις ἔσται διὰ μόνης ἀρετῆς (2)· μόνη γὰρ ἀρετὴ τὴν ψυχὴν ἄνω ἕλκει, καὶ πρὸς τὸ συγγενές· καὶ μέγα οὐδὲν ἄλλο μετὰ θεόν, ἢ ἀρετή· μείζων ἀρετῆς θεός· θεὸς δὲ ἄνθρωπον βεβαιοῖ· πράξεων κακῶς δαίμων ἡγεμών· ψυχὴ οὖν πονηρὰ φεύγει μὲν θεόν, πρόνοιαν δὲ θεοῦ εἶναι οὐ βούλεται, νόμου τε τοῦ θείου πάντα φαῦ-

pia opera, neque in publica concione de Deo sermo sit. Nullum enim theologiae cum animae vanitate commercium. Existima melius esse silere, quam temerarium sermonem de Deo effutire. Digna Deo efficieris, si nihil Deo indignum loquaris vel facias, vel omnino scire volueris. Dignus autem Deo homo, Deus ipse quodammodo est.

16. Certe Deum vel maximo honore adficies, cum mentem tuam ad Dei imaginem finges. Fit autem haec similitudo unius ope virtutis: sola enim virtus animam erigit ad cognatam sibi naturam. Nihil post Deum grande est, praeter virtutem. Maior autem virtute Deus. Corroborat Deus hominem qui rectis operibus studet: malorum autem operum malus genius dux. Malus animus Deum fugit,

---

ρεῖν· τουτέστι, τὴν περὶ θεῶν δόξαν καὶ λόγον μὴ πρόχειρον μηδὲ φανερὸν ἔχειν, μηδ' εἰς πολλοὺς φέρειν.

(1) Codex videtur habere πάντα.

(2) Eadem fere sententia legitur apud Porphyrium de abstinentia III. sect. 26.

λον κολάζοντος ἀποστατοῖ (1) παντός· ψυχὴ δὲ σοφοῦ ἁρμόζεται πρὸς θεὸν, ἀεὶ θεὸν ὁρᾷ, σύνεστιν ἀεὶ θεῷ (2)· εἰ δὲ χαίρει τῷ ἀρχομένῳ τὸ ἄρχον, καὶ θεὸς σοφοῦ κήδεται καὶ προνοεῖ· καὶ διὰ τοῦτο μακάριος ὁ σοφὸς, ὅτι ἐπιτροπεύεται ὑπὸ θεοῦ· οὐχ ἡ γλῶττα τοῦ σοφοῦ τίμιον παρὰ θεῷ, ἀλλὰ τὰ ἔργα· σοφὸς γὰρ ἀνὴρ καὶ σιγῶν τὸν θεὸν τιμᾷ· ἄνθρωπος δὲ ἀμαθὴς καὶ εὐχόμενος καὶ θύων μιαίνει τὸ θεῖον· μόνος οὖν ἱερεὺς ὁ σοφὸς (3), μόνος θεοφιλὴς, μόνος εἰδὼς εὔξασθαι.

providentiamque eiusdem esse nollet, divinam denique legem cuiusvis improbitatis vindicem prorsus reiicit. Animus sapientis ad Deum semet conformat, semperque Deum spectat, cumque eodem versatur. Quod si subdito dominus gaudet, Deus quoque sapientis curam gerit, eidemque consulit. Hinc sapiens beatus fit, quoniam in tutela Dei est. Neque lingua sapientis accepta est Deo, sed opera: sapiens enim homo, etiamsi sileat, Deum honorat: stultus contra et precans et sacrificans Deum incestat. Solus ergo sapiens sacerdotio fungitur, solus pius est, solus precandi peritus.

---

(1) Ita codex ἀποστατοῖ.

(2) Hinc ea quae de Plotini suique adeo ipsius nescio qua ecstasi incredibiliter narrat Porphyrius prope finem vitae Plotini. Ἀεί σπεύδων (Πλωτῖνος) πρός τό θειον, οὗ διά πάσης τῆς ψυχῆς ἦρα, ὅτι τε πάντ' ἐποίει, ἀπαλλαγῆναι πικρόν κῦμ', ἐξυπαλύξαι τοῦ αἱμοβότου τῇδε βίου· οὕτως δὲ μάλιστα τούτῳ τῷ δαιμονίῳ φωτὶ πολλάκις ἐνάγοντι ἑαυτόν εἰς τό πρῶτον καὶ ἐπέκεινα θεόν ταῖς ἐννοίαις καὶ κατά τάς ἐν τῷ συμποσίῳ ὑφηγημένας ὁδούς τῷ Πλάτωνι, ἐφάνη ἐκεῖνος ὁ μήτε μορφήν, μήτέ τινα ἰδέαν ἔχων, ὑπὲρ δὲ νοῦν καὶ πᾶν νοητόν ἱδρυμένος· ᾧ δὴ καὶ ἐγὼ ὁ Πορφύριος ἅπαξ λέγω πλησιάσαι καὶ ἑνωθῆναι, ἔτος ἄγων ἑξηκοστόν τε καὶ ὄγδοον.

(3) Sensu potius stoico haec dicuntur quam vero ac naturali.

ιζ. Καὶ ὁ σοφίαν ἀσκῶν, ἐπιστήμην ἀσκεῖ τὴν περὶ θεοῦ· οὐ λιτανεύων ἀεὶ ϗ θύων, διὰ δὲ τῶν ἔργων τὴν πρὸς θεὸν ἀσκῶν εὐσέβειαν (1)· θεῷ γὰρ εὐάρεστος οὔτε δόξαις ἀνθρώπων οὔτε σοφιστῶν κεναῖς φωναῖς γένοιτ' ἄν τις· αὐτὸς δὲ ἑαυτὸν ϗ εὐάρεστον ποιεῖ θεῷ ϗ ἐκθεοῖ τῇ τε ἰδίας διαθέσεως ὁμοιότητι τῷ μετὰ ἀφθαρσίας μακαρίῳ· καὶ αὐτὸς ἑαυτὸν εὐσεβῆ ϗ δυσάρεστον ποιεῖ τῷ θεῷ· οὐχ ὑπὸ θεοῦ πάσχων κακῶς (ἀγαθοποιὸν γὰρ μόνον τὸ θεῖον) ἀλλ' ὑφ' ἑαυτοῦ διά τε ἄλλα ϗ τὴν περὶ θεοῦ κακὴν δόξαν. Ἀσε-

17. Qui sapientiam profitetur, idem Dei scientiam profitetur; non adsiduis precibus atque hostiis, sed operibus veram in Deum pietatem exserens. Deo quippe gratus nemo fiet propter vel hominum aestimationem vel sophistarum vanas voces. Ipse utique homo semet Deo gratum reddit, immo se Deum quodammodo facit, dum mores suos conformat ad incorruptibiliter beatum. Ipse, inquam, homo pium se itemque improbum adversus Deum constituit. Neque is a Deo aliquando vexatur (beneficus enim semper Deus) sed ipse sibi nocet, praesertim ob falsas de Deo

---

Ita fere sacerdos dictus fuit Porphyrius a suo praeceptore Plotino, ut ipse narrat in eius vita: *ἐμοῦ ἐν πλατωνείοις ποίημα ἀναγνόντος τὸν ἱερὸν γάμον, καί τινος διὰ τὸ μυστικῶς πολλὰ μετ' ἐνθουσιασμοῦ ἐπικεκρυμμένως εἰρῆσθαι, εἰπόντος μαίνεσθαι τὸν Πορφύριον, ἐκεῖνος εἰς ἐπήκοον ἔφη πάντων, ἔδειξας ὁμοῦ καὶ τὸν ποιητὴν καὶ τὸν φιλόσοφον καὶ τὸν ἱεροφάντην.*

(1) Augustinus de civ. D. XIX. 23. haec refert Porphyrii verba: *Deus quidem utpote omnium pater, nullius indiget: sed nobis est bene, cum eum per iustitiam et castitatem aliasque virtutes adoramus, ipsam vitam precem ad ipsum facientes per imitationem et inquisitionem de ipso. Inquisitio enim purgat, inquit; imitatio deificat affectionem ad ipsum operando.*

βὴς οὐχ οὕτως ὁ τὰ ἀγάλματα τῶν θεῶν μὴ περιέπων, ὡς ὁ τὰς τῶν πολλῶν δόξας τῷ θεῷ συνάπτων· σὺ δὲ μηδὲν ἄξιον ποτὲ ὑπολάβῃς περὶ θεοῦ μήτε τῆς μακαριότητος αὐτοῦ μήτε τῆς ἀφθαρσίας.

ιη. Οὗτος γὰρ μέγιστος καρπὸς εὐσεβείας τιμᾶν τὸ θεῖον καὶ τὰ πάτρια· οὐχ ὡς ἐκείνου προσδεομένου, ἀλλ' ἀπὸ τῆς ἐκείνου εὐλαβεστάτης καὶ μακαρίας σεμνότητος εἰς τὸ σέβας αὐτοῦ ἐκκαλουμένου· βωμοὶ δὲ θεοῦ ἱερουργούμενοι μὲν οὐδὲν βλάπτουσι, ἀμελούμενοι δὲ οὐδὲν ὠφελοῦσι· ὅστις δὲ τιμᾷ τὸν θεὸν ὡς προσδεόμενον, οὗτος λέληθεν ἑαυτὸν δοξάζων τοῦ θεοῦ κρείττονα εἶναι· οὐ χολωθέντες οὖν οἱ θεοὶ βλάπτουσι, ἀλλ' ἀγνοηθέντες· ὀργὴ γὰρ θεῶν ἀλλοτρία (1)· ὅτι ἐπ' ἀβουλήτοις μὲν ἡ ὀργή, θεῷ δὲ οὐδὲν ἀβούλητον· μὴ τοίνυν μίαινε τὸ

opiniones. Neque tam impius est qui deorum simulacra non colit, quam qui multorum commenta Deo affingit. Tu vero nihil umquam Deo satis dignum esse existimes, neque eius beatitate, neque incorruptione.

18. Fructus pietatis maximus Deum observare et patria instituta. Deus re quidem nulla eget, verum eius reverendissima et beata dignitas ad eiusdem cultum invitat. Arae porro Dei, si iis operemur, non nocent; si negligantur, non prosunt. Qui igitur Deum colit, quasi is cultu egeret, hic (etsi imprudens) videtur quodammodo existimare Deo se esse meliorem. Dii igitur non nocent irati sed ignorati. Ira a deorum naturâ aliena est: ira enim in inconsideratum cadit, nihil autem incosideratum Deus habet. Ne itaque Deum polluas hominum erroribus: neque enim

(1) Stoice haec et alia Porphyrius ethnicus. Ceteroquin legesis Lactantium de ira Dei.

θεῖον ἀνθρωπίναις ψευδοδοξίαις· οὔτε γὰρ ἐκεῖνο βλάψεις τό γε μακάριον διὰ παντὸς, καὶ οὗ πᾶσα βλάβη τῆς ἀφθαρσίας ἐξελήλαται, σαυτὴν δὲ τυφλώσσεις πρὸς τὴν τῶν μεγίστων καὶ κυριωτάτων διάγνωσιν.

ιθ. Οὐδὲ ταῦτα λέγειν με ἡγοῦ παραγγέλλοντα σέβειν θεόν· γελοῖος γὰρ ὁ τοῦτο παραγγέλλων, ὡς ἐπιδιστάζειν ἐνόντος περὶ τούτου· καὶ οὐχ ὅτι τινὰ ποιοῦντες ἢ δοξάζοντες περὶ θεοῦ, καλῶς τούτοις (1) σέβομεν· οὔτε δάκρυα καὶ ἱκετεῖαι θεὸν ἐπιστρέφουσι (2), οὔτε θυηπόλια θεὸν τιμῶσιν, οὔτε ἀναθημάτων πλῆθος κοσμοῦσι θεὸν, ἀλλὰ τὸ ἔνθεον φρόνημα καλῶς ἐφ' ἕδρας μένον (3) συνάπτεται θεῷ· χωρεῖν γὰρ ἀνάγκη τὸ ὅμοιον πρὸς τὸ ὅμοιον· θυηπόλια δὲ ἀφρόνων πυρὸς τροφὴ, καὶ τὰ παρὰ τούτων ἀναθήματα ἱεροσύ-

Deo nocebis qui beatus est in perpetuum, quumque sit incorruptibilis nulli iniuriae obnoxius est; te ipsam vero excaecabis, quominus maximarum potissimarumque rerum notitiam consequaris.

19. Neque haec a me propterea dici putes, quia ad Dei cultum cohortari velim: ridiculum enim facit qui id monet, quasi in dubium revocari possit. Neque si certis ritibus utimur atque opinionibus erga Deum, idcirco hunc bene colimus. Lacrymae ac supplicationes Deum non commovent, victimae Deum non honorant, donariorum cumulus Deum non exornat: verum divinitus instincta mens et bene constituta cum Deo coniungitur. Necesse enim est ut similia inter se iungantur. Victimae insipientium ignis pabulum sunt, et horum donaria sacrilegos poenae obno-

---

(1) Cod. τούτους.

(2) Stoice, ut dixi, loquitur ethnicus Porphyrius.

(3) Cod. ἡδρασμένον.

λοις χορηγία τῶν εἰς κόλασιν (1). Σοὶ δὲ, ὥσπερ εἴρηται, νεὼς μὲν ἔστω τοῦ θεοῦ ὁ ἐν σοὶ νοῦς· παρασκευαστέον δὲ αὐτὸν καὶ κοσμητέον εἰς καταδοχὴν τοῦ θεοῦ ἐπιτήδειον· μηδὲ ἐφήμερος ὁ κόσμος ἔστω καὶ τὰ τῆς παραδοχῆς, καὶ πάλιν γέλωτες καὶ ἀφροσύναι καὶ τὸ χώρημα τοῦ πονηροῦ δαίμονος.

κ. Ἐὰν οὖν ἀεὶ μνημονεύῃς, ὅτι ὅπου ἂν ἡ ψυχή σου περιπατῇ, καὶ τὸ σῶμα ἐνεργὸν ἀποτελῇ, θεὸς παρέστη μὲν ἔφορος ἐν πάσαις σου ταῖς βουλαῖς καὶ ταῖς πράξεσιν, αἰδεσθήσῃ μὲν τοῦ θεωροῦ τὸ ἄληστον, ἕξεις δὲ τὸν θεὸν σύνοικον· κἂν τὸ στόμα οὖν σου πρόφασίν τινα πράγματος ἄλλου τοῦ διαλέγεται, μετὰ τῆς γνώμης τὸ φρόνημα τετράφθω πρὸς τὸν θεόν· οὕτως γάρ σοι καὶ ὁ λόγος ἔνθεος ἔσται διὰ φωτὸς τοῦ θεοῦ τῆς ἀληθείας λαμπρυνόμενος καὶ ῥᾷον προχωρῶν· θεοῦ γὰρ γνῶσις ποιεῖ βραχὺν λόγον.

xios faciunt. Tibi ergo, ut diximus, Dei templum tua mens esto, quae quidem ita instruenda atque adornanda est, ut Dei idoneum sit receptaculum: neque eiusdem temporalis sit apparatus, et tamquam hospitium, ita ut rursus ridicula et stulta sequantur et mali genii habitatio.

20. Si igitur semper memineris, ubicumque animus tuus versabitur corpusque ipsum operosum reddet, ibi Deum adesse praesentem cogitationibus omnibus atque actionibus tuis; revereberis sane scrutatorem, cuius oblivisci non est fas, Deumque habebis familiarem. Quod si os tuum quavis de causa quidvis aliud loquatur, cum mente ipsa cogitatio quoque ad Deum convertatur. Sic enim tibi et sermo numine plenus erit, atque luce divinae veritatis coruscus fluidiorque manans. Dei quippe cognitio expeditum facit sermonem.

(1) Cod. εἰκίλασιν.

©BIU Santé



κα. Ὅπου δ' ἂν λήθη παρεισέλθη θεοῦ, τὸν κακὸν δαίμονα ἀνάγκη ἐνοικεῖν· χώρημα γὰρ ἡ ψυχὴ, ὥσπερ μεμάθηκας, ἢ θεῶν ἢ δαιμόνων (1)· καὶ θεῶν μετὰ συνόντων, πράξει τὰ ἀγαθὰ καὶ διὰ τῶν λόγων καὶ διὰ τῶν ἔργων· ὑποδεξαμένη δὲ ψυχὴ τὸν κακὸν σύνοικον, διὰ πονηρίας πάντα ἐνεργεῖ. Ὅταν οὖν ἴδῃς ἄνθρωπον τοῖς κακοῖς χαίροντα καὶ δρῶντα, γίνωσκε τοῦτον ἠρνῆσθαι μὲν τὸν θεὸν ἐν τῇ γνώμῃ, πονηροῦ δὲ δαίμονος ὄντα ἐνδιαίτημα· θεὸν οἱ μὲν εἶναι νομίζοντες καὶ διοικεῖν ἅπαντα, τοῦτο γέρας ἐκτήσαντο διὰ τῆς γνώσεως καὶ τῆς βεβαίας πίστεως, τὸ μεμαθηκέναι ὅτι ὑπὸ θεοῦ προνοεῖται πάντα, καὶ εἰσὶν ἄγγελοι (2) θεῖοί τε καὶ ἀγαθοὶ

21. Quô Dei oblivio irrepserit, illic malum daemonem habitare necesse est. Habitaculum quippe est anima, ut didicisti, deorum aut daemonum. Iam dii si inhabitent, bene utetur sermone et opere: sin eadem malum conturbernalem exceperit, improbe omnia faciet. Quum igitur hominem videris malo gaudentem idemque facientem, hunc scias negasse Deum mente, atque mali daemonis factum esse domicilium. Qui Deum esse existimant atque omnia moderari, hoc praemium referunt cognitio-

(1) Hoc videlicet pertinet ad doctrinam theurgicam, de qua plures libros Porphyrium scripsisse exploratum est. Ait vero Augustinus de civ. D. X. 9. *Porphyrius animam dicit per quasdam consecrationes theurgicas, quas teletas vocant, idoneam fieri atque aptam susceptioni spirituum et angelorum et ad videndos deos.* Quin de theurgica Porphyrii doctrina conferatur idem Augustinus eodem in libro capp. 9. 10. 11. 23. 24. 26. 27. 28. 29. 30. 32.

(2) De angelis sermonem fuisse in scriptis Porphyrii, testis est Augustinus de civ. D. X. 26. *Nescio quomodo (quantum mihi videtur) amicis suis theurgis erubescebat Porphyrius. Nam ista utcumque sapiebat, sed contra multorum deorum cultum non li-*



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 401 sur 544

©BIU Santé



δαίμονες (1) ἐπόπται τῶν πραττομένων, οὓς καὶ λαθεῖν ἀμήχανον· καὶ δὴ τοῦτο οὕτως ἔχειν πεπεισμένοι, φυλάττονται μὲν μὴ διαπίπτειν τοῖς κατὰ τὸν βίον, πρὸ ὄψεως ἔχοντες τὴν τῶν θεῶν ἀναπόδραστον ἐφόρασιν· εὐγνώμονα δὲ βίον κτησάμενοι μανθάνουσι θεοὺς, γινώσκονταί τε γινωσκομένοις θεοῖς.

κβ. Οἱ δὲ μήτε εἶναι θεοὺς πιστεύσαντες, μήτε προνοίᾳ θεοῦ διοικεῖσθαι τὰ ὅλα, δίκης κόλασιν πεπόνθασι τὸ μήτε ἑαυτοῖς πιστεύειν μήθ᾽ ἑτέροις ὅτι θεοὶ καὶ εἰσὶ καὶ οὐκ ἀλόγῳ

nis suae firmaeque fidei, quod videlicet sciunt et omnia a Deo prospici, et esse angelos caelestes bonosque genios, eorum quae fiunt observatores, quos latere nequimus. Quae ita se habere credentes, cavent ne in vita labantur, proposita sibi inevitabili deorum praesentia. Bonam autem vitam ingressi, |deorum natura quae sit discunt: noscunt ipsi deos, iidemque a cognitis diis cognoscuntur.|

22. Qui autem neque deos esse credunt neque Dei providentia omnia gubernari, hanc poenam a divina iustitia

---

*bere defendebat. Et angelos quippe alios esse dicit, qui deorsum descendentes hominibus theurgicis divina pronuntient; alios autem qui in terris ea quae patris sunt, et altitudinem eius profunditatemque declarent. Num igitur hos angelos quorum ministerium est declarare voluntatem patris, credendum est velle nos subdi, nisi ei cuius nobis annuntiant voluntatem? Unde optime admonet etiam ipse platonicus, imitandos eos potius quam invocandos . . . Iam distinxisti angelos qui ad theurgos homines, nescio qua deducti arte descendunt* etc. Legatur etiam ocus Porphyrii apud Eusebium praep. ev. IX. 3. et praecedentis paginae nota recolatur.

(1) Idem Augustinus de civ. D. X. 9. ait: *quamquam discernat* (Porphyrius) *a daemonibus angelos, aëria esse loca daemonum, aetheria vel empyrea disserens angelorum* etc.

φορᾷ διοικεῖται τὰ πάντα· εἰς κίνδυνον οὖν ἄφατον ἑαυτοὺς ἐμβαλόντες, ἀλόγῳ ὁρμῇ καὶ εὐδιαπτώτῳ τοῖς κατὰ τὸν βίον ἐπιτίθενται, καὶ πάντα δρῶσιν ἃ μὴ θέμις, ἀναιρεῖν πειρώμενοι τὴν περὶ θεοὺς ὑπόληψιν· καὶ δὴ τούτους μὲν ἀγνοίας ἕνεκα καὶ ἀπιστίας θεοὶ διαφεύγουσιν· αὐτοὺς δὲ θεοὺς καὶ τὴν ὀπαδὸν τῶν θεῶν δίκην οὔτε φεύγειν οὔτε λαθεῖν δύνανται· βίον δὲ κακοδαίμονα καὶ πλανήτην ἑλόμενοι, ἀγνοοῦντες θεοὺς γινώσκονται θεοῖς καὶ τῇ δίκῃ τῇ παρὰ θεῶν.

κγ. Κἂν θεοὺς τιμᾶν οἴονται καὶ πεπεῖσθαι εἶναι θεοὺς, ἀρετῆς δὲ ἀμελῶσι καὶ σοφίας, ἤρνηνται θεοὺς καὶ ἀτιμάζουσιν· οὔτε γὰρ ἄλογος πίστις, δίχα τοῦ ὀρθῶς, ἐπιτυχὴς θεοῦ· οὔτε μὴν τὸ τιμᾶν θεοσεβὲς, ἄνευ τοῦ μεμαθηκέναι ὅτῳ τρόπῳ χαίρει τὸ θεῖον τιμώμενον· εἰ μὲν γὰρ προχοαῖς ἢ θυηλαῖς τερπόμενον πείθεται, οὐκ ἂν εἴη δίκαιον τῷ τὴν ἴσην πάν-

referunt, ut nec ipsi sibi credant nec item aliis, deos nempe esse neque insano impetu omnia rapi. Igitur in summum periculum semet coniicientes, furioso cursu lubricoque vitam agitant, omniaque iniusta perpetrant, dum opinionem quod dii sint tollere student. Atque hos utique propter inscitiam et incredulitatem dii deserunt: verum ut ipsi impii deos deorumque comitem vindicemque iustitiam vitent aut lateant, fieri non potest Quare vitam ingressi miseram et vagam, ipsi quidem deos ignorant, verum iidem non ignorantur a diis et a divina iustitia.

23. Quod si et deos se honorare putent, et eosdem esse credant, virtutem tamen negligant et sapientiam; hi deos reapse negant atque dehonestant. Neque enim fatua fides sine recta ratione Deum adsequitur: neque cultus pius est, nisi scias qua ratione Deus coli se gaudeat. Si enim is libationibus aut primitiis delectaretur atque moveretur,

τας ἀμοιβὴν αἰτεῖν, μὴ τὴν ἴσην λαχόντας τύχην (1)· εἰ δὲ τούτων οὐδὲν ἧττον, μόνῳ δὲ ἥδεται τῷ καθαρεύειν τὴν διάνοιαν, ὃ δὴ δυνατὸν ἐκ προαιρέσεως παντί τῳ προσεῖναι, πῶς οὐκ ἂν εἴη δίκαιον; εἰ δὲ ἐξ ἀμφοῖν τὸ θεῖον θεραπευόμενον ἥδεται, ἱερείοις μὲν κατὰ δύναμιν, διανοίᾳ δὲ ὑπὲρ δύναμιν αὐτὸ τιμητέον· εὔχεσθαι θεῷ οὐ κακὸν, ὡς τὸ ἀχαριστεῖν πονηρότατον.

κδ. Κακῶν ἀνθρώπῳ οὐδεὶς θεὸς αἴτιος (2), ἀλλὰ αὐτὸς αυτῷ ὁ ἑλόμενος· εὐχὴ ἡ μὲν μετὰ φαύλων ἔργων ἀκάθαρτος, καὶ διὰ τοῦτο απρόσδεκτος ὑπὸ θεοῦ· ἡ δὲ μετὰ καλῶν ἔργων καθαρά τε ὁμοῦ καὶ εὐπρόσδεκτος· τέσσαρα στοιχεῖα μάλιστα κεκρατύνθω περὶ θεοῦ, πίστις, ἀλήθεια,

haud aequus esset, quia parem ab omnibus remunerationem posceret, qui tamen haud pari fortuna uterentur. Quod si nihil minus quam haec Deus respicit, solaque mentis puritate delectatur, quam quidem cuique licet habere, dummodo velit, nonne ipse aequus est? Quod si utraque re Deus coli se gaudet, sacrificiis quidem pro viribus, mente autem etiam supra vires honorandus est. Sane precibus Deum onerare non est improbandum; verum enimvero ingratum animum erga eum gerere, id demum iniquissimum est.

24. Nullus Deus causa malorum est homini, sed ipse sibi mala consciscit homo. Preces cum pravis operibus impurae sunt, atque idcirco a Deo reiiciendae. Secus quae bonis operibus stipantur, eae purae sunt et porro admit-

---

(1) Futile hoc esse argumentum, nemo non videt.

(2) Recole huius operis porphyriani cap. XVII. Iam eamdem sententiam recitat Porphyrius de abstinentia III. 26.

ἔρως, ἐλπίς· πιστεῦσαι γὰρ δεῖ, ὅτι μόνη σωτηρία ἡ πρὸς τὸν θεὸν ἐπιστροφή· καὶ σπουδάσαντα ὡς ἔνι μάλιστα σπουδάσαι τἀληθῆ γνῶναι περὶ αὐτοῦ· καὶ γνόντα ἐρασθῆναι τοῦ γνωσθέντος· ἐρασθέντα δὲ, ἐλπίσιν ἀγαθαῖς τρέφειν τὴν ψυχὴν περὶ τοῦ βίου· ἐλπίσι γὰρ ἀγαθαῖς οἱ ἀγαθοὶ τῶν φαύλων ὑπερέχουσι· στοιχεῖα μὲν οὖν ταῦτα καὶ τοσαῦτα κεκρατύνθω.

κε. Τρεῖς δὲ νόμοι διακεκρίσθωσαν οἵδε· εἷς μὲν ὁ τοῦ θεοῦ, ἕτερος δὲ ὁ τῆς θνητῆς φύσεως, τρίτος δὲ ὁ θετὸς κατ' ἔθνη καὶ πόλεις· ὁ μὲν οὖν τῆς φύσεως ἀφορίζων τὰ μέτρα τῶν χρειῶν τοῦ σώματος καὶ τὸ ἐν ταύταις δεικνὺς ἀναγκαῖον, τὸ μάτην καὶ ἐκπεριττοῦ σπουδαζόμενον ἐλέγχει· ὁ δὲ θετός τε καὶ κατ' ἔθνη διατεταγμένος, κατὰ συνθήκην τὴν πρὸς ἀλ-

tendae. Quatuor cardines maxime in religione statuantur, fides veritas amor spes. Credere enim oportet, salutem non aliter adquiri quam per conversionem ad Deum: curandum deinde est, ut, quantum licet, vera de ipso sentiamus: cognitus porro Deus amandus est: post amorem sequitur ut bona spe vitam alamus. Bona enim spe boni malos vincunt. Hi ergo tanti momenti cardines firmi habeantur.

25. Iam leges tres distinguantur, prior divina, altera naturae mortalis, tertia civilis per gentes urbesque. Lex naturalis definit modum eorum quae corpori usui sunt: docet quid in his necessarium; rursus aliud supervacaneum frustraque adpetitum coarguit. Civilis lex atque inter gentes sancita firmat ex composito mutuam hominum socie-

(1) Haec a Christianis sine dubio sumit Porphyrius, quorum doctrinis in adulescentia fuit imbutus; etsi postea Christum sceleste deseruit.

©BIU Santé



λήλους κρατύνει κοινωνίαν διὰ τῆς πρὸς τὰ τεθέντα ὁμολογίας· ὁ δ' αὖ θεῖος ὑπὸ μὲν τοῦ νοῦ σωτηρίας ἕνεκα ταῖς λογικαῖς ψυχαῖς κατὰ τὰς ἐννοίας διετάχθη· δι' ἀληθείας δὲ τῆς ἐν αὐταῖς γεγραμμένος (1) εὑρίσκεται· παραβαίνεται δὲ ὁ μὲν τῆς φύσεως κεναῖς δόξαις ἀγνοηθεὶς ὑπὸ τῶν τῇ ἀγαφιλοσωματίᾳ προσκειμένων σώματι· ὑπερβαίνεται δὲ καταφρονούμενος ὑπὸ τῶν ὑπεράνω γινομένων τοῦ σώματος καὶ διὰ τὸ σῶμα· ὁ δὲ θετὸς καιρῷ μὲν ὑποτάττεται, ἄλλοτε ἀλλοίως γραφόμενος, κατὰ τὸ βίαιον τῆς τοῦ κρατοῦντος δυναστείας· εἰς κόλασιν δὲ ἀπάγει τὸν ἁλόντα· οὔτε τοῦ λαθόντος οὔτε τῆς προαιρέσεως ἐφικέσθαι δυνάμενος ἑκάστου.

κϛ΄. Ὁ δέ γε θεῖος ἀγνοεῖται μὲν ψυχῇ δι' ἀφροσύνην καὶ ἀκολασίαν ἀκαθάρτῳ, ἐκλάμπει δὲ δι' ἀπαθείας καὶ φρονήσεως· καὶ οὔτε ὑπερβῆναι τοῦτον (2) δυνατόν· οὐδὲν

tatem dum fidem statutorum conservat. Divina denique lex sub ipsa mente salutis causa rationalibus animis in intelligentia defixa est: apparet autem eorum quae ab ipsis cum veritate fiunt certis indiciis. Violatur naturae lex, vanas ob opiniones ignorata, ab iis qui nimium corpori indulgent voluptatis causa. Proculcatur contemptim ab iis qui ultra corporis naturam, corporis tamen causa, peccant. Civilis paret temporibus aliter aliâs temperata, propter violentiam eius qui potestatem exercet: damnato poenam statuit, neque secreta neque mentis propositum coarguere potest.

26. Lex divina latet animam vesania incontinentiaque inquinatam, fulget autem in quiete animi atque pruden-

(1) Cod. πεπραμμένος.
(2) Cod. τούτων.

©BIU Santé



γὰρ τούτου ὑπεράνω ἀνθρώπῳ· οὔτ' αὐτοῦ καταφρονῆσαι· οὐ γὰρ ἐκλάμψαι αὐτὸν οἷόν τε ἐν τῷ καταφρονεῖν αὐτοῦ μέλλοντι· οὔτε τύχαις καιρῶν τρέπεται, ὅτι κρεῖττον ἦν τῆς τύχης, καὶ πάσης βίας πολυτρόπου ἰσχυρότερος· νοῦς δὲ αὐτὸν μόνος γινώσκει, μεταλλεύων αὐτοῦ τὴν ἔρευναν, καὶ τετυπωμένον (1) ἐν αὐτῷ ἐξευρίσκει, τροφήν τε ἀπ' αὐτοῦ πορίζει τῇ ὥσπερ σώματι αὐτοῦ ψυχῇ· ὡς (2) γὰρ σῶμα ψυχὴν λογικὴν θετέον, ἣν τρέφει ὁ νοῦς, τὰς ἐν αὐτῇ ἐννοίας, ἃς ἐνετύπωσε καὶ ἐνεχάραξεν ἐκ τοῦ τοῦ θείου νόμου ἀληθείας, εἰς ἀναγνώρισιν ἄγων διὰ τοῦ παρ' αὐτῷ φωτός· καὶ διδάσκαλος αὐτὸς γινόμενος καὶ σωτὴρ καὶ τροφεὺς καὶ φύλαξ καὶ ἀναγωγός, μετὰ σιγῆς μὲν φθεγγόμενος τὴν ἀλήθειαν, τὸν δὲ θεῖον αὐτῆς ἐξελίττων νόμον διδοὺς διὰ τὸ εἰς αὐτὸν

tia. Neque licet nobis eam excedere: nihil enim est in homine hac altius. Neque rursus contemni potest: quippe ipsa numquam affulgebit ei a quo spernenda sit. Neque eadem temporum vicibus circumagitur: excedit enim fortunam, omnique vi versatili fortior est. Sola mens divinam legem dispicit investigatione diligenti utens, impressamque in se deprehendit, eamdemque inventam alimoniae loco suppeditat animae, quae menti vice corporis ferme fungitur. Etenim instar corporis existimanda est rationalis anima, quam mens alit, dum illius ideas, divinae legis veritate ibidem impressas atque insculptas, lucis suae ope ad clariorem notitiam educit. Est quippe mens magistra salutaris, nutrix, custos, dux, cum silentio quidem loquens veritatem, sed tamen divinam legem evol-

(1) Cod. τετυμένον.
(2) Cod. οὐ.

ἐμβλέψεως ἐν ταῖς εἰς αὐτὸν ἐπιβολαῖς ἐν αὐτῇ τετυπωμένον ἐξ ἀϊδίου ἐπιγινώσκει.

κζ. Καταγοητέον οὖν πρῶτον σοι τὸν τῆς φύσεως νόμον· ἀπὸ δὲ τούτου ἀναβατέον ἐπὶ τὸν θεῖον, ὃς καὶ τὸν τῆς φύσεως διέταξε νόμον· ἀφ' ὧν ὁρμωμένη οὐδαμοῦ εὐλαβήσῃ τὸν ἔγγραφον· οἱ γὰρ ἔγγραφοι νόμοι χάριν τῶν μετρίων κεῖνται, οὐχ ὅπως μὴ ἀδικῶσιν, ἀλλ' ὅπως μὴ ἀδικῶνται· ὁ τῆς φύσεως πλοῦτος ἀληθῶς φιλόσοφος ὥρισται καὶ ἔστιν εὐπόριστος· ὁ δὲ τῶν κενῶν δοξῶν, ἀόριστός καὶ δυσπόριστος· ὁ οὖν τῇ φύσει κατακολουθῶν καὶ μὴ ταῖς κεναῖς δόξαις, ἐν πᾶσιν αὐτάρκης· πρὸς γὰρ τὸ τῇ φύσει ἀρκοῦν, πᾶσα κτῆσις ἐστὶ πλούτου· πρὸς δὲ τὰς ἀορίστους ὀρέξεις, καὶ ὁ μέγιστος πλοῦτος ἐστὶ (πενίας (1))· οὐ σπάνιον γε εὑρεῖν ἄνθρωπον

vens, videlicet ipsa eius contemplatione. Mens enim dum se ipsa considerat, legem divinam ab aeterno impressam in anima intelligit.

27. Consideranda tibi est igitur in primis naturalis lex: mox ad divinam conscendendum, ex qua naturalis ipsa manavit. Harum inhaerens vestigiis scriptam nihil timebis. Civilis lex modestorum hominum in gratiam statuta est; nimirum non ut ne laedant, sed ne laedantur. Naturales divitiae iure meritoque philosophicae definiuntur, ultroque parabiles sunt: quae autem in vanis opinionibus nituntur, indefinitae sunt aegreque parabiles. Igitur ei qui non vanis opinionibus sed naturae obtemperat, quaevis semper sufficiunt: nam cuicuimodi opes ad id, quod naturae satis est, lautae sunt; infinitas cupiditates ne ma-

(1) Videbatur supplendum πενίας, quae vox respondebat superiori πλούτου.

πρὸς τὸ τῆς φύσεως τέλος πλούσιον, καὶ (1) πρὸς τὰς κενὰς δόξας (πένητα (2))· οὐδεὶς γὰρ τῶν ἀφρόνων οἷς ἔχει ἀρκεῖται, μᾶλλον δὲ οἷς οὐκ ἔχει ὀδυνᾶται· ὥσπερ οὖν οἱ πυρέσσοντες διὰ κακοήθειαν τῆς (νόσου (3)) ἀεὶ διψῶσι, καὶ τῶν ἐναντιωτάτων ἐπιθυμοῦσι, οὕτω καὶ οἱ τὴν ψυχὴν κακῶς ἔχοντες διακειμένην πένονται πάντων ἀεὶ, καὶ εἰς πολυτρόπους ἐπιθυμίας ὑπὸ λαιμαργίας ἐμπίπτουσιν.

κη. Ἁγνεύειν οὖν καὶ οἱ θεοὶ δι᾽ ἀποχῆς βρωμάτων καὶ ἀφροδισίων προσέταξαν, εἰς τὸ τῆς φύσεως, ἣν αὐτοὶ συνέστησαν, ἐπάγοντες βούλημα τοὺς εὐσεβείας μετιόντας· ὡς ἂν παντὸς τοῦ παρὰ τὸ βούλημα πλεονάζοντος μιαροῦ καὶ θανασίμου· φοβούμενος γὰρ ὁ πολὺς τὸ λιτὸν τῆς διαίτης διὰ τὸν θεὸν, ἐπὶ

ximae quidem opes explent. Haud raro occurrunt homines ad desideria naturae divites, ad supervacaneas cupiditates vacui. Nemo enim stultus iis quae habet contentus est; quin potius ob ea, quibus caret, cruciatur. Itaque veluti qui febri sunt correpti, pravo morbi ingenio, semper sitiunt, et adversissima quaeque adpetunt; ita et qui animo laborant, semper egent, atque in multiplices cupiditates gulae causa incidunt.

28. Quare et dii iusserunt, ut se homines expiarent abstinentia cibi reique venereae: atque intra naturae, quam ipsi condiderunt, votum cohibent eos qui pietatem sectantur: ita ut quicquid praeter naturae votum est, scelestum sit et exitiosum. Multi interim victus parsimoniam a Deo praestitutam aspernantes, ad opera convertuntur quibus

(1) Cod. καὶ πλούσιον pro πλούσιον, καί.

(2) Videbatur supplendum πένητα.

(3) Spatiolum in codice relictum explevi voce νόσου.

πράξεις πορεύεται τὰς μάλιστα πλοῦτον (1) παρασκευαζούσας· καὶ πολλοὶ τοῦ πλούτου τυχόντες, οὐ τὴν ἀπαλλαγὴν τῶν κακῶν εὗρον, ἀλλὰ μεταβολὴν μειζόνων· διὸ φασὶν οἱ φιλόσοφοι, οὐδὲν οὕτως ἀναγκαῖον, ὡς τὸ γινώσκειν καλῶς τὸ μὴ ἀναγκαῖον· πλουσιωτάτην δὲ εἶναι πάντων τὴν αὐτάρκειαν, καὶ σεμνὸν τὸ μηδενὸς δεῖσθαι λαμβάνονται· διὸ καὶ μελετᾷν παρακελεύονται οὐχ ὅπως τὶ ποριστέον ἀναγκαῖον, ἀλλὰ πῶς μᾶλλον θαῤῥήσομεν, μὴ ποριςθέντος.

κθ. Μηδὲ αἰτιώμεθα τὴν σάρκα ὡς τῶν μεγάλων κακῶν αἰτίαν, μηδ' εἰς τὰ πράγματα τρέπωμεν τὰς δυσφορίας· ἐν δὲ τῇ ψυχῇ τὰς τούτων αἰτίας μᾶλλον ζητῶμεν, καὶ ἀποῤῥήξαντες πᾶσαν ματαίαν τῶν ἐφημέρων ὄρεξιν καὶ ἐλπίδα, ὅλοι γενώμεθα ἑαυτῶν· ἢ γὰρ διὰ φόβον τὶς κακοδαιμονεῖ, ἢ

praecipue parantur opes. Tum plures divitiis potiti, haud medelam malorum invenerunt, sed in peiora delapsi sunt. Idcirco aiunt philosophi nihil esse tam necessarium, quam probe cognoscere quid non sit necessarium; ditissimum omnium esse eum qui iis quae habet contentus est: et nullius egere, praeclarum. Ideo et considerandum monent, non ut quo pacto aliquid necessarium acquiramus, sed quo pacto potius alacriter ea re carere possimus.

29. Neque carnem incusemus ceu malorum ingentium causam, neque in ipsa negotia impatientiae culpam coniiciamus: verum in anima potius horum causas quaeramus, abscissaque stulta omni quotidianarum voluptatum cupidine atque spe, absolutum nostri arbitrium obtineamus. Omnis enim infelicitas aut timore aliquo accidit, aut in-

(1) Cod. τοῦτον.

©BIU Santé

δι' ἀόριστον καὶ κενὴν ἐπιθυμίαν· ἃ τις χαλινῶν δύναται τὸν μακάριον ἑαυτῷ περιποιῆσαι λογισμόν· ἐφ' ὅσον δ' ἂν ἀμηχανῇς, λήθῃ τῆς φύσεως ἀμηχανεῖς· αὐτὴ (1) γὰρ ἀορίστους φόβους καὶ ἐπιθυμίας προσβάλλεις· κρεῖσσον δέ σοι θαῤῥεῖν ἐπὶ στιβάδος κατακειμένῃ, ἢ ταράττεσθαι χρυσῆν ἐχούσῃ κλίνην καὶ πολυτελῆ τράπεζαν ἐξ ἐργασίας θρηνώδους· οὐσίας μὲν πλῆθος σωρεύεται, βίος δὲ ταλαίπωρος συνίσταται.

λ. Ἀφυσιολόγητον μηδὲν ἡγοῦ βοώσης τῆς σαρκὸς βοᾶν τὴν ψυχήν· σαρκὸς δὲ φωνὴ μὴ πεινῆν, μὴ διψῆν, μὴ ῥιγοῦν (2)· καὶ ταῦτα τὴν ψυχὴν χαλεπὸν μὲν κωλῦσαι· ἐπισφαλὲς δὲ παρακοῦσαι τῆς παραγγειλάσης φύσεως αὐτῇ, διὰ τῆς προσφυοῦς αὐτῇ αὐταρκείας καθημέραν· καὶ τὰ περὶ τῆς ψυχῆς

finita aliqua et vana cupiditate: quae siquis cohibeat, beatam sibi mentem comparare potest. Quamdiu autem fluctuas, oblivione scilicet naturae fluctuas, tibique ipsa innumeros timores et concupiscentias affundis. Melius autem tibi est sine curis esse in toro gramineo, quam aestuare in aureo lecto, pretiosaeve mensae accumbere non sine aerumnoso labore comparatae. Dum cumulus divitiarum aggeritur, vita infelix comparatur.

30. Alienum a natura ne reputes, clamante carne, clamare et animam. Carnis vox, ne esuriat, ne sitiat, ne algeat. Atque haec cohiberi quidem ab anima difficile est: laboriosum item imperanti naturae virtutem quotidianae temperantiae opponere: eamdemque naturam docere, ne vitam in maximis reponat: itemque ut, cum bene rem geremus, rem male gestam pati discamus: sin vero res

(1) Cod αὐτόν.
(2) Haec ipsa verba Epicuri sunt in eius reliquiis.

©BIU Santé

μικρότερα διδάσκειν νομίζειν· καὶ εὐτυχοῦντας δὲ γινώσκειν ἀτυχεῖν, δυστυχοῦντας δὲ μὴ περὶ μέγα τίθεσθαι, ὧν τὸ εὐτυχεῖν· καὶ δέχεσθαι μὲν ἀθορύβως τὰ παρὰ τῆς τύχης ἀγαθά· παρατετάχθαι δὲ πρὸς τὰ παρ' αὐτῆς δοκοῦντα εἶναι κακά· καὶ ὡς ἐφήμερον ἡγεῖσθαι πᾶν τὸ τῶν πολλῶν ἀγαθόν ἐστι.

λα. Σοφία δὲ καὶ ἐπιστήμη οὐδαμῶς τύχης κοινωνεῖ· οὐκ ἀπορεῖν τούτων πόνος ἐστὶν, ἀλλὰ φέρειν μᾶλλον τὸν ἀνώνητον ἐκ τῶν κενοδόξων πόνον· ἔρωτι γὰρ φιλοσοφίας ἀληθινῆς πᾶσα ταραχώδης καὶ ἐπίπονος ἐπιθυμία ἐκλύεται· κενὸς ἐκείνου φιλοσόφου λόγος ὑφ' οὗ μηδὲν πάθος ἀνθρώπου θεραπεύεται· ὥσπερ γὰρ ἰατρικῆς οὐδὲν ὄφελος μὴ τὰς νόσους τῶν σωμάτων θεραπεύειν (1), οὕτως οὐδὲ φιλοσοφίας, εἰ μὴ τὸ τῆς ψυχῆς ἐκβάλλει πάθος· ταῦτα μὲν οὖν καὶ τα πρὸς τούτοις ὅμοια ὁ τῆς φύσεως παραγγέλλει νόμος.

non bene eveniat, ne plurimi faciamus felicitatem eorum quibus prospere res successit: fausta fortunae dona sedato animo excipiamus, rursusque adversum calamitates, quae ab ea immitti videntur, nosmet comparemus: atque breve reputemus id quod a plerisque bonum existimatur.

31. Sapientia contra et peritia nihil habet cum fortuna commune. Neque his rebus caducis carere operosum est, sed tolerare potius futilem vanae opinionis laborem. Amore quippe verae philosophiae omnis perturbata et laboriosa cupiditas solvitur. Vanus est ille sermo philosophi, quo nullus animi morbus curatur. Sicuti enim nulla est medicinae utilitas, nisi corporum tollat infirmitates, ita ne philosophiae quidem, nisi animi perturba-

(1) Ita codex, sed videtur dicendum εἰ μὴ etc. θεραπεύει.

λβ. Ὁ δὲ θεῖος ἐκβοᾷ ἐν καθαρῷ διανοίας τόμῳ· εἰ μὴ τὸ σῶμα οὕτω σοι συνηρτῆσθαι φυλάσσῃς, ὡς τοῖς ἐμβρύοις κυοφορουμένων τὸ χορίον, καὶ τῷ σίτῳ βλαστάνοντι τὴν καλάμην, οὐ γνώσῃ σεαυτήν· οὐδὲ γὰρ ἄλλος, ὅστις μὴ οὕτω δοξάζει, ἔγνω ἑαυτόν· ὥσπερ οὖν τὸ χορίον συγγενόμενον, καὶ ἡ καλάμη τοῦ σίτου, τριτωθέντα δὲ ῥίπτεται ἑκάτερα, οὕτω καὶ τὸ συναρτώμενον τῇ ψυχῇ παρείσῃ σῶμα (1)· οὐ μέρος ἀνθρώπου, ἀλλ' ἵνα μὲν ἐν γαστρὶ γένηται προσυφάνθη τὸ χορίον· ἵνα δὲ ἐπὶ γῆς γένηται, συνεζύγη τὸ σῶμα· ὅσῳ τὶς τέτραπται πρὸς τὸ θνητὸν, τοσούτῳ τὴν ἑαυτοῦ γνώμην ἀσύμμετρον παρασκευάζει πρὸς τὸ τῆς ἀφθαρσίας μέγεθος· καὶ ὅσῳ τῆς τοῦ σώματος προσπαθείας ἀφίσταται, τοσούτῳ μέτρῳ τῷ θείῳ πελάζει (2). Ὁ συνετὸς ἀνὴρ καὶ θεο-

tiones expellat. Haec igitur et alia huiusmodi a naturae lege praecipiuntur.

32. Lex vero divina clamat in pura mentis parte, nisi corpus ita tibi connexum memineris, ut gravidarum foetibus membrana iuncta est, triticoque germinanti stipula, te ipsam non nosces. Neque enim quisquam, nisi hac sit sententia, se ipsum novit. Sicuti igitur membranae involucrum et triticea stipula, discissa abiiciuntur; ita copulatum animae corpus abiicietur. Non sunt secundinae pars corporis, sed conceptionum gratia cum utero connectuntur: ut autem in terra versetur homo, corpori copulatus est. Quo magis aliquis ad mortale devergit, eo vehementius mentem suam ineptam efficit ad incorruptionis dignitatem: et quantum a corporis adfectionibus semet

(1) Conferenda omnino Porphyrii sententia XXXIV.
(2) Recole superius cap. X. cum notis.

©BIU Santé



φιλὴς ὅσα οἱ ἄλλοι μοχθοῦσι τοῦ σώματος ἕνεκα, τοσαῦτα ὑπὲρ τῆς ψυχῆς σπουδάζεται πονήσας· οὐ τὸ μεμνῆσθαι ὧν ἤκουσεν αὔταρκες εἶναι νομίζων, τὸ δὲ ἀνατρέχειν εἰς ἃ δεῖ δι' ὧν ἤκουσεν μελετῶν.

λγ. Γυμνὸς δὲ ἀποσταλεὶς, γυμνητεύων καλέσει τὸν πέμψαντα· μόνου γὰρ τοῦ μὴ τοῖς ἀλλοτρίοις πεφορτισμένου ἐπήκοος ὁ θεὸς, καὶ τῶν καθαρῶν τῆς φθορᾶς ὑπερκείμενος· μέγα ἡγοῦ σοι ἐφόδιον εἰς βίον μακάριον τὸ δεδεμένον ἐν φύσει δῆσαι τὸν δήσαντα· ἐδέθημεν γὰρ φύσεως δεσμοῖς οἷς ἡμᾶς περιέβαλε, κοιλίᾳ, μορίοις, λαιμῷ, τοῖς ἄλλοις μέρεσι τοῦ σώματος, καὶ ταῖς δι' αὐτῶν χρήσεσι καὶ ἡδυπαθείαις καὶ τοῖς ὑπὲρ τούτων φόβοις (1)· ἐὰν οὖν τούτων τῆς γοητείας ὑπεράνω γενώμεθα, καὶ τῆς ἐπιβουλῆς φυλαξώμεθα τὴν πα-

submovet, tantum ad Deum accedit. Vir sapiens et pius quam alii curam corpori impendunt, ipse in animi cultum insumit: neque est contentus meminisse quae audivit, verum ad implendum officium, prout audivit, festinat.

33. Nudus in orbem missus, nudus mittentem invocet. Eum quippe tantummodo Deus audit, qui alienis non est gravatus, eique consulit qui corruptione purus est. Grande tibi puta esse adminiculum ad beatam vitam si in serva natura alligantem alligaveris. Alligati videlicet sumus naturae vinculis, ventre, iis quae sub ventre sunt, gula etiam, aliisque corporis membris, eorumque usibus et voluptatibus, et horum causa, quibusdam timoribus. Quod si horum praestigiis superiores fiamus, insidiarumque laqueum vitemus, alligantem utique alligamus. Ne igi-

(1) De humanae naturae alligationibus loquuntur item Porphyrii sententiae VII. et VIII.

BIU Santé



γίδα, ἐδήσαμεν τὸν δήσαντα· μήτε οὖν εἴτε ἄῤῥεν εἶ, μήτε εἰ θήλεια τὸ σῶμα, πολυπραγμόνει, μηδὲ γυναῖκα ἴδης σαυτὴν, ὅτι μηδ' ἐγώ σοι ὡς τοιαύτῃ προσέσχον (1)· φεῦγε τῆς ψυχῆς πᾶν τὸ θηλυνόμενον, ὡς εἰ καὶ ἄῤῥενος εἶχες τὸ σῶμα περικείμενον· ἐκ παρθένου γὰρ ψυχῆς καὶ ἠϊθέου νοῦ τικτόμενα, μακαριώτατα· ἐξ ἀδιαφθόρων γὰρ τὰ ἄφθορα· ἃ δὲ τίκτει τὸ σῶμα, μιαρὸν πᾶσι τοῖς θεοῖς ἐνομίσθη.

λδ'. Μεγάλη οὖν παιδεία ἄρχειν τοῦ σώματος· πολλάκις κόπτουσι τινὰ μέρη (2)· ἐπὶ σωτηρίας τῆς ψυχῆς ἕτοιμος ἔσο τὸ ὅλον σῶμα ἀποκόπτειν· ὧν γὰρ ἕνεκα ζῆν ἐθέλεις, καὶ ἀπο-

tur magnopere cures masculum ne an femineum tibi corpus sit, neque te mulierem existimes: quoniam ne ego quidem ad te ceu talem accessi. Fuge quicquid in anima femineum sapit, non secus atque si masculum corpus tibi esset circumpositum. Quae enim generantur ex anima virgine excelsaque mente, beatissima sunt. Quippe ex incorruptibilibus incorruptibilia nascuntur: quae autem e corpore gignuntur, omnibus diis immunda sunt.

34. Grandis sapientia est imperare corpori. Multi corporis membrum aliquod valetudinis studio abscindunt; tu vero propter animi salutem totum corpus a te abscindere parata esto. Cuius enim causa vivere vis, eiusdem

---

(1) Recole cap. I. Ait autem in vita Porphyrii Bruckerus (hist. philosoph. T. II. part. 1. p. 248—249.) *Coniugii opus his hominibus ob grave in materiam corpusque odium, valde erat invisum, ut supra de Plotino quoque observavimus, et plura eius rei exempla adhuc in historia huius sectae* (electicae) *occurrent.* Recte praeterea idem Bruckerus monet conferendum esse Damascium apud Photium cod. CCXLII. (p. 1038.)

(2) In margine scriptum videtur ἐναρα.

©BIU Santé



θανεῖν μὴ κατόκνει· ἡγείσθω τοίνυν πάσης ὁρμῆς ὁ λόγος ἐξορίζων τοὺς δεινοὺς δεσπότας καὶ ἀθέους ἀφ᾽ ἡμῶν· ὅτι καὶ χαλεπώτερον δουλεύειν πάθεσιν ἢ τυράννοις· ἀδύνατον δ᾽ εἶναι ἐλεύθερον τὸν ὑπὸ παθῶν κρατούμενον· ὅσα γὰρ πάθη ψυχῆς, τοσοῦτοι καὶ ὠμοὶ δεσπόται.

λε. Οἰκέτας πειρῶ μὴ ἀδικεῖν, μηδὲ ὀργιζομένη κολάζῃς· κολάζειν δὲ μέλλουσα πεῖθε πρότερον ὅτι ἐπὶ συμφέρον τι κολάζεις, διδοῦσα αὐτοῖς καιρὸν ἀπολογίας· παραιτοῦ εἰς τὴν κτῆσιν τοὺς αὐθάδεις· τὰ γὰρ πολλὰ ἄσκει αὐτουργεῖν· λιτὸν γὰρ καὶ εὔπορον αὐτουργία (1)· καὶ δεῖ ἑκάστῳ τῶν μερῶν πρὸς ὃ ἡ φύσις κατεκέρασε χρῆσθαι τοῖς ἀνθρώποις, τῆς φύσεως ἄλλου μὴ δεόμενον· τοῖς γὰρ μὴ χρωμένοις τοῖς ἰδίοις, καταχρωμένοις δὲ τοῖς ἄλλοις, διπλοῦν τὸ φορτίον καὶ πρὸς τὴν δεδομένην τὰ μέρη φύσιν ἀχάριστον·

item causa ne mori graveris. Dux igitur cuiusvis actionis ratio sit, acres impiosque dominos a nobis repellens. Sane molestius est servire cupiditatibus, quam tyrannis: neque liber esse potest qui sui animi motibus obnoxius est: quot enim cupidines, tot saevi domini sunt.

35. In servos ne iniuria sis, neque irata in eos animavertas: quod si aliquando es punitura, fac primum sentiant se non sine utilitate puniri, neque tempus dicendae causae neges. Arrogantes ne coëmas. Multa tu ipsa per te facias; breve enim et expeditum est quod hoc pacto fit. Oportet insuper membris uti ad id, cuius causa hominibus eadem a natura compacta sunt. Neque aliquid a natura alienum exigendum est: qui enim propriis non utuntur, alienis autem abutuntur, bis peccant, at-

(1) Cod. αὐτουργίας.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 416 sur 544

ψιλῆς δὲ ἕνεκα ἡδονῆς μηδέποτε χρήσῃ τοῖς μέρεσι· πολλῷ γὰρ κρεῖττον τεθνάναι, ἢ δι' ἀκρασίαν τὴν ψυχὴν ἀμαυρῶσαι (1) . . . κακίαν ἐνδιορθουμένη τῆς φύσεως . . . οἷα δὲ οἰκέταις κοινωνοῦντα τιμῆς μεταδίδου τοῖς βελτίοσιν· οὐκ ἔσθ' ὅπως γὰρ οὖν ἄνθρωπον ἀδικοῦντα σέβειν θεόν· ἀλλὰ κρηπὶς εὐσεβείας σοι νομιζέσθω ἡ φιλανθρωπία· καὶ . . .

que in naturam membrorum parentem ingrati sunt. Solius voluptatis causa membris ne utaris: multo enim melius est mori, quam incontinentia animum obscurare . . . vitium naturae corrigens . . . Si quid servis das, meliorem honore praefer. Prorsus fieri nequit, ut iniustus homo Deum colat: sed fundamentum pietatis existimetur erga homines caritas. Et . . . .

*Reliqua desiderantur.*

(1) Haec et altera subsequens, breves lacunae sunt. Post ultimam tamen lacunam quanta pars libelli desideretur, nemo potest divinare.

©BIU Santé



# ΦΙΛΩΝΟΣ

## ΠΕΡΙ ΚΑΡΤΑΛΛΟΥ ΕΟΡΤΗΣ.

α. Ταῦτα ἐπὶ πλέον ἐμήκυνα διὰ τὴν ἱερὰν ἑβδόμην, ἐπιδεῖξασθαι βουλόμενος, ὅτι πάσας τὰς ἐτησίους ἑορτὰς συμβέβηκεν ὡς ἂν ἀπογόνους ἑβδομάδος εἶναι, μητρὸς λόγον ἐχούσης (1) . . . ἀφροσύναι καὶ εὐφροσύναι· καὶ διότι ἐν πανηγύρεσι καὶ ἱλαρῷ βίῳ τέρψεις ἀμέτοχοι συννοίας καὶ κατηφείας

# PHILONIS

## DE COPHINI FESTO.

1. HAEC ego prolixius sacri septenarii causa persecutus sum, quia ostendere avebam, cunctas annuas sollemnitates quamdam esse progeniem septenarii, qui patris munere fungitur ··· insani simul sanique affectus. Ideoque in celebrioribus conventibus vitaque hilari recreationes cura omni tristitiaque vacuae corpus confirmant, animasque extollunt, partim delicato victu, partim religionis exercitio.

(1) Huc usque locus extabat in londinensi Philonis editione anni MDCCXLII. T. II. p. 298. Sequitur autem ibidem tractatus contra moechos atque homicidas: ἦν ποτε χρόνος ὅτε φιλοσοφία etc. Porro quicquid heic a me editur, id in codice florentino inter praedictos editionis londinensis locos insertum est. Et quidem post ἐχούσης statim additur, nullo apposito lacunae indicio, εὐφροσύναι etc. Sed reapse locum hiare nemo non sentit.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 418 sur 544

BIU Santé



συνίστανται σῶμα (1), καὶ ψυχὰς ἀνασχοῦσαι, τὰς μὲν τῷ ἀβροδιαίτῳ, τας δὲ τῷ φιλοσοφεῖν (2).

β. Ἔστι δέ τις παρὰ ταῦτα ἑορτὴ μὲν θεοῦ, ἑορτῆς δὲ πανήγυρις, ἣν καλοῦσι κάρταλλον (3) ἀπὸ τοῦ συμβεβηκότος, ὡς μικρὸν ὕστερον ἀποδείξομεν· τὸ μὲν οὖν μὴ ἑορτῆς ἔχειν ἀξίωμα καὶ τάξιν, δῆλον ἐκ πολλῶν· οὔτε γὰρ τοῦ ἔθνους ἐστὶν ἀπάνδημος, οἷαι τῶν ἄλλων ἑκάστη· οὔτε τι τῶν προσαγομένων ἢ προσφερομένων ἐπὶ τὸν βωμὸν καθαγιάζεται, παρα-

2. Est autem, praeter haec, Dei quoddam sacrum, in eoque conventus, quem cophinum vocitant, ob eam quam mox dicturus sum causam. Iam hoc sacrum ad sollemniorum dierum dignitatem et ordinem non pertinere, multa declarant. Neque enim celebratur totius gentis concursu, quod in ceteris usuvenit; neque oblata munera in altari cremantur, perpetuo sacroque igni tra-

---

(1) Ita codex. Sed omnino legendum videtur συνίστανται, σῶμα καὶ ψυχὰς ἀνασχοῦσαι· τὸ μὲν τῷ [ἀβροδιαίτῳ, τὰς δὲ τῷ φιλοσοφεῖν: *festorum dierum recreationes curas tristitiamque pellunt, et corpora simul animosque sublevant, illa quidem delicato victu, hos autem religionis exercitio.*

(2) Locum illustrant similes Philonis sententiae: ταύτης ἕνεκα τῆς αἰτίας ὁ πάντα μέγας Μωσῆς ἐδικαίωσε τοὺς ἐγγραφέντας αὐτοῦ τῇ ἱερᾷ πολιτείᾳ, θεσμοῖς φύσεως ἑπομένους πανηγυρίζειν, ἐν ἱλαρίναις διάγοντας εὐθυμίαις κ. τ. λ. σχολάζοντας μόνῳ τῷ φιλοσοφεῖν. Item: παράδειγμα καὶ τοῦ δεῖν φιλοσοφεῖν, ἡ ἑβδόμη, καθ' ἣν ἐπιδεῖν λέγεται ἃ εἰργάσατο, ὅπως καὶ αὐτὸς ἐπιθεωρῇς τὰ φύσεως καὶ τὰ ἴδια ὅσα συντείνει πρὸς εὐδαιμονίαν.

(3) Cod. heic (et inferius καρτάλους) cum unica λ. Vide autem de haec caerimonia deuteronomium XXVI, et Philonem libro de humanitate T. II. p. 391. v. 15.



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 419 sur 544

©BIU Santé



διδόμενον τῷ ἀσβέστῳ πυρὶ καὶ ἱερῷ· οὔθ' ἡμερῶν ἀριθμὸς ὃν χρὴ ἑορτάζειν εἴρηται.

γ. Τὸ δὲ ἑορτῶδη τύπον ἔχειν καὶ ἐγγὺς ἑστιάσεως πανηγυρικῆς ἀδείας, εὐμαρῶς κατίδοι τις ἄν· ἕκαστος γὰρ τῶν ἀγροὺς καὶ κτήσεις ἐχόντων ἀφ' ἑκάστου τῶν ἀκροδρύων εἴδους ἀγγεῖα πληρώσας, καθάπερ ἔφην, ἃ προσηγορεύουσι καρτάλλους, ἀπαρχὴν τῆς εὐκαρπίας εἰς τὸ ἱερὸν κομίζει γεγηθώς· καὶ στὰς ἀντικρὺ τοῦ βωμοῦ δίδωσι τῷ ἱερεῖ, τὸ πάγκαλον καὶ θαυμάσιον ᾆσμα διεξιών· εἰ δὲ μὴ τύχοι μεμνημένος, ἀκούων παρὰ τοῦ ἱερέως μετὰ προσοχῆς πάσης· ἔστι δὲ τοιόνδε ᾆσμα.

δ. Συρίαν ἀπέβαλλον οἱ ἀρχηγέται τοῦ γένους ἡμῶν (1), καὶ μετανέστησαν εἰς Αἴγυπτον· ὀλίγος ὄντες ἀριθμὸς ηὐξήθη-

dita; neque dierum numerus, quibus festum agitandum sit, definite indictus est.

3. Sed tamen hunc ritum sollemni ratione ac paene panegyrica hilaritate celebrari, facile quisque sentiet. Omnes enim, quibus agri praediaque sunt, ex quovis genere fructuum vasa cumulantes, quos cophinos ut dixi appellant, primum copiae fructum non sine gaudio ad templum advehunt, stantesque ante aram sacerdoti tradunt, pulcherrimum illum mirandumque hymnum dicentes: quem siquis forte memoria non teneat, cum religiosa attentione sacerdotem praeeuntem auscultat. Est autem hymnus huiusmodi.

4. Syria deserta nostri generis auctores in Aegyptum concesserunt. Ibi qui exigui numero erant, in magnitu-

(1) Notissimum est, Philonem lectionem τῶν LXX. passim sequi, quod heic quoque facit, quo in loco hebraica exemplaria paullo aliter se habent.

©BIU Santé



ῶν εἰς πλῆθος ἔθνους· οἱ ἀπόγονοι μύρια κακωθέντες ὑπὸ τῶν ἐγχωρίων, οὐδεμίας ἔτι φαινομένης ἐξ ἀνθρώπων ἐπικουρίας, ἐγένοντο θεοῦ ἱκέται, καταφυγόντες ἐπὶ τὴν ἐξ αὐτοῦ βοήθειαν· προσδεξάμενος τὴν ἱκεσίαν ὁ πᾶσι τοῖς ἀδικουμένοις εὐμενὴς, τοὺς μὲν ἐπιτιθεμένους κατέπληξε σημείοις καὶ τέρασι καὶ φάσμασι καὶ τοῖς ἄλλοις ὅσα κατ' ἐκεῖνον τὸν χρόνον ἐθαυματουργεῖτο· τοὺς δ' ἐπηρεαζομένους καὶ πάσας ὑπομένοντας ἐπιβουλὰς ἐῤῥύσατο, οὐ μόνον εἰς ἐλευθερίαν ἐξελόμενος, ἀλλὰ καὶ χώραν πάμφορον δούς· ἀπὸ τῶν ταύτης καρπῶν, εὐεργέτα, σοὶ φέρομεν τὴν ἀπαρχήν· εἰ δὲ θέμις εἰπεῖν ἔστι κομίζειν τὸν λαμβάνοντα· σαὶ γαρ, ὦ δέσποτα, χάριτες καὶ δωρεαὶ τὰ πάντα, ὧν ἀξιωθέντες ἀναβρυνόμεθα καὶ εὐφραινόμεθα τοῖς ἀπροσδοκήτοις ἀγαθοῖς (1), ἅπερ οὐκ ἐλπίσασιν ἡμῖν ἔδωκας.

dinem iusti populi excreverunt. Iidem parentes nostri miris modis ab incolis excruciati, quum a mortalibus nulla salutis spes affulgeret, Deum deprecati sunt, atque ad eius praesidium confugerunt. Quorum precibus Deus annuens, qui cunctis miseris solet esse benivolus, eos quidem, qui iniuriam inferebant, signis portentis spectris aliisque, quotquot eo tempore contigerunt, prodigiis conterruit; circumventos autem fraudibus iniustaque vi pressos non solum in libertatem vindicavit, verum etiam uberrima regione donavit: de cuius nunc fructibus ad te, qui beneficii auctor fuisti, primitias ferimus: si tamen is recte dicitur adferre qui accipit: haec enim omnia, Domine, tua munera donaque sunt, quibus nos ad-

(1) Cod. ἀγαθοῦ.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 421 sur 544

ε. Τὸ ἆσμα τοῦτο, σχεδὸν ἀπὸ θέρους ἐνισταμένου μέχρι μετοπώρου λήγοντος, ἀδιάστατον ὑφ' ἑτέρων καὶ ἑτέρων ᾄδεται δυσὶ καιροῖς, ὁλοκλήρῳ μέρει ἡμίσει τοῦ ἐνιαυτοῦ, διὰ τὸ μὴ πάντας ἀθρόους κατὰ ῥητὴν προθεσμίαν τὰ ὡραῖα δύνασθαι κομίζειν, ἀλλ' ἄλλοτε ἄλλους· ἔστι δ' ὅτε καὶ τοὺς αὐτοὺς ἀπὸ τῶν αὐτῶν χωρίων· ἐπειδὴ γὰρ τῶν καρπῶν οἱ μὲν θᾶττον, οἱ δὲ βραδύτερον πεπαίνονται· καὶ διὰ τὰς τῶν τόπων (1) διαφορὰς ἀλεεινοτέρων ἢ κρυμωδεστέρων ὄντων, καὶ διὰ μυρίας ἄλλας αἰτίας, εἰκότως ἀόριστός ἐστι καὶ ἀπερίγραφος ὁ χρόνος τῆς τῶν ἀκροδρύων ἀπαρχῆς, ἐπὶ μήκιστον ἐκτεινόμενος.

ϛ. Ἡ δὲ τούτων χρῆσις ἐπιτέτραπται τοῖς ἱερεῦσιν, ἐπεὶ τῆς

fecti, ingenti gaudio efferimur: ea quippe bona tribuisti quae spem omnem longe vicerunt.

5. Hic hymnus continenter modo ab his modo ab illis canitur ab ineunte ferme aestate usque ad autumni exitum, nempe dimidiam per anni partem: quandoquidem haud eodem tempore cuncti, quasi ad condictam diem, maturos fructus adferre queunt, verum alii alio tempore. Immo ne iis quidem, qui eandem regionem incolunt, ut eodem tempore conveniant, interdum accidit. Fructus enim partim cito partim sero maturescunt. Itaque et propter locorum diversas rationes, quorum alii tepidiores sunt, alii frigidiores, et propter alias sexcentas causas, merito cautum est ut primitiarum offerendarum tempus indefinitum sit nullisque limitibus clausum, praetereaque ut diu protrahatur.

6. Oblatorum usura munerum sacerdotibus concedi-

(1) Cod. τρόπων, quam lectionem prorsus non contemno.

©BIU Santé

μὲν ἀποτομῆς οὐκ ἔλαχον οὐδὲ προσοδευομένης κτήσεως (1)· κλῆροι δ' εἰσὶν αὐτοῖς αἱ παρὰ τοῦ ἔθνους ἀπαρχαὶ, ἀντὶ τῶν λειτουργιῶν ἃς μεθ' ἡμέραν καὶ νύκτωρ ὑπομένουσι. Τοσαῦτα μὲν περὶ ἑβδομάδος καὶ τῶν εἰς αὐτὴν ἀναφερομένων ἔν τε ἡμέραις καὶ μησὶ καὶ ἐνιαυτοῖς, καὶ περὶ ἑορτῶν αἳ συγγένειαν ἔχουσι πρὸς ἑβδομάδα διεξῆλθον, ἑπόμενος εἱρμῷ τῶν προκειμένων κεφαλαίων κατὰ τὴν ἐν λόγοις ἀκολουθίαν· ἐπισκέψομαι δὲ ἑξῆς τὸ ἑπόμενον ὃ περὶ γονέων ἀναγέγραπται τιμῆς.

tur, qui quidem quo tempore regio sorte divisa fuit, nullam eius partem acceperunt, omnique stabili reditu carent. Quorum loco primitiis a populo donantur, vicissim ipsi divino ministerio diu noctuque fungentes. De septenario, et de ritibus qui ad illum pertinent per dies et menses et annos, deque festis quae septenarium cognatione quadam attingunt, hactenus disputavi, secutus propositorum capitum seriem, prout ipsa sermonis ratio postulabat. Nunc consequens caput evolvam, quod nimirum inscribitur de honorandis parentibus.

(1) Codex, si bene memini, habet προσοδευομένας κτήσεις.

©BIU Santé



## ΦΙΛΩΝΟΣ

### ΠΕΡΙ ΓΟΝΕΩΝ ΤΙΜΗΣ. (1)

α. Τέτταρα εἴδη πρότερον ὑπειπὼν, ἃ καὶ τῇ τάξει καὶ τῇ δυνάμει πρῶτα ἦν ὡς ἀληθῶς, τό τε περὶ μοναρχίας ᾗ μοναρχεῖται ὁ κόσμος, καὶ τὸ περὶ τοῦ μηδὲν ἀπεικόνισμα καὶ μίμημα δημιουργεῖν Θεὸν, καὶ τὸ περὶ τοῦ μὴ ψευδορκεῖν ἢ συνόλως μάτην ὀμνῦναι, καὶ τὸ περὶ ἱερᾶς ἑβδόμης (2), ἅπερ σύμπαντα τείνει πρὸς εὐσέβειαν καὶ ὁσιότητα·

## PHILONIS

### DE HONORANDIS PARENTIBUS.

1. Quoniam de quatuor capitibus iam disserui, quae et ordine et vi priora reapse erant, nempe de regimine quo mundus administratur, deque nullo simulacro ad Dei similitudinem effingendo, et de non peierando sive omnino haud temere iurando, et de sacro septenario, quae omnia ad pietatem sanctimoniamque spectant; pergo

---

(1) De honorandis parentibus extat Simeonis logothetae oratiuncula in S. Basilii editione Garnerii T. III. Item tractatus inter spuria S. Hieronymi scripta.

(2) Septimum quemque diem apud Hebraeos festum fuisse, exploratissimum est; isque scilicet est sacer septenarius, de quo saepe prolixeque agit Philo in scriptis. Quin adeo sacri septenarii nomine omnia festa Hebraeorum interdum is designat. Vide initium philoniani libelli inscripti de septenario. De septenarii virtute Varro apud Gellium III. 10. Sed videsis omnino Hieronymum epist. XLVIII. 19, et Nazianzenum orat. de pentecoste ed. Aldi p. 244.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 424 sur 544

μέτειμι ἐπὶ τὸ πέμπτον τὸ περὶ γονέων τιμῆς, ὃ, καθάπερ ἐν τοῖς ἰδίᾳ περὶ αὐτοῦ λόγοις ἔδειξα (1), μεθόριον ἀνθρωπείων τε καὶ θείων· οἱ γὰρ γονεῖς (2) μεταξὺ θείας καὶ ἀνθρωπίνης φύσεως εἰσὶ, μετέχοντες ἀμφοῖν· ἀνθρωπίνης μὲν, ὡς ἔστι δῆλον, ὅτι καὶ γεγόνασι καὶ φθαρήσονται· θείας δ᾽ ὅτι γεγεννήκασι καὶ τὰ μὴ ὄντα εἰς τὸ εἶναι παρήγαγον· ὅπερ γὰρ (3) οἶμαι θεὸς πρὸς κόσμον, τοῦτο (4) πρὸς τέκνα γονεῖς· ἐπειδὴ ὡς ἐκεῖνος τῷ μὴ ὑπάρχοντι ὕπαρξιν κατειργάζατο, καὶ

nunc ad quintum, quod est de reverentia erga parentes, quodque, ut in peculiaribus de eo sermonibus ostendi, inter humana et divina medium est. Quippe parentes medii sunt inter divinam humanamque conditionem, et utramque contingunt: humanam quidem, quia et nati sunt et corruptione solventur; divinam autem, quia et genuerunt, et ea, quae non erant, ad naturam rerum existentium protraxerunt. Quantum igitur mihi videtur, eadem ratio est parentum cum liberis quae Dei cum mun-

---

(1) Nempe in tractatu de decem oraculis. Porro et alibi breviter hoc argumentum attingit Philo, nempe in sacrarum allegoriarum libro I. edit. londin. T. I. p. 63. v. 36. Et lib. III. p. 89. v. 21. Denique in tractatu, quisnam rerum divinarum sit heres p. 497. v. 8; qui loci cum hoc quem edimus tractatu valde congruunt.

(2) Ab his verbis οἱ γονεῖς usque ad τὸ γένος ἀθανατίζουσιν locus (utcumque brevis) extat in notis Mangeii T. II. p. 199. Porro hic idem locus citatur nominatim ex Philone in antiquissimo florilegio vaticano p. 124, ex quo ego Dionis Cassii fragmenta inedita protuli collect. vat. T. II. Unde iterum confirmatur Philoni auctori hic tractatus.

(3) Cod. vat. et Mang. καὶ ὅπερ οἶμαι.

(4) Ita cod. vat. et Mang. At cod. florent. οὕτως.

οὗτοι μιμούμενοι, καθ' ὅσον οἷόν τε, τὴν ἐκείνου δύναμιν, τὸ γένος ἀθανατίζουσιν.

β. Ἄξιοι δ' οὐ δι' αὐτὸ μόνον τιμῆς πατήρ τε καὶ μήτηρ, ἀλλὰ καὶ δι' ἕτερα πλείω· παρ' οἷς γὰρ λόγος ἀρετῆς ἐστὶ, πρεσβύτεροι νεωτέρων προκρίνονται, καὶ διδάσκαλοι γνωρίμων, καὶ εὐεργέται τῶν εὖ πεπονθότων, καὶ ἄρχοντες ὑπηκόων, καὶ δεσπόται δούλων· ἐν μὲν οὖν τῇ ἀμείνονι τάξει κρίνονται γονεῖς· πρεσβύτεροι γάρ εἰσι καὶ ὑφηγηταὶ καὶ εὐεργέται καὶ ἄρχοντες καὶ δεσπόται· ἐν δὲ τῇ ἐλάττονι υἱοὶ καὶ θυγατέρες· νεώτεροι γὰρ καὶ μαθηταὶ, καὶ εὖ πεπονθότες, ὑπήκοοι τε καὶ δοῦλοι· ὡς δ' οὐδὲν τούτων κατέψευσται, δῆλον μὲν ἐκ τῆς ἐνεργείας· αἱ δ' ἐκ λόγου πίστεις ἔτι μᾶλλον ἐπισφραγιοῦνται τὴν ἀλήθειαν.

γ. Λέγω τοίνυν ὅτι τὸ ποιοῦν τοῦ γινομένου, καὶ τὸ αἴτιον

do: nam sicuti Deus rem, quae non erat, esse iussit: ita et parentes imitantes, quoad licet, Dei vim, genus humanum immortale conservant.

2. Digni tamen honore sunt pater materque non ob id tantummodo, verum ob alia plura. Nam quicumque virtutis rationem habent, ii senioribus iuniores subiiciunt, magistris auditores, bene facientibus eos qui beneficiis utuntur, principibus subditos, heris denique servos. Iamvero in superiore ordine censentur parentes: nam et seniores sunt, et educatores, et benefici, et principali auctoritate praediti, et domini. In inferiore autem ordine filii merito collocantur: sunt enim iuniores, et disciputi, et beneficiis affecti et subditi et servi. Quod autem nihil horum falso dicatur, constat ex ipsa functione munerum: tum et argumenta, quae verbis fiunt, veritatem vehementius confirmabunt.

©BIU Santé

οὗπερ ἐστὶν αἴτιον, ἀεὶ πρεσβύτερον ἐστίν· οἱ δὲ γεννήσαντες αἴτιοι καὶ δημιουργοὶ τρόπον τινὰ τῶν γεννηθέντων εἰσί· καὶ οἱ μὲν ὑφηγητῶν ἔχουσι τάξιν, ὅσαπερ ἂν εἰδότες τυγχάνωσι τοὺς παῖδας ἐκ πρώτης ἀναδιδάξαντες ἡλικίας· καὶ οὐ μόνον τὰ περὶ τὸ ἐπίστημα ἀσκοῦσι καὶ γυμνάζουσιν ἐναποματτόμενοι λογισμοὺς ἀκμάζουσι παίδων, ἀλλὰ καὶ τὰ ἀναγκαιότατα τῶν πρὸς αἱρέσεις καὶ φυγὰς, αἱρέσεις μὲν ἀρετῶν (1), φυγὰς δὲ κακιῶν καὶ τῶν κατ' αὐτὸ ἐνεργειῶν.

δ. Εὐεργέται μέν τοι τινὲς ἂν εἶεν μᾶλλον, ἢ παίδων γονεῖς; οἳ καὶ μὴ ὄντας εἰργάσαντο, καὶ αὖθις τροφῆς ἠξίωσαν, καὶ μετὰ ταῦτα παιδείας τῆς κατά τε σῶμα καὶ ψυχήν· καὶ ἵνα μὴ μόνον ζῶσιν, ἀλλὰ καὶ εὖ ζῶσι, τὸ μὲν οὖν σῶμα διὰ

3. Aio igitur facientem numquam non esse antiquiorem facto, et causam effectu suo. Porro parentes causa quodammodo conditoresque natorum sunt. Sed et magistrorum vice funguntur: quicquid enim sciunt, filios a teneris docent unguiculis. Neque solum intelligentiam adulescentium erudiunt, mentemque excolendo conformant; sed quod praecipue necessarium est, quid appetendum sit ostendunt, quidve fugiendum; videlicet ut amplectantur virtutes fugiantque vitia, itemque actus qui ex his consequuntur.

4. Iam quinam magis benefici sunt, quam parentes erga liberos? qui et non existentes procreaverunt, et alimonia donaverunt, et deinde disciplina quam corpus et animus expetebant: denique curaverunt non solum ut

---

(1) Philo in tractatu, quisnam divin. rer. sit heres. T. I. p. 507. v. 10. etymologiam in his verbis acute videt: ἀρετὴ παρὰ τὴν αἵρεσιν ὠνομάσθη.

τῆς γυμναστικῆς καὶ ἀλειπτικῆς ὠφέλησαν εἰς εὐτονίαν τε καὶ εὐεξίαν, σχήσεις τε καὶ κινήσεις εὐμαρεῖς, οὐκ ἄνευ ῥυθμοῦ καὶ τοῦ πρέποντος· τὴν δὲ ψυχὴν διά τε γραμμάτων καὶ ἀριθμῶν, γεωμετρίας τε καὶ μουσικῆς καὶ τῆς συμπάσης φιλοσοφίας, ἣ τὸν νοῦν εἰσῳκισμένον θνητῷ σώματι μετέωρον αἴρουσα (1) παραπέμπει μέχρις οὐρανοῦ, καὶ τὰς ἐν αὐτῷ μακαρίας καὶ εὐδαίμονας φύσεις ἐπιδείκνυται, ζῆλον ἅμα καὶ πόθον ἐνεργαζομένη τῆς ἀτρέπτου καὶ ἐναρμονίου τάξεως, ἣν οὐδέποτε λείπουσι πειθόμενοι τῷ ταξιάρχῳ.

ε. Πρὸς δὲ ταῖς εὐεργεσίαις, καὶ τὴν ἐφ' οἷς ἐγέννησαν ἀρχὴν ἔλαβον, οὐχ ὥσπερ ἐν ταῖς πόλεσι κατὰ κλῆρον ἢ χειροτονίαν, ὡς αἰτιᾶσθαι δύνασθαι τὸν μὲν ὀλίσθῳ τύχης γενό-

vivant, verum etiam ut bene vivant. Corpus itaque gymnasticis palaestricisque exercitiis conformaverunt ad fortitudinem valetudinemque, et ad habitus motusque faciles, non sine numero et decoro. Animam autem imbuerunt litteris et arithmetica et geometria et musica atque omnigena philosophia, quae animum mortali corpore inclusum, sublimem in caelum evehit, eique felices ac beatas naturas, quae inibi sunt, ostendit; studium simul et cupiditatem iniiciens immutabilis temperatique ordinis, quem numquam ii deserunt qui ipsius ordinis principi obtemperant.

5. Praeter beneficia, dignitatem quoque, in qua quisque nascendo constitutus est, receperunt; non ut fit in civitatibus sorte vel suffragiis, ita ut queri liceat hunc

(1) De virtute seu philosophia, quae hominem tollit ad caelum, lege Philonem tract. quisnam divin. rer. sit heres. T. I. p. 478. v. 11, p. 507. v. 12.

©BIU Santé

μενον οὐ συλλογισμῷ, τὸν δὲ ὄχλου, πράγματος ἀνεξετάστου καὶ ἀνεπισκέπτου, φορᾷ· γνώμης δὲ ἀρίστης καὶ τελειοτάτης τῆς ἄνω φύσεως, ἣ καὶ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα σὺν δίκῃ πρυτανεύεται.

ϛ. Διὰ τοῦτ' ἔξεστι τοῖς πατράσι καὶ κατηγορεῖν πρὸς τοὺς παῖδας, καὶ ἐμβριθέστερον νουθετεῖν· καὶ εἰ μὴ ταῖς δι' ἀκοῶν ἀπειλαῖς ὑπείκωσι, τύπτειν καὶ προπηλακίζειν καὶ καταδεῖν· ἂν μέν τοι γε καὶ πρὸς ταῦτα ἀφηνιάζωσι τῇ ῥύμῃ τῆς ἀνιάτου μοχθηρίας ἀπαυχενίζοντες, ἐπέτρεψεν ὁ νόμος καὶ μέχρι θανάτου κολάζειν (1)· ἀλλ' οὐκέτι μόνῳ πατέρι ἢ μόνῃ μητέρι διὰ τὸ μέγεθος τῆς τιμωρίας, ἣν οὐκ ἄξιον ὑφ' ἑνὸς ἀλλ' ἀμφοῖν δικασθῆναι· συμφρονῆσαι γὰρ οὐκ εἰκὸς ἐπ' ἀναιρέσεως τοῦ παιδὸς ἑκάτερον τῶν γονέων, μὴ βαρυνόν-

electum non merito sed temerariae fortunae arbitrio, illum studio populi, qui semper improvide inconsiderateque ferri solet. Praesidet contra cuiusque natalibus mens optima et perfectissima, nempe superna natura, a qua divinae res et humanae iustissime administrantur.

v. 26. et 27. Summarium causae inscriptum in parte libelli exteriore, uti etiam nunc fit: nempe *Ptolemaei libellus adversus iniuriam atriensium mittitur a Stratego ad Menedemum ministrum suum, ut rei provideat.*

v. 27. Καλλυντῶν. Aestimo explicandum *atrienses*, quos fere nunc Romae dicimus *scopatori* (nisi malumus *ornatores*, quos Itali dicunt *addobbatori*, *paratori*, *festajoli.*) Ergo causa haec, vel potius querela, gereret fere, apud Romanos titulum *degli scopatori.*

©BIU Santé



# ΑΡΙΣΤΕΙΔΟΥ

## ΛΟΓΟΣ ΠΡΟΣ ΔΗΜΟΣΘΕΝΗ ΠΕΡΙ ΑΤΕΛΕΙΑΣ.

### ΥΠΟΘΕΣΙΣ.

Ἐπειδήπερ Ἀθήνησι διὰ τὸ πλῆθος τῶν ἀτελειῶν σπάνις ἐγίγνετο τῶν λειτουργιῶν, ἔθηκε Λεπτίνης νόμον, οὕτως ἀτέλειαν ἀναιροῦντα, ὡς μὴ δ' ἐξεῖναι τὸ λοιπὸν ταύτης ὁντινοῦν ἀξιῶσαι· ἐγράψατο τοίνυν τουτονὶ Δημοσθένης, ὡς μὲν αὐτός φησι, παρανόμων, ὡς μὲν δ' ἀληθείᾳ δοκεῖ, συκοφαντῶν μᾶλλον καὶ σοφιζόμενος, καὶ τὰ οὐκ ὄντα συμπλάττων· ὅθεν ἀντιλέγει τις αὐτῷ, καὶ δείκνυσιν οὐ καλῶς κατηγοροῦντα τοῦ νόμου, βελτίστου τε ὄντος καὶ κοινοτάτου, καὶ μάλιστα πάντων πολιτείᾳ προσήκοντος· ἔῤῥωται δὲ ὁ μὲν, τῷ τε συμφέροντι, καὶ πᾶσιν ὡς εἰπεῖν τοῖς ἄλλοις τελικοῖς κεφαλαίοις· Δημοσθένης δὲ μόνῳ κέχρηται τῷ ἐνδόξῳ κἂν εἰ καὶ τοῖς ἄλλοις δοκοῖ.

# A R I S T I D I S

## ORATIO ADVERSUS DEMOSTHENEM DE IMMUNITATE.

### ARGUMENTUM.

Quum Athenis propter multitudinem immunitatum iam rari essent qui publica munera obirent, legem tulit Leptines, qua sic immunitatem abrogabat, ut eam ne in posterum quidem impetrare liceret. Leptinem accusavit Demosthenes, ut ipse quidem ait, laesarum legum; re autem vera calumnians cavillansque ac veritati fucum faciens. Quare Demostheni contradicit quidam, ab eoque legem demonstrat immerito reprehendi, quae optima esset et maxime popularis, liberaeque reip. apprime conveniens. Nititur hic orator utilitate et cunctis prope quae ad rem pertinent argumentis: contra Demosthenes uno nititur decoro; nam aliis frustra videtur uti adminiculis.

©BIU Santé



## ΛΟΓΟΣ.

α. Πάντα μᾶλλον, ὦ ἄνδρες ἀθηναῖοι, ἔγωγ' ἂν ᾤμην, ἢ Δημοσθένη ποτὲ τουτονὶ πρὸς τοσοῦτ' ἀπονοίας καὶ τοῦ μὴ καλῶς ἔχοντος ἥκειν, ὡς καὶ ἀτελείας εἵνεχ' ἡμῖν συμβεβουλευκέναι προῆχθαι, καὶ τοῦτο πολλοῦ τινος εἶναι φάναι, καὶ φέρειν εἰς δόξαν τοῖς δοῦσιν οὐχ ἧττον ἢ τοῖς λαβοῦσιν· ὡς καὶ εἴ τις ἄλλος ἐγχειρεῖν ἠξίου, τοῦτον αὐτὸν πρῶτον ἔδει παντὶ σθένει διακωλύειν πειρᾶσθαι, οὐ μόνον ὅτι τῶν ἀλυσιτελῶν τοῦτ' ἐστὶ καθάπαξ τῇ πόλει, ὡς προϊόντος ἐπιδείξω τοῦ λόγου· (ὁ δὲ πᾶν τοὐναντίον αὐτῇ καὶ βούλεται καὶ συνεύχεται, καὶ οὕτω τὸν ἀεὶ πολιτεύεται χρόνον, ὡς καὶ πεπεῖσθαι λέγειν περὶ αὐτοῦ, μὴ ἂν ἕνα μηδένα τῶν πάντων τὰ τοιαῦτα δόξαι βελτίω· καὶ οὐ λέγειν μόνον, ἀλ-

## ORATIO.

1. Quidvis ego potius eventurum putabam, o Athenienses, quam hunc Demosthenem eo dementiae ac dedecoris aliquando erupturum, ut etiam immunitatem nobis suasurus in concionem prodiret, eamque faciendam plurimi, neque minus dantibus honorificam quam accipientibus, praedicaret. Iamvero quicumque hanc causam orare vult, is in primis Demosthenem omni ope coercendum curabit; tum quia immunitas civitati prorsus est inutilis, ut progrediente oratione dicam (Demosthenes autem contraria urbi vult et exoptat, atque ita semper in rep. se gerit, ut etiam dicat sibi esse persuasum, neminem extitisse qui haec nova consilia boni consuluerit: neque solum dicat, verum ètiam factis demonstret) tum quia maximum rebus nostris hinc erit damnum, si dein-



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 465 sur 544

©BIU Santé



λὰ καὶ τοῖς ἔργοις δεικνύναι·) ἀλλ' ὅτι καὶ μεγίστη τις ἐντεῦθεν γένοιτ' ἂν τοῖς πράγμασι βλάβη, εἰ τοῦθ' ἑξῆς διὰ πάντων χωρήσει· νῦν δὲ οἷς τὰ τοιαῦτα συνηγορεῖ, καὶ οἷς πλείω τούτων ἢ πάντων ὧν πώποτ' εἶπεν ἢ συνεβούλευσε λόγον ποιεῖται, δυοῖν θάτερον λογίζεσθαι δίδωσιν, ἢ 'κεῖνα μὴ καλῶς εἰρηκέναι, ἢ ταυτ' οὐκ ὀρθῶς ἐψηφίσθαι· μᾶλλον δὲ εἰ μὲν ὀρθῶς ταῦτ' ἔχει, κόμπος ἐκεῖνα καὶ οὐδὲν ὑγιὲς· εἰ δ' ἐκ τῶν ἔργων ἐκείνοις ἡ πίστις, καὶ οὐδ' ἂν εἷς ἐξ ὧν, ὦ Δημόσθενες, ἔπραξας φήσαι μὴ οὐ ταῦτα προσηκόντως εἰρῆσθαι, εὔδηλον πάντως ὡς ἔξω λόγου τὰ τοιαῦτ' ἐσπουδάκεις· καὶ πρὶν ὑφ' ὁτουοῦν ἐληλέγχθαι, κατ' αὐτὸς σαυτοῦ ταυτηνὶ φέρεις τὴν ψῆφον.

ϐ. Ἐγὼ δὲ, ὦ ἄνδρες ἀθηναῖοι, οὐχ οὕτω δεινὸν εἶναι τοῦτον ἠξίουν, ὡς τοῦ βούλεσθαί τισιν εἵνεκα καταθέσθαι χάριν τῇ πόλει λυμαίνεσθαι, μηδὲ τῶν πρὸς ταύτην δικαίων,

ceps immunitas quaquaversus urbem pervaserit. Nunc quum huiusmodi patrocinium susceperit Demosthenes, tantumque rei studium prae se ferat, quanto numquam in orationibus et consultationibus usus est, alterutrum existimandum exhibet, nempe aut se recte non dicere, aut legem sine iure fuisse perlatam. Immo vero si lex aequa est, verba Demosthenis inania sunt et insana. Quod si verbis fidem faciunt opera, nemoque est qui facta tua, Demosthene, haud consentanea verbis dicat, plane constat te absurde in hac causa dimicare. Quamobrem prius quam ab aliquo convincaris, contra te ipsum hanc sententiam fers.

2. Equidem, o Athenienses, non adeo improbum Demosthenem existimabam, ut dum quibusdam gratificari studet, urbem pessumdaret; plurisque faceret pri-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 466 sur 544

μείζω τὰ τούτων ποιεῖσθε, μηδὲ βοηθεῖν τούτοις οἰόμενον δεῖν, ἔπειτ' αὐτῇ πολεμεῖν· ἀλλ' ὃ μέλλει κοινῇ συνοίσειν, τοῦθ' ὡς ἔθος αὐτῷ καὶ διανοεῖσθε καὶ πράττειν ἀεί· ὅπου γὰρ καὶ τῶν ὡς ἀληθῶς ἡμῖν συμφερόντων ἔσθ' ὅτε, μᾶλλον δ' ἐν τῷ καθάπαξ, δι' αὐτὴν ταύτην ὑπερορῶμεν, πῶς οὐκ ἀλογία σαφὴς, ἑτέρῳ τῳ κατ' αὐτῆς χαρίζεσθε; ὁ δὲ τοσοῦτ' ἐδέησε τοῦ ταῦτ' ἤδη πράττειν αἱρεῖσθε, ὥσθ' ὅσον πρόσθεν χρηστὸς ἦν καὶ δημοτικὸς καὶ τῆς πολιτείας ἀκριβὴς σπουδαστὴς, τοσοῦτον νῦν ἐξέστη τῆς ὑποθέσεως, καὶ τοὐναντίον ἢ πρόσθεν τοῖς πράγμασι χρῆται· οὐχ' ἃ τῇ πόλει συμφέρει, ἀλλὰ τῷ Χαβρίου παιδὶ, ἢ εἰ βούλεσθε, οἷ αὐτῷ· τὴν γὰρ δὴ τούτου μητέρα μετὰ τὴν ἐκείνου τελευτὴν αὐτὸς γεγαμήκει· (1) ταῦθ' ἡμᾶς πείθειν ἐθέλων, μονονουχὶ

vatas illorum utilitates, quam officium erga remp.: neque sperassem, qui amicis opitulandum censet, ab eodem civitatem oppugnatum iri; et non potius eum pro more suo de communi salute cogitaturum semper ac laboraturum. Nam si id etiam, quod vere utile nobis est, interdum, immo semper, civitatis gratia negligimus, nonne manifesta insania est, cuilibet cum urbis detrimento morigerari? Atqui Demosthenes nedum ita haud est animatus, sed quanto antea commodus ac popularis erat, et reip. strenuus curator, tanto nunc ab eo proposito recessit, et contraria prioribus facta exserit: nec quae urbi prosunt, persuadere nobis nititur, sed quae Chabriae filio, vel si mavultis sibi ipsi (is enim huius matrem post mariti obitum sibi despondit.) Quae dum agit,

(1) Suidas ait Demosthenem ambivisse quidem Chabriae uxorem; verumtamen hoc mortuo, Ctesippi filiam sibi despondisse. Sed enim qui fieri potuit ut qui matrem ambivisset, neptis de-



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 467 sur 544

ταῦτ' ἐν τούτοις βοῶν, ὡς οὐδένα ποιοῦμαι τῆς πόλεως λόγον, ἀλλὰ λῆρος πάντ' ἐμοὶ πρὸς τὸ γένος.

γ. Ἀμέλει καὶ ὃν ἐξ ἀρχῆς ἔδει κεῖσθαι τῇ πόλει νόμον, μηδένα τῶν πολιτῶν ἀτελῆ μήτ' εἶναι μήτ' ἂν γενέσθαι, τοῦτον ἤδη καλῶς ὑπὸ Λεπτίνου τεθέντα, ὡς καὶ πάντων τῶν εὖ φρονούντων ὡς εἰκὸς αὐτὸν ἐπαινούντων, καὶ πάνυ τοι συνηδομένων αὐτῷ τε καὶ τῷ νόμῳ, τῷ μὲν τῆς κοινῆς ὠφελείας, τῷ δὲ τοῦ πρόνοιαν ταυτησὶ πεποιῆσθαι, μόνος οὗτος, ἣν εὖ πάθωμεν ὡς ἔοικε δυσχεραίνων, ἀντὶ τοῦ συγκροτεῖν αὐτὸν καὶ θαυμάζειν, καὶ ὅπως εἰς ἀεὶ κύριος ἔσται παρασκευάζειν, ὁ δὲ καὶ ὅπως ἄκυρος ἔσται, πάντα ποιεῖ· οὐ τὸ ξυμφέρον, ὡς ἂν εἴποι

clara propemodum voce clamat, nobisque suadet, nullam se gerere urbis curam, sed omnia ludibrio habere praeter generis sui commoditates.

3. Enimvero legem, quam vel ab initio in urbe statui oportebat, nemo ut civium esset immunis vel umquam fieret, hanc demum a Leptine praeclare latam, quam prudentes omnes merito dilaudant, auctorique legique simul magnopere gratulantur, huic propter publicam utilitatem, illi ob eius curandae consilium; hanc, inquam, legem solus hic felicitati nostrae, ut videtur, infensus non solum plausu non prosequitur aut admiratur, neque ut eadem in perpetuum rata sit curat, verum etiam dat operam vehementissimam ut aboleatur. Nec quisquam dicat hunc utilitatis inscitia labo-

mum nuptiis, tanta aetate interposita, potitus fuerit? Melior igitur Aristidis sententia est; aut certe Plutarchi Dem. cap. XV, qui Ctesippi quidem ambitam a Demosthene matrem, ceteroqui ductam in matrimonium samiam quandam.

τις, ἀγνοῶν· τίς γὰρ τούτου τὰ τοιαῦτα δεινότερος; ἀλλ' ὅπως εἰς τὴν πατρῴαν ἀτέλειαν καὶ αὖθις ἐγκαταστήσῃ Κτήσιππον· οὐχ εἰδὼς, ὡς ἐν μὲν τῷ τὴν πόλιν εὖ πράττειν, καὶ αὐτὸν εὖ πράττειν ἀνάγκη· ἐν δὲ τῷ τὸν μὲν νῦν εὖ ἔχειν ἐθέλειν, τὴν δὲ μὴ, καὶ αὐτὸν ὅσον οὐκ ἤδη τῶν αὐτῶν πεπειρᾶσθαι.

δ. Ἔτι τοίνυν εἰ μὲν, ὦ Δημόσθενες, οὐκ εὖ ἔχειν ὁ νόμος ἐδόκει, οὐδὲ τοῦ γιγνομένου διὰ πάντων τυγχάνειν, ἀλλὰ φλυαρίαν ταῦτ' εἶναι καὶ οὐδὲν ὑγιὲς, αὐτόν σε πρῶτον ἐχρῆν εἰς μέσον παριόντα διακωλύειν τοῦτον, αἰτιᾶσθαι, παρανόμων γράφεσθαι· οὐ τούτους ἢ 'κείνους ἐξ ἀφανοῦς καθιέντα δι' αὐτῶν ἐλέγχειν τοῦτον πειρᾶσθαι, καὶ κατὰ τοῦδε σφίσι συνηγορεῖν (1)· σοὶ γὰρ, εἴπερ τῳ, τὰ τοιαῦτα μάrare: nam quis Demosthene in his rebus acutior? Sed hoc unice studet, ut Ctesippus patria rursus immunitate fruatur: neque cogitat, si civitati bene sit, illum quoque bene habiturum: sin detur opera, ut Ctesippus in praesenti beatus sit, urbs autem secus; ipsum quoque eiusdem sortis participem mox futurum.

4. Insuper, o Demosthene, si lex iniqua visa esset, et non usquequaque ad consequendum fructum idonea, sed nugatoria potius et insana; te quidem ipsum in primis decuisset in medium progressum intercedere contra Leptinem, reum hunc facere, deque laesis legibus postulare; non autem hos et illos veluti ex insidiis submittere, perque hos dicam Leptini scribere, iisdemque suppetias contra hunc ferre: tibi enim quam cui maxime id cordi

(1) Intelligit eos qui ante Demosthenem Leptinem accusaverunt, de quibus Libanius in argumento ad demosthenicam pro Leptine.

©BIU Santé



λίστα μέλει· οἷς δὲ τότε μὲν σιγᾷν ᾤου δεῖν, νυνὶ δὲ μετ' αὐτῶν αὐτὸν διαβάλλειν, ἀμφότερα βεβαιοῖς, τόν τε νόμον ὡς κάλλιστα ἔχειν, αὐτόν τέ σε μάτην κατ' αὐτοῦ κεκινῆσθαι· ὅς γε καὶ ἵνα μὴ τοῦ μὲν Κτησίππου μόνου δόξας ἀντιποιεῖσθαι, τὸ δὲ τῆς πόλεως παρὰ φαῦλον ποιεῖσθαι, εἶτα πρὸς τῷ μηδὲν ὧν βούλει κατωρθωκέναι, καὶ ὧν μὴ βούλει, τούτων αἴτιος αὐτῷ καταστᾶίης, τὸν δῆμον εἰς ὀργὴν κεκινηκώς, ταῦτ' οὖν δεδιὼς δεινότατα πάντων ἐξεῦρες ὅπως καὶ τὴν ὑπόνοιαν ταύτην εὐχερῶς ἀποκρούσῃ, καὶ πρὸς ἃ δεῖται τῷ Χαβρίου συνάρῃ· πρῶτα μὲν ὡς μάλιστα τῇ πόλει συμφέρειν τὴν ἀτέλειαν φήσας, καὶ τούτοις τὸν ἀκροατὴν ὑφελόμενος, ἔπειτα τούτου μνησθείς.

ε. Καί τοι ὅταν οὐ θαῤῥούντως οὐδ' ἐλευθέρως, ἀλλὰ δεδιότως τε καὶ ὑπούλως καὶ μετὰ τοῦ πάνυ τοι

negotium est. Iam qui et tunc silendum tibi putasti, et nunc cum his Leptinem accusas, utramque opinionem confirmas, nempe quod et lex rectissima est, et quod tu iniuria contra hanc inveheris. Qui quidem ne videreris Ctesippi solius causa laborare, atque urbem flocci facere (quam ob rem nec propositi tui compos fieres, et Ctesippo praeter votum nocuus evaderes, populi ira commota) haec inquam timens, sollertissime excogitasti quomodo et hanc suspicionem a te perbelle removeres, et Chabriae filio in his quae opus erant subvenires. Primo enim dixisti immunitatem summopere civitati prodesse, atque auditore his verbis intercepto, deinde hominis tui intulisti mentionem.

5. Et quidem quum nec audacter nec libere sed timide ac subdole, atque ita ut plane studium latendi prae te ferres, ad hanc causam accederes, videba-

©BIU Santé



λανθάνειν ἐθέλειν ὅπῃ ταῦτα χωρῇς, ἔοικας ὧν λέγεις πρῶτος αὐτὸς ἐπιλαμβάνεσθαι καὶ μισεῖν· καὶ διὰ τοῦθ' οὕτως σχηματίζειν τε καὶ προάγειν τὸν λόγον· ἀλλὰ μὴν εἰ κατηγοροῦντος καὶ συκοφαντοῦντος ταύτην ἅπαντες ἴσμεν διαφορὰν, τὸ τὸν μὲν τὰ οὐκ ὄντα συμπλάττειν, τὸν δὲ τοῖς οὖσι κακοῖς ἢ φαινομένοις ἐπιπηδᾶν· καὶ τὸν μὲν, εἰ καὶ μὴ δικαίας, ἀλλ' οὖν ἔσθ' ὅτ' ἀξιοῦμεν συγγνώμης, τῷ μηδὲν οἴκοθεν καὶ παρ' ἑαυτοῦ συντιθέναι, ἀλλὰ τοῖς οὖσι κεχρῆσθαι· τῷ δὲ ἀπρόσωπος (1) ἡ κακία· ποτέρας βούλει μερίδος θησόμεθα σέ; πότερον τῆς μετρίας καὶ παραίτησιν δεχομένης, ἢ τῆς φαυλοτάτης τε καὶ κακίστης καὶ παντὸς μίσους ἀξίας; ἢ καὶ ἀμφοτέρων ὁμοῦ, ὡς ἔγωγε οἶμαι, καὶ νῦν ἀπο-

ris ipse primus ea quae diceres improbare atque aversari, atque idcirco orationem sic figurare ac propellere. Atqui omnes hoc interesse inter accusatorem et sycophantam scimus, quod hic falsa confingit, ille vera aut apparentia mala insectatur. Et accusatorem quidem venia interdum, etsi minime iusta, dignamur, propterea quod nihil de penu suo atque a se compositum adfert, sed argumentis utitur existentibus; contra sycophantae turpissima malitia est. Qua te in parte collocari a nobis optas, Demosthene? num in moderata, et quae utitur excusatione? an potius in scelestissima et pessima omnique odio digna? an denique in utraque simul, ut ego quidem iudico ac mox demonstrabo? Cum enim legem, quam tu

(1) Hoc graecum vocabulum prae oculis habuisse videtur Cicero in fragmentis orationis de aere alieno Milonis a me editis, ubi ait: *quid pudeat hominem non modo sine pudore, verum omnino sine ore?*

©BIU Santé



δείξω· οἷς μὲν γὰρ τὸν νόμον ὃν μάλιστα θαυμάζειν ἐξῆν διὰ τὸ τῇ πόλει συμφέρειν, τοῦτον ὡς μηδενὸς ἄξιον διαγράφειν ἐθέλεις, κακίζων καὶ κατατρέχων, καὶ μηδενός τινος κατ' αὐτοῦ φειδόμενος ῥήματος, οὐ μόνον κατηγόρων ἀλλὰ καὶ βασκάνων δόξαν λαμβάνεις.

ϛ. Ὅτι δὲ πρὸς τοῖς εἰρημένοις, ὦ ἄνδρες ἀθηναῖοι, καὶ συκοφαντῶν οἷς ἐν ἀρχῇ τοῦ λόγου κέχρηται δείκνυται, αἰσχυνοίμην ἂν ἐμαυτὸν εἰ τοῦτ' ἀποδεικνύναι διὰ πλείστου πειρῴμην· αὐτὰ γὰρ ταῦτ' ἐστ' καὶ συκοφαντία περιφανὴς καὶ ἀπόδειξις ἐναργὴς, τοῦ μηδὲν συκοφαντίας ἐλλείπειν· ἃ γὰρ οὐκ ἂν οὔτ' ἐνεθυμήθη Λεπτίνης, οὔτ' εἰ κατὰ νοῦν ἔσχε δοκεῖ μοι πότ' ἂν εἰρηκέναι, ὡς οὐχ ἱκανὰ πρὸς ὃ βούλοιτο δρᾶσαι, ταῦθ' οὗτος, ὦ ἄνδρες ἀθηναῖοι, ὡς ἂν ἀτεχνῶς εἰρηκότος κατηγορεῖ· ταυτόν τι ποιῶν ὥσπερ ἂν εἴ τις πρὸς

apprime admirari deberes, quia civitati utilis est, ut futilem delere studes; vituperans scilicet atque insectans, nullique verborum iniuriae parcens; idcirco, inquam, non accusatoris tantummodo verum etiam obtrectatoris opinionem sustines.

6. Quod autem praeter iam dicta, o Athenienses, calumniator quoque ex initio orationis suae coarguatur Demosthenes, me quidem mei puderet si id multis verbis confirmare conarer. Quippe eius exordium manifesta fallacia est, atque evidens demonstratio, nihil auctori deesse quominus sycophanta sit. Nam quae Leptines numquam cogitavit, neque si in mente habuisset, tamen ut opinor dicturus erat, quia videlicet rei gerendae non erant consentanea, haec noster Demosthenes, o Athenienses, ceu si ille diserte dixisset, in iudicium defert. Ita nimirum se gerens, veluti si quis adversarium suum

©BIU Santé



ἀνταγωνιστὴν ἰσχυρὸν ϗ ἄμαχον ἔχων, φαρμάκοις ἀνελεῖν τοῦτον ἠξίου, ὅτι μὴ χερσὶν οἷος τ' ἦν· ϗ σὺ τοίνυν αὐτὸς οὐκ ἔχων ἄλλως ἐξελέγξαι τὸν νόμον, πλάττεις αἰτίας διὰ κενῆς, τὰ μὲν αὐτὸς κακουργῶν καὶ πονηρευόμενος, ἔστι δ' ἃ ϗ παρ' αὐτὸς σαυτοῦ συντιθεὶς ϗ συῤῥάπτων.

ζ. Οὐκοῦν θάτερον τούτων ἡμῖν εἰκάζειν παρέχεις· ἢ μηδ' ὁπωστιοῦν ἐντυχεῖν τῷ βιβλίῳ, ἢ εἴ μοι δίδως εἰπεῖν, ἐντετυχηκὼς ϗ θαυμάσας· τὸ τῶν βασκαινόντων ϗ αὐτὸς πεπονθέναι, ἐκστῆναί πως ὑπὸ λύπης σαυτοῦ, ὅτι σοι πρᾶγμα πάλαι προσῆκον Λεπτίνης ἤδη παραλαβὼν ἤνυσεν· ὥστε μηδὲ καθαρῶς ἐντεῦθεν τοῦ νόμου μεμνῆσθαι δύνασαι· εἰ γὰρ ὁ μὲν τοῦ μὴ παντάπασιν ἂν ἐπιλελοιπέναι τὰς λειτουργίας τὴν πόλιν, τούτου χάριν ἐγεγράφει τὸν νόμον, ὁρῶν ὑπὸ πλήθους ἀτελειῶν ταυτασὶ σπανίζουσας, ϗ τὴν τῆς πόλεως εὐδαιμονί-

fortem et insuperabilem, veneno extinguendum putaret, quia manu non posset. Sic tu qui legem aliunde carpere nequis, calumnias temere struis; partim quidem sponte traducens atque in malam partem detorquens, partim vero per te ipse confingens atque nectens.

7. Quare alterutrum nobis coniicere licet, nempe te vel in legis codicem numquam incidisse; vel, si libere dicendum est, postquam legem cognoveris ac suspexeris, laboravisse invidia videris, ac dolore amens fuisse, propterea quod Leptines facinus tibi iamdiu conveniens praeripuisset. Quare nec hanc legem memorare aequo animo potes. Nam si Leptines, ne penitus urbs careret civium officiis, hanc scripsit legem, quia videbat scilicet multitudine immunitatum munera deseri, atque hinc urbis prosperitatem imminui; Demosthenes autem dedita opera id dissimulans, ait Leptinem propter quosdam ignobiles, qui im-

©BIU Santé



αν ὥσπερ ἐντεῦθεν ὑποδιδῦσαν, ὁ δὲ τοῦθ᾽ ἑκὼν σιωπῶν, φάσκει δὲ διά τινας ἀναξίυς εὑρομένυς ἀτέλειαν, ταυτὶ νενομιϑῆ, πῶς ἔχ᾽ ὃ λέγω συνίστησι; πῶς δὲ οὐκ αὐτὸς ἐξελέγχεται μήτε τὰ ὄντα λέγων; καὶ προσέθ᾽ ἡμᾶς ὥσπέρ τινας παῖδας φενακίζειν ἐπιχειρῶν;

η. Καὶ ὅτι ταῦτα λέγων, οὐδὲν ἀληθὲς λέγει, δῆλον ἔκ τε ὧν ἔφην, ϗ οἷς αὐτὸς τὸν Λεπτίνην εἰσάγει οὐ τοῦτ᾽ εἰρηκότα, ἀλλ᾽ ὡς ἔοικεν εἰσέπειτ᾽ ἐροῦντα· φησὶ γοῦν. « Ἔστι „ δ᾽ οὐκ ἄδηλον, ὦ ἄνδρες ἀθηναῖοι, τοῦθ᾽, ὅτι Λεπτί„ νης κἄν τις ἄλλος (1) ὑπὲρ τοῦ νόμυ λέγῃ, δίκαιον μὲν „ οὐδὲν ἐρεῖ περὶ αὐτοῦ· φήσει δ᾽ ἀναξίους (2) τινὰς ἀν„ θρώπους εὑρομένους (3) ἀτέλειαν, ἐκδεδυκέναι τὰς λει-

munitatem sunt adsecuti, legem hanc tulisse; nonne his inquam verbis Demosthenes meam sententiam confirmat? nonne aliena veris dicere arguitur, nobisque insuper tamquam pueris illudere?

8. Profecto quod nihil rei verae Demosthenis verbis subsit, et ex dictis a me exploratum est, et inde etiam quod Leptinem facit non haec dicentem sed, ut videtur, dicturum. Ait igitur. " Perspicuum est, o Athenienses, „ seu Leptinem seu quemvis alium pro lege nihil aequum „ dicere posse. Dicet autem obscuros quosdam immunita„ tem adeptos munerum onera subterfugisse. Atque in „ hoc diu sermone versabitur „. Videtis, o Athenienses,

(1) Ex hoc Demosthenis verbo cepit occasionem Aristides contradicendi, uti apparet ex orationis initio.

(2) Videtur abuti Aristides duplici sensu vocis ἀνάξιος. Demosthenes enim significabat ut puto *indignos*; nostro intelligere placet *obscuros*, seu *ignobiles*.

(3) Edit. Dem. εὑραμένους.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 474 sur 544

„ τεργίας· καὶ τούτῳ πλείστῳ χρήσεται τῷ λόγῳ. „ Ὁρᾶτε, ὦ ἄνδρες ἀθηναῖοι, ὥσπερ ἐπαγγέλλεται τοῦτον ταῦτ' ἐρεῖν, καὶ τούτῳ πλείστῳ χρήσεσθαι τῷ λόγῳ· οὐκ ἀλόγως γε μὴν οὐδὲ τὸ τῶν ἀναξίων ἐμνήσθη, ἀλλὰ καὶ μάλα πάνυ τοι πονηροτάτης τῆς γνώμης, ἵνα τῶν ἀναξίων ἀτελείας ἐκβεβλημένων, ταύτης ἀξιόχρεως Κτήσιππος δόξῃ, καὶ αὐτὸς ἐφ' ἑαυτοῦ καὶ διὰ τὸν πατέρα Χαβρίαν· ἀλλ' εἰς κενὸν, ὦ ἄνδρες ἀθηναῖοι, τὰ τῆς ἐπινοίας τ' ἀνδρὶ, καὶ οὐδὲν ἔσται πλέον ταῦτ' αὐτῷ τεχνωμένῳ, ἡμῶν τὰ δίκαια ποιούντων καὶ ἃ μάλιστα τῇ πόλει προσῆκε, καὶ προσέτι τοὺς τἀληθῆ διαστρέφειν ἐπιχειροῦντας μισούντων· ἐπεί τοι καὶ αὐτὸς τοσούτου δέω τούτοις πεπεῖσθαι καὶ προσέχειν τὸν νοῦν, ὡς πάντα μᾶλλον ἢ ταῦτ' ὀρθῶς ἔχειν νομίζειν.

θ. Ἄνευ γὰρ τοῦ ταῦτ' αὐτὸν, ὡς ἔφην, πεπραγματεῦσθαι, καὶ τὴν αἰτίαν Κτέσιππον εἶναι, οὐδὲ τὸ

spondentem oratorem, fore ut Leptines haec dicat atque in hoc diu sermone versetur. Porro ne obscurorum quidem mentionem temere intulit, sed vaferrimo mentis astu; nempe ut eiectis immunitate ignobilibus, Ctesippus tum per se ipse tum propter parentem Chabriam hac dignus videatur. Sed frustra erit, o Athenienses, hominis calliditas, nihilque ei suae artes proderunt, si modo nos aequa faciemus, quaeque plurimum civitati prosunt; et si eos qui veritatem subvertunt, odio prosequemur. Ego certe tantum absum ut haec mihi persuaderi patiar, vel iisdem mentem advertam, ut nihil his absurdius esse putem.

9. Nam praeter quam quod haec ipse, ut dixi, confingit, et tota rei causa Ctesippus est; ne ignobilium quidem commemoratio videtur mihi tempestive facta, et ex

©BIU Santé

τῶν ἀναξίων ὅλως ἔχω γιγνώσκειν, ὡς εἰς καιρὸν εἰρημένον καὶ τῶν πραγμάτων ἀξίως, κἂν ὅτι μαλιστ' αὐτὸς τούτοις ἐπιχειρῇ· εἰ μὲν γὰρ ἐξέτασις προὔκειτο γένους, καὶ μόνους ἔδει τοὺς εὖ γεγονότας τιμᾶσθαι, καλῶς ἂν εἶχε τοὺς εὖ πεισομένους φυλοκρινεῖν· εἰ δ' ἁπλῶς εὖ πάσχειν ἀνάγκη τοὺς εὖ πεποιηκότας, καὶ τῆς ἀρετῆς οὗτος μισθὸς, ἀτέλειαν δὲ οὐδὲν ἕτερον ἴσμεν ἀλλ' ἢ κατωρθωμένων ἀντίδοσιν, οὐχ' ὁρῶ τίν' ἔχει λόγον ἀναξίων τε καὶ μὴ, μνημονεύειν, ἔνθα πάντας ἀνάγκη κατ' αὐτὸ δὴ τοῦθ' ὁμοίως τιμᾶσθαι, κἂν φαῦλος τὶς ὢν τύχῃ καὶ τῆς κάτω φρατρίας, κἂν εἰς Κόδρον ἀνήκων· τί γὰρ Ἀχιλλεὺς μᾶλλον Θερσίτου πρὸς τὸ τὴν παρὰ τῶν ἑλλήνων φέρεσθαι χάριν, ἂν ἐξ ἴσης ἄμφω τοὺς τρῶας ἑλῶσιν; ἐπειδὴ ὁ μὲν ἐκ θεῶν, ὁ δ' οὐ τοιοῦτος.

ι. Χωρὶς δὲ τούτων, εἰ τοῖς ἀξίοις μόνοις ἀτελείας μετ-

rei praesentis dignitate: quamquam forte Demosthenes obscuros potissimum sibi persequendos proposuerit. Si enim generis quaestio institueretur, solosque nobiles mactare honoribus opus foret, merito equidem honorandarum stirpium delectus fieret. Sin omnino quilibet bene meritus remunerandus est; virtutique merces tribuitur, nihilque est aliud immunitas quam recte factorum remuneratio; non video cur heic locus sit ignobilium, vel secus, memorandorum, ubi quemvis indiscretim honorari necesse est; sive is vilissimus sit postremaque tribu natus, sive generis serie ad Codrum usque pertingat. Nam cur Achilles maiorem Thersite gratiam a Graecis referat; modo uterque Troianos aeque superet; quamvis ille divino genere ortus, hic autem secus?

10. Verum et his omissis, si conspicuos tantummodo vi-

©BIU Santé

©BIU Santé



ἔσται, οὐκ ἔσθ' ὅ τι μᾶλλον καθ' ἡμῶν αὐτῶν ἔσται· πρῶτον μὲν γὰρ οὐδένες εὖ οἶδα τῶν πάντων ἔτ' ἀξιώσουσι λειτουργεῖν καὶ τὰς ἀναγκαίας εἰσφορὰς, ὡς νόμος, εἰσφέρειν, ἀλλὰ φυγῇ τὰ πράγματα φεύξοντας, οἱ μὲν ἀτελεῖς δι' αὐτὸ τοῦτο, οἱ δὲ μὴ τούτου τυχόντες, διὰ τὸ μηδὲ τυχεῖν ἂν ὅλως ἐξεῖναι· κἀντεῦθεν τοῖς μὲν βασκανία τίς πρὸς ἐκείνους ἔσται καὶ φθόνος, καὶ δυσμεναίνειν ἀεὶ, καὶ πάντα τρόπον μισεῖν· τῇ πόλει δὲ, ἵνα μηδὲν δυσχερὲς εἴπω, τὸ μένειν ἐπὶ ταυτοῦ, καὶ μὴ πρὸς ἐπίδοσιν ἄγειν, διὰ τὴν τούτων ἀργίαν καὶ ἔριν· ἔπειτ' εἰ καί τινες λειτουργοῦντες ἔσονται, οὗτοι δ' ἂν εἶεν οἱ μηδὲν ἐξ ἀτελείας εἰργόμενοι· ὅτι μὲν μικρά τις ἔσται καὶ φαύλη καὶ τοῦ μηδενὸς, ὡς εἰπεῖν, ἀξία ἡ παρὰ τούτων αὕτη συντέλεια καὶ σπουδὴ, οὐδεὶς ἀγνοεῖ.

ια. Πλὴν ἔστω γ', εἰ βούλεσθε, καλή τε καὶ πρέ-

ros immunes esse patiemur, nihil est quod magis contra nos faciet. Nam primo quidem exploratum habeo, neminem fore qui iam velit munera obire, ac necessarios sumptus prout lex iubet facere: verum solo vertendo functiones vitabunt; qui quidem fuerant immunes, ob hanc ipsam causam; qui vero secus, ob id ipsum quod immunitatem consequi numquam licebit. Hinc horum omnium mutua malivolentia in urbe, et invidia, et perpetua simultas, atque odia omnigena: civitatem vero, ut mitissime loquar, necesse erit inerti situ desidere, nullumque incrementum capere propter civium segnitiem atque discordiam. Sed fac aliquos muneribus fungi, nempe eos quos immunitas non excludit; quam horum collatio atque opera tenuis, quamque vilis ac nullius prope momenti futura sit, nemo non videt.

πουσα καὶ τοῖς πράγμασιν ἀποχρῶσα· πότερον οὖν τῇ πόλει κάλλιον καὶ λυσιτελέστερον, καὶ πρὸς αὔξησιν μᾶλλον, λειτουργοῦντας ἅπαντας ἴσχειν, ἢ τινάς; καὶ κοινῆς καὶ δαψιλοῦς ἀπολαύειν προνοίας, ἢ μετρίων δή τινων τυγχάνειν τῶν σπουδαστῶν; καὶ βελτιόνων τε καὶ χειρόνων, ἢ τοῦτο αὐτὸ μόνον χειρόνων; καὶ πότερον ἐπαινέτας τοὺς ἄλλους πάντας, ἢ μεμφομένους κεκτῆσθαι; ἐγὼ μὲν γὰρ οἶμαι καὶ τοὺς βαρβάρους αὐτοὺς εἰκότως ἂν ἡμῖν νεμεσῆσαι, ὅτι διπλοῦ κέρδους ἁπλοῦν ἀνθειλόμεθα· καὶ δέον εὖ πράττειν κατ' ἄμφω, οἱ δ' ἀπὸ μέρους ᾠήθημεν δεῖν· τὸ μὲν οὖν, ὦ ἄνδρες ἀθηναῖοι, τοὺς μὲν ἀτελεῖς εἶναι, τοὺς δὲ μὴ, ὡς οὐ μόνον οὐδενὸς, ὧν ἄνω καὶ κάτω διέξεισι Δημοσθένης, ἀλλ' ὧν ἐμοῦ λέγοντος ἠκούσατ' ἀρτίως, αἰτιώτατον ἔσται τῇ πόλει, πάντας ὑμᾶς ἀκριβῶς οἶμαι πεπεῖσθαι, ἀγχίνους τε

11. Concedamus tamen praeclaram hanc fore operam et decoram et sufficientem : utrum est civitati honestius et utilius eiusque incrementis aptius, si ea civium omnium utatur officiis, an si nonnullorum? si communi et copioso fruatur studio, an si modicos aliquot habeat curatores? et si bonos simul ac deteriores, an si tantummodo deteriores? si eam denique ceteri omnes terrarum populi laudent, an si vituperent? Ego enim vel ipsos barbaros indignaturos nobis merito putaverim, quod simplex duplici lucrum antetulerimus; et quod qui bene habere utrimque poteramus, tamen in parte tantummodo existimaverimus esse valendum. Quod igitur alii sint immunes, alii nequaquam, id inquam non solum non esse effecturum quae sus deque Demosthenes blaterat, sed ea potius certissime allaturum quae a me nuper audistis, vobis iam omnibus satis persuasum esse reor, qui et inge-

ὄντας, καὶ πρὸς τὴν τοῦ καλοῦ καὶ δικαίου καὶ συμφέροντος κρίσιν, οἴκοθεν καὶ παρὰ τῆς φύσεως παρεσκευασμένους.

ιϐ. Τὸ δὲ μηδένα τῶν πάντων ἀτελῆ κατὰ τὸν νόμον μήτε νῦν εἶναι, μήτ' εἰσαῦθις ἂν ταῦτ' ἔχειν ἐξεῖναι, τοῦτ' οὖν οὕτω πολλοῦ τινος ἄξιον καὶ γέμον ἐλπίδων καὶ πάσῃ πόλει καὶ πολιτείᾳ διαφερόντως προσῆκον· ὡς τοὺς μὲν ἄλλους νόμους, τοὺς μὲν ὑπὲρ τῶν ἰδίᾳ διαφερόντων ἑκάστῳ, τοὺς δὲ δημοτελεῖς τινας εἶναι συμβαίνειν, μόνον δὲ τοῦτον ἡμῖν κοινότατον καὶ λυσιτελέστατον, καὶ διαρκῆ καὶ βεβαίαν καὶ διὰ πάντων ἥκουσαν τὴν ὠφέλειαν ὡς μάλιστα παρεχόμενον· στρατεύεσθαι γοῦν, καὶ τριηραρχεῖν, καὶ πρεσβείας τὸ μὲν πέμπειν τὸ δὲ δέχεσθαι, καὶ προσέτι συμμάχοις χρῆσθαι, σπένδεσθαι πολεμίοις, ἀμύνεσθαι πολεμίους, τῶν οἰκείων ἀντιποιεῖσθαι καὶ σώζειν καὶ νὴ Δία γε ταὐτὰ φρονεῖν πρὸς ἀλλήλους, καὶ πάντες ἓν ἔχειν τὴν γνώμην, καὶ συλλήβδην εἰπεῖν ὧν δεῖ πόλει τοσῇδε καὶ τοσού-

nio polletis, et ad aequi bonique et utilis iudicationem tum domesticis institutis tum natura estis instructi.

12. Iam neminem, prout lex iubet, immunem nunc esse neque fieri licere in posterum, id enimvero praeclarum est, et spei plenum cunctaeque urbi ac libertati mirifice aptum. Quare quum aliae leges privatorum negotia spectent, aliae rem publicam, haec una vel maxime communis est et perutilis, sufficientemque ac firmam et generalem utilitatem perpetuo suppeditans. Igitur militiam obire, sumptus conferre ad triremes, legationes mittere et excipere, socios bellorum adsciscere, pacisci cum hostibus, eosdem propulsare, patriam tueri ac servare, atque in his hercle cum civibus consentire, unamque mentem gerere, atque ut uno verbo dicam, quaecumque urbi tantae totque gentium atque insularum dominae opus sunt,

©BIU Santé

©BIU Santé



των ἐθνῶν καὶ νήσων ἐπιστατούσῃ, πάντα ταῦθ' ἑτοίμως καὶ μετὰ πολλοῦ τοῦ περιόντος καὶ βουλεύεσθαι καὶ ποιεῖν, ἐξ ἄρ' ἡμῖν τούτου τοῦ νόμου μετὰ τὴν τῆς Ἀθήνας ῥοπὴν κάλλισθ' ὑπάρξει· καὶ τοῦθ', ὡς ἂν οἷός τε ὦ, πειράσομαι δεῖξαι, καὶ πᾶσι ποιῆσαι καταφανὲς, ἵνα ἀκριβῶς εἰδῆτε, ὦ ἄνδρες ἀθηναῖοι, καὶ γνῶτε ὅσον τῷ νόμῳ τοῦ βελτίστου περίεστι, καὶ ὡς, εἴπερ τις ἀνθρώπων, Λεπτίνης δημοτικὸς καὶ περὶ τὴν πόλιν χρηστός.

ιγ. Πᾶσα τοίνυν πολιτεία καὶ δυναστεία καὶ ὅλως οἱ τῶν ἀνθρώπων καθ' ἕνα, οὐχ εἴ τι πράξουσι μόνον σκοποῦσιν, ἀλλ' εἰ συμφέρον τοῦτ' αὐτοῖς ἔσται καὶ διὰ πάντων ὡς εἰπεῖν πρὸς αὐτῶν· βούλονται μὲν γὰρ, ὦ ἄνδρες ἀθηναῖοι, καὶ μάλα βούλονται, καὶ τοῦ δικαίου τυγχάνειν ἐν τούτοις, καὶ μηδὲν ἐλλείπειν τούτου τοῦ μέρους· ὡς μόνην ταύτην οὖσαν πρᾶξιν ἀρίστην· ἂν δ' ἄρ' ἀμφότερα μὴ ἐξῇ, καὶ δίκαια

haec inquam omnia expedite et commodissime deliberare et facere, ex hac vobis lege cum Minervae nutu feliciter licebit: idque ego pro viribus demonstrare conabor, perspicuumque omnibus facere, ut affatim cognoscatis, o Athenienses, summam esse legis huius praestantiam, Leptinem vero quam qui maxime popularem urbique benivolum.

13. Omnis sive libera sive regia respublica, immo singuli homines, non solum quid acturi sint considerant, verum etiam an id sit utile ipsis, atque omnia fere ad se referunt: et summopere simul optant, o Athenienses, in gerendis rebus aequitatem sequi, neque hac in parte deficere, quam optimam solam existimant. Verum si utrumque non possint, nempe et iusta facere et utilia sibi, ipsi quidem utilia iustis antevertunt. Immo vero ne

©BIU Santé



πράττειν καὶ συμφέροντα αὐτοῖς, οἱ δ' αἱροῦνται συμφέροντα μᾶλλον ἢ δίκαια πράττειν· μᾶλλον δὲ οὐδὲ τὴν ἀρχὴν πράττειν οἴονται δεῖν, ὅταν ἃ μέλλουσι πράττειν, ἢ μὴ συμφέρονθ' αὑτοῖς αἴσθωνται ταῦτ' ὄντα, ἢ κατὰ σφῶν αὐτῶν· τὸ μὲν γὰρ μανία σαφὴς ἑκόντα τινὰ καθ' αὑτοῦ πράττειν αἱρεῖσθαι· τὸ δ' ὡς ἀληθῶς κουφότητος καὶ ἀνοίας, καὶ τῆς περὶ τὸν Μαργίτην ὡς εἰπεῖν συμμορίας, εἰκῆ πονεῖν καὶ πράττειν διὰ κενῆς, καὶ εἰς οὐδὲν δέον.

ιδ. Λεπτίνης τοίνυν οὐ μόνον δίκαιον, ἀλλὰ καὶ συμφέροντα καὶ προσέτ' αἴτιον τῇ πόλει δόξης εἰσήνεγκε νόμον, τῶν μὲν ἐξ ἀρχῆς καὶ πάλαι κειμένων οὐδὲν ἐλάττω, εἰ μὴ καὶ μείζω, ὅσον οὐκεῖνοι παρεῖσαν, οὗτος ἐξεῦρε καὶ διωρθώσατο· ἄξιον δὲ οὐ παρὰ τοῖς τῆς Ἀθηνᾶς τροφίμοις μόνοις ἡμῖν, ἀλλὰ καὶ πᾶσιν ὡς εἰπεῖν ἀνθρώποις εὐδοκιμεῖν·

principio quidem quicquam adgrediuntur, si forte id quod facturi sunt, aut sibi non utile aut adversum cognoverint. Furor enim manifestus est, si quis sibi nocua sponte facere eligat: levissimum vero ac stultum et fatuorum societate dignum est, si quis frustra laboret, et futilia faciat ac nulli rei congruentia.

14. Iam vero Leptines legem attulit non solum iustam et utilem, verum etiam civitati honorificam, nulli legum primitivarum atque priscarum inferiorem; nisi forte maiorem etiam, propterea quod quae in illis praetermissa sunt, haec invenit vel emendavit. Quae sane lex haud solum apud nos Minervae alumnos, sed apud omnes ut ita dicam gentes laudem meretur: iusta enim est, quia communia cunctis civibus officiorum imponit onera; id quod liberarum civitatum et aequo iure utentium maxime est proprium; et



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 481 sur 544

δίκαιον μὲν ἀνθ' ὧν κοινῇ πάντας λειτουργεῖν ἀναγκάζει, ὅπερ ἐστὶ δημοκρατουμένων ὡς ἀληθῶς, καὶ τὴν ἰσότητα διὰ πάντων τιμώντων, ἀλλὰ μὴ δι' ἀτελείας τὴν ἀναγκαίαν καὶ δημοτελῆ ταύτην εἰσφορὰν παραιτεῖσθαι, ὥσπερ δεδιότας μὴ δόξωμεν εὖ ποιεῖν τὴν ἡμῶν αὐτῶν· καί τοι πῶς οὐκ ἄτοπον, καὶ τοῦ δικαίως ἔχοντος πόῤῥω, τῶν μὲν παρ' αὐτῆς ἀγαθῶν ἐξ ἴσης ἡμᾶς ἀπολαύειν ἔχειν, ἡμᾶς δ' οὐκ ἐξ ἴσου τὰ πρὸς αὐτὴν διακεῖσθαι, ἀλλὰ τοὺς μὲν λειτουργεῖν, τοὺς δὲ μή; καὶ παραπλησίους ἀλλήλοις ὄντας τῇ πρὸς ταύτην εὐνοίᾳ, ἐνταῦθα μόνον τὴν ἰσότητα φεύγειν; καὶ πολέμου μὲν ἐπιόντος, πάντας ὑπὲρ αὐτῆς κινδυνεύειν αἱρεῖσθαι, καὶ τῆς αὐτῆς ἔχεσθαι προθυμίας, ἐν δὲ τοῖς ἐλάττοσι τῶν πραγμάτων, καὶ κίνδυνον μὲν οὐδ' ὁντινοῦν οὐδὲ πόνον, ὠφέλειαν δ' ὅτι πλείστην τῇ πόλει καὶ ἡμῖν προξενοῦσιν, ἔπειτα πολίτας, ὡς εἰπεῖν, ἐξ ἡμισείας ὁρᾶσθαι;

ιε. Συμφέροντα δὲ μὴ μόνον τῷ συστάσεις ἀτεχνῶς

certe multo magis quam, interposita immunitate, defugere necessarium hoc et populare tributum; ita ut vereri videamur quominus bene patriae faciamus. Nonne enim absurdum est atque a iure magnopere alienum, nos ab urbe aequis partibus bona recipere, nosmet autem ipsos erga illam haud aequaliter cunctos officiis certare? sed alios munera obire, alios minime: cumque omnes in patriam simus aeque benivoli, in hoc uno aequabilitatem vitare? Et si forte bellum ingruat, omnes pericula pro patria adire, concordique audacia uti; in minoribus autem officiis, periculoque ac labore expertibus, et tamen nobis urbique maxime utilibus, dimidiam tantummodo civium partem versari?

15. Porro est utilis lex, non solum quia munerum

πολιτειῶν τὰς λειτουργίας εἶναι, καὶ θαυμαστὰς καὶ μεγίστας πρὸς ἐπίδοσιν ἀφορμὰς, ἀλλὰ καὶ ὅτι μηδενὸς μὲν ἀτελοῦς ὄντος, ὡς ἔφην, πάντες λειτουργήσουσιν· ἐὰν δὲ ἀτελείας μετέχωσι τινὲς, οὐδὲ εἷς· εἰ τοίνυν τῷ μὲν χείρω τὰ τῆς πόλεως εἶναι συμβαίνει, καὶ πρὸς φθορὰν αὐτῇ μᾶλλον ἢ δόξαν ἑτέροις, τοῦτο τοῦ μηδενὸς ἄξιον χρῆσθαι, ὃ δὲ μείζω ταύτην ἐπιφανῶς καὶ βελτίω ποιεῖ καὶ τοῖς ἅπασιν εὐθενοῦσαν, τοῦτ᾽ ἀνάγκη πᾶσα περὶ πάνυ τοι πολλοῦ πεποιῆσθαι, εἴ γ᾽ ἡμῶν αὐτῶν λόγος ἡμῖν· οὔτ᾽ ἀτελεῖς τινας εἶναι τὸ παράπαν προσῆκεν, ὡς οὐ μικρὰν ταύτην οὖσαν τοῖς πράγμασι βλάβην, ὅ τε νόμος οὕτω διὰ πάντων ἡμῖν συμφορώτατος ὢν, ὡς ἐξ Ἀπόλλωνος ἥκων, δίκαιος ἂν εἴη μετὰ παντὸς τοῦ συγκεχωρηκότος κύριος εἶναι καὶ τοῖς πᾶσι κρατεῖν.

exercitationes remp. omnino continent, et mirum quantum ad rerum incrementa valent; verum etiam quia si nemo immunis fuerit, ut dixi, cuncti munera obibunt; sin aliquot immunitate potiantur, ne unus quidem oneribus publicis perfungetur. Si ergo non expedit uti re, quae peiorem civitatis conditionem efficit, quaeque ad huius potius detrimentum quam ad gloriam quorumvis confert; et si id quod civitatem maiorem insigniter ac meliorem atque omnibus copiis refertam facit, fieri non potest quin plurimi aestimemus; nisi nos certe nostrûm curam abiicimus, neminem profecto esse immunem patiemur, quia non modicum id detrimentum reip. est; lex autem haec adeo nobis ad omnia perutilis, quasi Apolline auctore, digna profecto erit, quae nemine repugnante iubeatur, atque in omnes valeat.

16. Praeterea lucrum certe nullum ex immunitate per-

©BIU Santé



ιϛ. Χωρὶς δὲ τούτων, ἐκ μὲν ἀτελείας οὐδ' ὁτιοῦν ἔνεστι κέρδος τῇ πόλει, πλὴν τὴν χάριν ἔχειν ἐντεῦθεν ἀποδιδόναι· ἀλλ' οἱ ταύτην εἰληφότες τρυφῶσιν, αἱ δὲ λειτουργίαι αὐτῇ τε ταύτῃ τὰ μέγιστα πάντων λυσιτελοῦσιν, ἐξ ὧν αὔξεται συγκροτοῦνται, τοῖς τε δρῶσιν αὐτοῖς ἰδίαν παρέχουσι δόξαν τὴν ὑπὲρ τῆς ἐνεγκούσης σπουδήν· καὶ μὴν εὐεργέτας μὲν ἔστι καὶ ἄλλως ἀμείβεσθαι, πόλιν δὲ δίχα λειτουργιῶν σῳζομένην οὐδ' ἐν τοῖς μύθοις ἐγνώκειν· ἀλλὰ κἂν ἥρως οἰκήτορας ἴσχῃ, κἂν τὴν ἀγαθὴν τύχην συναιρομένην, οὐδὲν αὐτῇ πλέον ἔσται, μὴ ταυτησὶ τῆς ξυμμαχίας ἐνούσης· εἰ γὰρ μήτε δημαγωγεῖν δεῖ, μήτε στρατεύεσθαι, μήτε τριηραρχεῖν, μήτε μηδὲν τῶν πάντων ποιεῖν, ἃ λειτουργιῶν μέν ἐστιν εἴδη, συστάσεις δ' ὡς ἀληθῶς τῶν πόλεων οὐδὲν ἄλλ' ἢ σώματι δόξομεν ἐοικέναι χειρῶν τε καὶ ποδῶν καὶ προσέτ'

cipit civitas, nisi quod hinc habet quo gratiosa sit. Atqui hac gratia potiti luxuriantur; munerum vero functiones civitati maxime prosunt, quia bonis eam exaggerant, propriamque ipsis fungentibus gloriam comparant propter eorumdem iuvandae patriae studium. Et sane beneficos licet aliter quoque remunerari; at civitatem sine munerum functione incolumem, ne in fabulis quidem usquam reperi. Verum etiamsi heroas habeat incolas, etiamsi bonam fortunam adiutricem, nihilo melius erit illi, nisi ministeria civium praesto sint. Nam si neque urbanos magistratus gerere libet, neque militiam capessere, neque triremium impensas tolerare, neque omnino quicquam facere ex omni munerum numero, civitatum quidem congregationes nihil aliud esse putabimus quam veluti corpus sine manibus pedibusque, praetereaque sen-

©BIU Santé



αἰσθήσεων ἀποροῦντι· ὃ γὰρ πάντα ταῦτ' ἔστ' ἐκείνῳ, τοῦτο τῇ πόλει τὸ δι' ὧν ἔφην ὑπηρετεῖσθαι.

ιζ. Οὐ μὴν ἀλλ' εἰ καὶ μηδ' εἰστισοῦν μετὰ τὸ παράπαν ἐλείπεθ' ἕτερος ἀποδόσεως τρόπος, ἀλλ' εἰς ἀτέλειαν πάντ' ἧγε, καὶ τοῦτ' ἦν μόνον γέρας τοῖς εὖ πάσχειν ἀξίοις, ὧν εἵνεχ' ὑπὲρ ἡμῶν προτεθύμηνται, βεβλάφθαι δ' ἂν οὐ μικρῶς ἐντεῦθεν ἡ πόλις ἐδόκει, οὐδ' οὕτως ἄν μοι δοκοῦμεν, ὦ ἄνδρες ἀθηναῖοι, τὰ τοιαῦτ' ἀνασχέσθαι, οὐδὲ διὰ τὴν πρὸς τὸν δεῖνα ἢ τὸν δεῖνα χάριν, αἴτιοι ζημίας καθεστάναι τῇ πόλει· ἀλλὰ τῶν ὑπὲρ αὐτῆς δικαίων καὶ τοῦ κοινῇ λυσιτελοῦντος πάντα θέμενοι λόγον, τὸ κατ' αὐτοὺς τούτους εἰκότως ἐᾶσαι· ἱκανὴν ἔχοντας χάριν τὸ πόλεως τοιαύτης εὐεργέτας φανῆναι· ἐπεὶ καὶ οὕτω τιμᾶσθαι μᾶλλον περίεστ' αὐτοῖς, τῷ δοκεῖν μὴ τὴν ἀρετὴν ὥσπερ ὤνιον πεποιῆσθαι, μηδ' ὁτουοῦν ἑτέρου,

sibus destitutum. Quod enim corpori ab his omnibus accidit, idem civitati praedicta munera praestant.

17. Quin adeo etiamsi forte nullus alius superesset remunerandi modus, sed omnia ad immunitatem reciderent, idque unicum eorum hominum esset praemium, quibus benefacere oporteret, quia pro nobis fortiter rem gessissent; nihilo tamen minus, si hinc civitas non parvo damno videretur adfici, ego tum sane, Athenienses, censerem non esse id ferendum, neque committendum, ut ob paucorum captandam gratiam detrimenti aliquid resp. caperet: sed omnino ratione habita officiorum reip. debitorum et communis utilitatis, singulorum hominum curam esse seponendam: ita ut hi satis gratiae recepisse se putent, quod erga tantam urbem benefici comperti sint. Sic enim copiosius gloriari possunt, quia videntur virtutem haud

©BIU Santé



ἀλλὰ μεγαλοψυχίας εἵνεκα τῆς αὐτῶν καὶ τῆς πρὸς τὴν πόλιν εὐνοίας, ταῦτ' ἐνδεδεῖχθαι· καθάπερ ἐπὶ τοῦ μηδικοῦ πολέμου Θεμιστοκλεῖ τῷ Νεοκλέους ὑπῆρξε, καὶ Παυσανίᾳ τῷ Κλεομβρότου, καὶ ἔτι πρὸ τούτων τῷ γ' Εὐφορίωνος Κυναιγείρῳ, καὶ Καλλιμάχῳ τῷ πολεμάρχῳ· οὗτοι γὰρ πάντες, οὔτε πρὶν ἧφθαι τῆς μάχης πρὸς ἀριστείων μέγεθος ἀφεωρακότες ἐθάῤῥησαν τὸν ἀγῶνα, οὔτ' ἐπεὶ μηκέτ' εἶναι κινδυνεύουσαν διεσώσαντο τὴν Ἑλλάδα, ἔτυχον ὧν περ εἰκός· ἀλλ' ἀποχρῶσαν σφίσιν αὐτοῖς ᾤοντο δόξαν, τό τε μείζω στεφάνων εἰργάσθαι, τό τε δι' αὐτῶν τὴν Ἑλλάδα σεσῶσθαι.

ιη. Οὐ μὴν ἀλλ' εἰ καὶ δοίημεν εἶναί τι παρ' ἀτελείᾳ συμφέρον, ὡς ἔγωγ' οὐκ οἶμαι, ἀλλὰ πρῶτον μὲν, οὐχ' ὅσον ἐκ λειτουργίας, οὐδ' ὥστε καὶ παραβεβλῆσθαι, οὐδ' ἐγγύς· ἔπειτα τὸ μὲν εἰς πᾶσαν ἥκει τὴν πόλιν, τὸ δ' εἰς

venalem exercuisse, nec ob aliud quicquam quam ob suam fortitudinem et benivolum erga urbem animum talia facinora edidisse. Qualis videlicet extitit medico bello Themistocles Neoclis, et Pausanias Cleombroti, et ante hos Cynegirus Euphorionis, et Callimachus belli dux. Hi quippe omnes haud equidem ante proelium ineundum spectata praemiorum magnitudine ad certamen exacuti sunt: nec postquam Graeciam de suprema salute periclitantem expediverunt, digna praemia consecuti sunt; sed hac gloria contenti fuere, quod maiora coronis merita prae se tulerunt, quodque Graecia per eos conservata est.

18. Sed enim etiamsi forte concedamus aliquam esse immunitatis utilitatem, quod ego non puto; ea tamen primo quidem haud tanta est quanta munerum functio, neque huic comparari potest, neque proxime accedit. Deinde

ὀλίγους δή τινας· ϗ τὸ μὲν ἥκιστ' ἂν λυμήναιτο παροφθὲν, ἐκ δὲ τῶν μὴ λειτουργούντων, τὰ μέγιστ' ἂν αἱ πόλεις βλαφθεῖεν· ϗ νὴ Δία γε τὸ μὲν, ταυταισὶ ξυνυπέστη· ἅμα γὰρ πόλις, ἅμα ϗ λειτουργεῖν· μᾶλλον δὲ ἢν ἀκριβῶς ἐξετάσης, εὑρήσεις ϗ τὸ τὰς πόλεις ἐξ ἀρχῆς γεγενῆσθαι, λειτουργίαν ἄντικρυς οὖσαν, ϗ οἷόν τινα κοινὴν τῶν ἀνθρώπων ἐπὶ συστάσει τῆς οἰκουμένης δήπουθεν εἰσφοράν· ἀτέλεια δέ τισιν ὕστερον κατὰ τὸ τῆς γνώμης ἐπινενόηται δόξαν, ὥσπερ τι φιλοτιμίας φάρμακον· ὅσον δὴ ϗ μέγιστον ϗ ἀναγκαιότατον τοῦτο ϗ τοῖς ἅπασιν ὑπεραῖρον, τοσοῦτο δεῖ ϗ ἡμᾶς παντὸς μᾶλλον προστίθεσθαι ϗ σεμνύνειν.

ιθ. Καὶ μὴν εἰ τῶν πραγμάτων ἐκεῖνα πλείονος ἄξια ϗ τούτοις ἐπαίνων διαφερόντως προσῆκεν ὧν ἡγεμόνες θεοὶ, οὐκ ἂν φθάνοιμεν εὖ ἴσθι τὸ λειτοργεῖν ὅτου τις ἂν εἴποι μεῖζον τιθέντες· μὴ

munerum functio ad communem urbis commoditatem redundat, immunitas ad paucorum. Et haec quidem si praetermittatur, minimum oberit; verum si ministeria deficiant, summopere urbs laborabit. Certe per Iovem haec simul existunt, urbs videlicet et munerum ministeria. Immo si altius vestigaveris, causam manifestam cur civitates congregatae sint invenies officiorum exercitationem, quae fuit quaedam hominum communis symbola ad gignendam mundi civilem constitutionem. Contra immunitas consecutis temporibus ingenii arbitrio excogitata fuit, ceu quoddam pharmacum ambitionis. Iam functio munerum quo maior est, magisque necessaria, ceterisque rebus antestans, eo impensius a nobis coli debet plurisque fieri.

19. Sane si ea facinora nobiliora habentur ac laudabiliora, quorum dii nobis auctores sunt, sine du-

©BIU Santé

γὰρ οὖν οἴεσθε, ὦ ἄνδρες ἀθηναῖοι, ὥσπερ τὰ ἄλλα καὶ τοῦθ' ἡμῖν ἐξευρῆσθαι, μηδ' ἐντεῦθεν τὴν ἀρχὴν ἐσχηκέναι, ἀλλ' εἴπερ τι παρ' ἀνθρώποις διοπετὲς, καὶ τοῦτ' ἐκεῖθεν ἀφῖχθαι· εἴπερ οἱ τῶν ὅλων κύριοι θεοί τε καὶ δαίμονες οὐ μόνον οἷς τὸ πᾶν ἐξ ἀρχῆς ὑπεστήσαντο, μεγάλην καὶ θαυμαστήν τινα ταύτην εἰσήνεγκάν τε καὶ προὔφηναν λειτουργίαν τῷ βίῳ, ἀλλὰ καὶ νῦν, οὐχ ἥκιστα τοῦτο δρῶσιν, οἷς ἡμῶν τοσοῦτ' αὐτοῖς ἑκάστοτε μέλει, καὶ οὕτω κηδομένως ἔχουσιν, ὡς μηδὲν τῶν εἰς ἡμετέραν σύστασιν καὶ σωτηρίαν ἡκόντων, μηδὲ καθ' ὄντινα δήποτε τρόπον ἐλλείπειν, ἀλλ' ἀπὸ πολλοῦ τοῦ μείζονος ἢ ὥστε καὶ προσδοκᾷν ἐξεῖναι τὰ παρ' ἑαυτῶν χορηγεῖν· δι' ἀλλήλων ἄμφω δεικνύντες, διὰ μὲν τῆς ἀκαμάτου καὶ συνεχοῦς ταύτης προνοίας, τὸ δημιουργοὶ γεγενῆσθαι· διὰ δ' αὖ τοῦ γενέσθαι δημιουργοὶ, τὸ καὶ πρὸς

bio necesse est civilia ministeria rebus omnibus anteponere. Cavete enim putetis, o Athenienses, nos ut cetera sic munerum functiones excogitavisse, vel a nobis initium huius rei fuisse: nam si quicquam inter homines versatur a Iove delapsum, illae quoque indidem sunt. Siquidem rerum omnium domini dii ac genii non solum quod a principio universam rerum naturam crearunt, magnum hoc et praeclarum invexerunt docueruntque vitae ministerium; sed quia nunc etiam in eo instituto manentes, tantam nostri curam providentiamque semper prae se ferunt, nihil ut eorum quae ad conservationem nostram salutemque pertinent ullo modo desit; immo vero etiam uberius, et supra quam expectare liceret, sua nobis bona communicent. Quare et vicissim utramque rem demonstrant: nempe hac incessabili perpetuaque providentia creatores se esse confirmant: hoc ipso autem quod

©BIU Santé



ἀνάγκην ἔχειν ἡμῶν ὅσαι ὧραι φροντίζειν· ἵνα μὴ δίχα τῆς τούτων προνοίας εἰς τὸ μηδὲν ἥκωμεν, καθάπερ τι σκάφος κυβερνητῶν ἀπορoῦν.

κ. Καίτοι ὅταν ἐξ ἀτελείας, ὦ Δημόσθενες, τὰ τῶν λειτουργιῶν κατὰ μικρὸν ὑποῤῥέῃ, καὶ τούτων αὐτὸς ᾖς σπουδαστὴς, πῶς οὐκ ἀτεχνῶς τοῖς θεοῖς πολεμεῖς, ἐκεῖνοι καλῶς ἔθεσαν, ταῦτ' αὐτὸς οἷς ποιεῖς διαφθείρων, καὶ τήν γε χάριν αὐτῶν, τὸ κατὰ σαυτὸν ἀνατρέπων; εἰ τοίνυν τοῖς τὸ νόμισμα διαφθείρουσι, κατὰ τὸν σὸν λόγον (1), θάνατος ἡ ζημία, τινός ποτ' ἄρ' αὐτὸς δίκαιος ἂν ἡμῖν εἴης τιμᾶσθαι, δι' ὧν ἀτελείας ἀντέχει, τά τε τῶν θεῶν ἀτιμάζων, τήν τε πόλιν ἅπασαν διαφθείρων; « Ναὶ φησὶν, ὑπὲρ γὰρ » ὑμῶν καὶ τῶν ὑμετέρων αὐτοῖς προσηκόντων διαναστῆναι, καὶ

creatores sunt, satis ostendunt, necessitate quadam se cogi ad gerendam singulis horis nostri curam: ne scilicet deorum providentia nudati ad nihilum redigamur, vel cymbae instar iactemur gubernatoribus destitutae.

20. Age vero quandoquidem immunitatum causa, o Demosthene, publica ministeria paulatim defluxerunt, atque ipse eius rei te auctorem praebes, nonne aperte diis adversaris, dum quae illi praeclare instituerunt, rebus tuis gestis disturbas, beneficiaque illorum pro virili parte subvertis? Si ergo ii qui pecuniam adulterant, capite prout ipse dicis multantur; quanam tu demum poena nobis dignus videberis, qui pro immunitate pugnas, deorum dona contemnens, universamque urbem corrumpens? " Utique ait, se pro vobis vestrisque necessariis „ causam orare, proque bonis quorum fructum perpe-

(1) In clausula demosthenicae orationis.

,, ὧν ἑκάστοτ᾽ ἀπολαύοντες διαγίγνεσθε· οὐδὲ γὰρ οὐδ᾽ ἂν
,, εἷς ἔτ᾽ ἀξιώσαι, τοῦ νόμου κρατοῦντος, μεγαλοψυχίᾳ πρὸς
,, τὴν πόλιν ἐν τῷ τῶν πραγμάτων ἀπαιτοῦντι κεχρῆσθαι,
,, καὶ φιλοτιμήσασθαι τὰ εἰκότα· ἀλλὰ τῆς ἀτελείας ἀναιρουμέ-
,, νης, συναναιρήσεται πάντως καὶ τὸ ὑπὲρ αὐτῆς ἐθέλειν
,, ὁντινοῦν προθυμεῖσθαι· τὸ δ᾽ οὐ μόνον κέρδους ἡμᾶς ἀλ-
,, λὰ καὶ δόξης ἀποστερεῖ, ὧν χάριν πάντα καὶ ποιεῖν καὶ
,, λέγειν οἴεσθε δεῖν· εἰ τοίνυν μέλει τούτων ἡμῖν, καὶ ἀτε-
,, λείας ἐξ ἀνάγκης μελήσει ,,.

κα. Ὅτι μὲν οὖν, ὦ Δημόσθενες, οὐδένες τῶν πάντων, ὡς σὺ φῄς, ἵν᾽ ἀτελεῖς ὦσιν φιλοτιμίας ἅπτεσθαί μοι δοκοῦσιν, ἀλλὰ δόξης εἵνεχ᾽ αὐτῶν, καὶ τοῦ πρὸς τὴν πόλιν ζήλου καὶ φίλτρου, δῆλον ἔκ τε τῶν μετὰ τὸ πάνυ τοι πεφιλοτιμῆσθαι, οὐδὲν οὐδ᾽ ὁτιοῦν τὸ παράπαν λαβεῖν βουληθέντων, ἀλλ᾽ αὐτὸ τοῦτο μόνον ἀποχρῆν

,, tuum nacti estis. Nemo enim iam volet, si haec lex per-
,, rogetur, magnitudine animi in rebus urgentibus uti,
,, neque officium certatim exserere. Verum immunitate
,, perempta, commorietur penitus studium propter eam
,, quidvis audendi; id quod non lucro solum, verum et-
,, iam gloria vos spoliabit; quarum causa rerum facienda
,, omnia ac dicenda esse putatis: quae si cordi nobis
,, sunt, immunitatis quoque curam nos gerere necesse
,, est ,,.

21. Sed enim quod non sicuti tu, o Demosthene, ais, soleant homines ob impetrandam immunitatem laboribus indulgere, sed gloriae causa, ut mihi videtur, et erga civitatem studii atque amoris, id patet primum ex iis viris qui post multos exantlatos labores nihil accipere passi sunt; sed sibi sufficere existimarunt, quod ita fortuna ci-

ἡγουμένων, ὅτι περ οὕτως αὐτοῖς τὰ πρὸς τὴν πόλιν ὑπῆρξεν· ἔκ τε τοῦ ἄλλου δή τινος, ὄντων μυρίων οἷς τοὺς ὑπὲρ αὐτῆς ἡ πόλις δωρεῖται, ἀλλ' οὐκ ἀτελείας ἠξιωμένων· ὅτι δ' εἰ καὶ τοῦτ' ἦν, προτετιμῆσθαι ἔδει τὸ τῇ πόλει ξυμφέρον, καὶ τούτου μάρτυς αὐτὸς, παντὸς ὁτουοῦν τὸ συμφέρον ἀεὶ προτιθεὶς, καὶ τούτῳ τὰ πρεσβεῖα διδούς· ἐπεὶ καὶ κερκυραίους ἐκσπόνδους ὄντας, συμμάχους εἱλόμεθ' ἡμῖν αὐτοῖς (1), συμφέρειν κρίναντες, ἐπειδήπερ ἴσχυον.

κβ. Ἴσως τοίνυν κἀκεῖνο Δημοσθένης ἤτις ἄλλος ἐρεῖ, ὡς εἰ μέν ἐστι λυσιτελὲς καὶ μάλιστα πολιτείᾳ προσῆκον ἑνὶ μηδενὶ τῶν πάντων ἀτελείας μετεῖναι, τί μὴ μετὰ τῶν ἄλλων καὶ τοῦτο τοῖς παλαιοῖς ὥρισται νόμοις τὸ κοινῇ συμφέρον σκοποῦσιν; νῦν δ' οἷς πολλὰ καὶ καλὰ διεξιόντες, τοῦτ' ἐκ

vitatis per eos constituta esset. Res deinde ex iis constat, qui aliud quidvis quam immunitatem sibi poposcerunt; quandoquidem alia innumera sunt, quibus urbs bene de se meritos donat. Atque haec utcumque se habent, certe urbis utilitas praeferenda est, te suffragante, o Demosthene, qui utilitatem cunctis rebus semper praetulisti, atque huic primatum attribuisti. Profecto etiam Corcyraeos foedifragos ad belli societatem adscivimus, quia vires eorum nobis commodas fore putavimus.

22. Fortasse et illud Demosthenes aut quivis alius dicet: nimirum si utile est, ac tantopere reip. interest neminem esse immunem, cur inter cetera a priscis legibus commune bonum spectantibus immunitas non est vetita? Nunc quum illae tot egregia contineant, caput autem hoc ne verbo quidem attigerint, omnino apparet id vetitum

(1) Confer. ex. gr. Ulpianum praefat. ad olynth.; sive potius Thucydidem I. 44.

ἠξίωσαν λόγου, φαίνονται τοῦθ' ὡς ἀλυσιτελὲς παρεικότες· εἰ τοίνυν ἃ κελεύουσιν οὗτοι, ταῦτα δεῖ περὶ πλείστου ποιεῖσθαι, καὶ ὧν μνηθέντες οὐκ ἔγνωσαν, οὐθ' ἡμᾶς μεμνῆσθαι προσήκει, ἵνα μὴ νόμους τιμῶντες, νόμους ἀτιμάζειν δόξωμεν· ἀλλ', ὦ τᾶν, πρῶτον μὲν οὐ πάνθ' ἁπλῶς ἃ δεῖ τοῖς νόμοις ἐντέτακται, οὐδὲ διὰ πάντων χωροῦσιν, ὡς μηδὲν ἔξω τῆς τούτων διαγνώμης ἑστάναι, ἀλλ' ἔσθ' ἃ καὶ τούτους ἐκφεύγει· ἐξεῖναι γοῦν αὐτῶν ἀφελεῖν καὶ προσθεῖναι, ἐάν τι μὴ καλῶς ἔχον ᾖ, ἐν αὐτοῖς τούτοις εἴρηται· τὸ δ' ἔστι σφόδρα διατεινομένων μὴ διὰ πάντων ἀφῖχθαι.

κγ. Ἔπειτα, ὦ ἄνδρες ἀθηναῖοι, οὐχ' ὅτι μηδ' εἰστισοῦν τοῦτ' ἔφη τῶν νόμων, σκοπεῖσθαι δεῖ, ἀλλ' εἰ καὶ κάλλιστα καὶ δικαιότατα ἔχει, καὶ ταύτῃ τὰς ψήφους τίθεσθαι· οὕτω δ' ἀεὶ καὶ κάλλιστα ἔχει αὐτό τε ἑαυτοῦ καὶ τῶν ἄλλων, ἔκ τε ὧν αὐτὸς ἔφην,

ceu supervacaneum fuisse omissum. Si ergo quae leges iubent, ea oportet plurimi facere; illa item quorum eae studiose mentionem nullam fecerunt, ne a nobis quidem commemorari par est: ne, dum leges reveremur, legibus contumeliam facere videamur. Sed, o bone, primum quidem non omnia, quae oportet, legibus imperata fuerunt: neque hae per omnia discurrunt, ita ut nihil praeter earum praescripta reliquum sit; immo capita aliquot leges fugiunt. Quod ergo detrahere liceat vel addere, si quid in his minus recte se habet, id adeo in ipsis legibus dictum est. Porro mos est valde occupatorum, ne ad omnes rerum partes pertingant.

23. Praeterea, o Athenienses, non quod lex nulla aliquid memoret spectandum est, sed num id egregium et aequissimum sit: atque hoc suffragiis comprobari par est. Iamvero, sicut dixi, atque ut uni-

©BIU Santé



ἔκ τε ὧν ὁ πολὺς καὶ παντοδαπὸς ἔδειξε χρόνος, ὥστε δέδοικα μὴ καὶ τῶν νόμων αὐτῶν τιμιώτερον δόξῃ, αὐτῷ τε τούτῳ καὶ τῷ πρεσβύτερον εἶναι, καὶ πρὶν ἢ νόμους γενέσθαι, τοῦτ' ἐν ἀνθρώποις ἐνεῖναι· ἔτι τοίνυν οὐ πᾶν ὃ τούτοις παρεῖται, τοῦτ' ἤδη καὶ φαῦλον εὐθὺς, οὐδὲ παρὰ τοῦτο τῶν ἀπειρημένων κεχρῆσθαι τοῖς πράγμασι πέφυκεν ἀτεχνῶς, καὶ προσεγκαλοῦντας ἅπαντας ἴσχει, ὥσπερ αὖ τοὐναντίον πολλοῦ τινος ἄξιον· ὅθεν ἡμῖν περίεστι κέρδος, ἐάν τε φάσκωσι τοῦθ' οἱ νόμοι, ἐάν τε καὶ μή.

κδ. Εἰ δὲ ταῦθ' οὕτω καὶ τὸ συνοῖσον πανταχῆ δεῖ ζητεῖν, περίεργον ἂν εἴη, ὅταν περὶ ὁτουοῦν ἐξέτασις ᾖ, παρέντας ὅπως τοῦτ' ἔχει ζητεῖν, ἔπειτα νόμων μεμνῆσθαι· ὡς ἔστι γε, ὦ ἄνδρες ἀθηναῖοι, καὶ νόμων ἐνίους ἀλυσιτελεῖς δή τινας εὑρηκέναι, νόμων δὲ ἄλλως σώζοντας τάξιν, καὶ

versi temporis tractus iamdiu declaravit, per se ipsa adeo et prae ceteris excellit munerum functio, ut verear ne vel ipsis legibus commendabilior videatur; si nihil aliud, certe quia antiquior est, quodque ipsa ante conditas leges inter homines versabatur. Insuper non omne quod legibus praetermittitur, id continuo est ineptum, neque idcirco est interdictum: verum id tantummodo quod naturaliter reip. nocet, quodque omnium vituperatione damnatur, et cuius contrarium plurimi fit. Quare nobis commodum accidit sive de immunitate loquantur leges sive secus.

24. Quod si haec ita se habent, et si utile semper quaerere oportet, vanum est, siquando de re aliqua quaeritur, omissa de natura eius inquisitione, leges memorare. Licet vero, o Athenienses, leges quoque aliquot inutiles deprehendere, et quae legum ordinem frustra tenent.

πράγματα ἄττα, νόμων μὲν ἐκτὸς ὄντα, νόμων δὲ οὐδὲν ἧττον πρὸς τὴν ἀγαθὴν ἡμῖν συμπράττοντα τύχην· καὶ δεῖ περὶ βελτίονος ταῦθ᾽ αἱρεῖσθαι τῶν μὴ συμφερόντων νομίμων· ἐπεὶ καὶ τὸ γεωργεῖν καὶ φυτηκομεῖν καὶ τέχναις κεχρῆσθαι, οὐχ ὅτι μὴ τὴν ἀρχὴν ἐξεῦρον οἱ νόμοι, διὰ τοῦτο καὶ ἡμᾶς τούτων ἀπέχεσθαι δεῖ, ἀλλ᾽ ὅτι μόνα ταῦτα τὸν τῶν ἀνθρώπων συνίστησι βίον, καὶ τῶν καθ᾽ ἡμᾶς πραγμάτων ἔχει τὰς ἀφορμὰς, καὶ τούτων χωρὶς περιεῖναι καὶ ζῆν ὅλως οὐχ οἷόν τε· διὰ τοῦτο καὶ προσέχειν τούτοις παντὸς μᾶλλον ᾠόμεθα χρῆναι, καὶ μηδ᾽ ὁντινοῦν ἀφίστασθαι τρόπον, εἴ γε σώζεσθαι μέλον ἡμῖν, καὶ μὴ φανερῶς θανατῶμεν· τί οὖν εἰ καὶ τὸ λειτουργεῖν οὐκ ἐγγέγραπται νόμοις καθάπερ ἐκεῖνα, καὶ προσέτι τὸ τρέφεσθαι, καὶ καθεύδειν, καὶ ὅσα κοινοτάτα καὶ τῷ τῆς φύσεως ἐνέχεται νόμῳ;

κε. Οὐ μὴν ἀλλ᾽ εἴ τις, ὦ ἄνδρες ἀθηναῖοι, ἀκριβῶς

Sunt item actus exleges, qui tamen haud minus legibus bonam nobis conficiunt fortunam. Atque eiusmodi actus potiores habendi sunt, quam illi inutiles quamvis legitime perpetrati. Nam nec agrorum arborumque cultura neque ceteris artibus idcirco abstinendum credimus, quia legibus non sunt inventae: immo quia his solis vita hominum sustentatur, eaedemque habent adiumenta rerum gerendarum, nec sine his valere aut omnino spirare licet, ideo his potissimum dandam operam existimamus, easque numquam dimittendas, siquidem vita cordi nobis est, neque in manifestum exitium tendimus. Quid ergo refert, publicorum officiorum functionem minime legibus fuisse imperatam? item ut artes praedictas, et nutriri atque dormire, et quaecumque communia sunt, ac naturae lege tenentur?

©BIU Santé



ἐξετάσει, καὶ πάντας ὡς ἀληθῶς εὑρήσει τοὺς νόμους οὕτω περὶ τὸ λειτουργεῖν ἔχοντας, ὡς μὴ ὅτι τοὺς ἄλλους ἐξ ὧν ἑκάστοτε παραινοῦσι, καὶ τῆς πολιτείας ὅπως ἄριστα ἔχει ποιοῦνται λόγον, μετὰ πολλοῦ τοῦ περιόντος ἐνταῦθα παρακαλεῖν, ἀλλὰ καὶ τούτους αὐτοὺς τῷ ταῦτα ποιεῖν, εἰς λειτουργοῦντας ὡς ἄν τις φῆσαι τελεῖν. Καὶ τί δεῖ νόμους λέγειν; ὅταν καὶ Δημοσθένης αὐτὸς, ὁ δι' ὧν ἀτελείας φροντίζει, τὸ λειτουργεῖν πολεμῶν, φαίνηται μάλιστα πάντων τουτὶ βεβαιῶν, νῦν μὲν δημηγορῶν καὶ γράφων καὶ συμβουλεύων, νῦν δὲ πρεσβεύων καὶ χορηγῶν, καὶ διὰ πάντων τουτωνὶ λειτουργῶν, καὶ οὔτε πώποτ' αὐτὸς ἀτέλειαν αἰτησάμενος, οὔτε ταύτης πέρι λόγον ποιησάμενος ὀντινοῦν, πλὴν ἐν τῷ παρόντι διὰ τὸν ἑαυτοῦ καὶ Χαβρίου παῖδα Κτήσιππον τουτονί.

25. Sed enim siquis altius, o Athenienses, vestiget, cunctas deprehendet reapse leges ita ministeriis favere, ut non homines tantummodo perpetuis adhortationibus, curaque illa, quam de prosperitate reip. gerunt, summopere ad functiones invitent, verum semet ipsas, dum haec faciunt, videantur quodammodo inter fungentes adscribere. Sed quid opus est de legibus loqui? quando ipse Demosthenes, dum ministeria oppugnando immunitatem protegit, nihilominus videtur civilium munerum exercitationem quam qui maxime confirmare: modo verba ad populum faciens, modo leges ferens atque suadens, legationes etiam obiens, et ludorum apparatum suppeditans; his, inquam, omnibus officiis defungens, nulla numquam immunitate petita, neque huius facta mentione, nisi nunc propter suum et Chabriae filium Ctesippum hunc.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 495 sur 544

©BIU Santé



κϛʹ. Ἄνευ δὲ τούτων, εἰ κατ' αὐτοῦ τοῦτ' ἰσχυρὸν ἔχειν νομίζεις, ὅτι μὴ τοῖς νόμοις ἐγγέγραπται, λανθάνεις οὐδὲν ἧττον καὶ τά γε σὰ παιδικὰ ταύταις ὑποβάλλων ταῖς ψήφοις· καὶ τί τούτου μᾶλλον ἐντεῦθεν ἢ τῆς σῆς ἀτελείας κατηγορεῖς; οὐ γὰρ ἡ μὲν κατὰ νόμους, τὸ δ' οὔ, ἀλλ' ἐξ ἴσης καὶ ἄμφω τῶν νόμων ἀποστατεῖ· καὶ οὐδὲν παρὰ τοῦτ' οἶμαι βελτίω ταῦτ' εἶναι καὶ χείρω καὶ αὐτὰ καθ' αὐτὰ καὶ πρὸς ἄλληλα· ἐπεὶ ἄλλως γε τοσοῦτον ἀτελείας μεῖζον τὸ λειτουργεῖν, ὡς μηδὲ παραβάλλειν ἐξεῖναι· τὸ μὲν γὰρ καὶ δίκαιον καὶ συμφέρον ὅτι μάλιστα πόλει, καὶ τῆς καλλίστης καὶ γιγνομένης αἰτιώτατον τύχης, καὶ προσέτ' ἐξ ἀρχῆς καὶ παρὰ πάντα δήπου τὸν χρόνον κεκρατηκός· ἀτέλεια δὲ μὴ μόνον χθὲς καὶ πρώην εὑρέθη, ἀλλὰ καὶ τοιοῦτον ἔστ' οὐδὲν τὸ παράπαν, τά γε πρὸς πόλιν, πλὴν αὐτὸ

26. Verum et his sepositis, si pro immunitate idcirco te corroboras, quod ea legibus minime est vetita, nescis a te pusionem tuum eodem hoc suffragio damnari. Quid enim hinc sequitur nisi immunitatis a te protectae accusatio? Neque enim immunitati favent leges, ministeriis vero secus; sed ambo haec aeque legibus extranea sunt: nihilque momenti in legibus est, quo haec bona vel mala sint, aut ipsa per se aut invicem comparata. Ceteroqui munerum functio adeo praestat immunitati, ut sit nullus comparationi locus. Prior enim iusta est, utilis apprime civitati, pulcherrimaeque et verae fortunae fons certissimus: insuper omni tempore inde usque ab reip. initiis valuit: at immunitas non solum nuper excogitata est, sed nihil omnino civitati confert, nisi quod fruentibus solis commoda, illi autem contraria est. Quare cuique licet hinc arguere, immunitatem, quum sit eius-

©BIU Santé



τοῦτο μόνον, ὡς ἔφην, εἰς ὄνησιν μὲν τοῖς χρωμένοις, τῇ πόλει δὲ πᾶν τοὐναντίον· ὥστ' ἐστὶ πᾶσιν ἐντεῦθεν εἰκότως περὶ αὐτῶν ἀποφαίνεσθαι, τὴν μὲν οὕτως ἔχουσαν, εἰ δὲ τοῖς νόμοις ἐνῆν, διαγεγράφθαι χρῆναι καθάπαξ τῶν νόμων· τὸ δ' ὅτι τοιοῦτον, ἐξ ἀντιστρόφου πᾶσιν ἐγγεγράφθαι τοῖς νόμοις, καὶ πλείστων ὅσων ἠξιῶσθαι τῶν ψηφισμάτων, μᾶλλον δὲ νόμον αὐτὸ γεγενῆσθαι.

κζ. Ὃ πάλαι προσῆκον, νῦν ὁ βέλτιστος οὑτοσὶ Λεπτίνης τοῦτο μὲν ὑπὸ θεῶν κινηθεὶς, τοῦτο δὲ καὶ τούτοις εἴξας τοῖς λογισμοῖς, ἅθ' ὑπὲρ πάντας φιλόπολις ὢν, ὥσπερ ὄφλημά τι κοινὸν ἀποδεδώκει τῇ πόλει, γράψας μηδένα τῶν πάντων ἀτελείας μετέχειν, κἂν εἰ πολλάκις εὐεργετῶν εἴη τὴν πόλιν· οὐ μόνον ἵνα καὶ τῆς ἐκ τούτων προσαπολαύοι συντελείας ἡ πόλις, καὶ τὸ λειτουρ-

modi, si forte inter leges fuisset relata, delendam penitus fore; e contrario functionem munerum cunctis legibus esse inserendam, maximo suffragiorum numero comprobandam, denique legis instar habendam.

27. Quae res quum iamdiu fieri deberet, nunc demum optimus hic Leptines partim a diis commotus, partim his rationibus obsequens, ob suum summum erga cives amorem, hoc tamquam commune debitum civitati persolvit, iubens neminem esse immunem, ne si multoties quidem civitatem iuvisset. Idque egit, non solum ut civitas bene merentium quoque hominum tributis frueretur, atque omnium ordinum officiis cumularetur, verum etiam quia non mediocris timor impendebat, ne lapsu temporis immunitate longe lateque diffusa, ministeria prorsus deessent. Quid vero tum urbi accideret, hoc maximo detrimento accep-



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 497 sur 544

©BIU Santé



γεῖν ἐξ ὁλοκλήρου γίγνοιτ' αὐτῇ, ἀλλ' ὅτι καὶ δέος οὐ μικρὸν ἐντεῦθεν ὑφώρμει, μὴ προϊόντος ἄρα τοῦ χρόνου, καὶ τῆς ἀτελείας οὕτω διὰ πάντων χωρούσης, ἐκλίπῃ καθάπαξ τὸ λειτουργεῖν· καὶ τί πλέον τηνικαῦτ' ἔσται τῇ πόλει, περὶ τὰ μείζω βλαφθείσῃ, καὶ ὧν ἄνευ οὐχ οἷόν τε σεσῶσθαι; ψυχὴ γὰρ πόλει τὸ λειτουργεῖν· καὶ ὡς οὐ περιεῖναι καὶ ζῆν πέφυκε σῶμα, ψυχῆς μὴ παρούσης, ὡς δὲ καὶ πόλις μοι δοκεῖ, λειτουργιῶν ἀποροῦσα· εἰκότως· εἰ γὰρ χρειῶν οὐδένες ἀνθρώπων ἐλεύθεροι, πλὴν θεῶν, αὗται δὲ τὰς λειτουργίας ἀναγκαίας ὡς οὐκ οἶδ' εἴ τι ποιοῦσι, τηνικαῦθ' ἡμῖν, ὦ ἄνδρες ἀθηναῖοι, λειτουργιῶν οὐ δεήσει, ἡνίκα μηδὲ χρειῶν· εἰ δὲ χρειῶν ποτ' οὐχ οἷόν τε, πῶς οἷόν τε λειτουργιῶν, συνιδεῖν οὐκ ἔχω· ὧν διὰ τὰς Δημοσθένους ἀτελείας ἡ πόλις ἐκπεσεῖν κινδυνεύει.

κη. « Ἀλλ' ἔδει φησὶν ἀναμεμενηκότα τὸ μέλλον, καὶ τὴν » τοῦ λειτουργεῖν ἀπορίαν, τηνικαῦτα εἰσάγειν τὸν νόμον· νῦν

to, atque iis subsidiis carenti quibus nititur eius salus? Anima quippe urbis ministeria sunt. Iam ut corpus manere et vivere sine animae praesentia nequit, ita et urbs sine ministeriis in eadem mihi conditione versari videtur. Et merito. Nam si adiumentis nullus homo non indiget, praeter deos; haec vero indigentia apprime officiorum necessitatem efficit; tum denique nobis, o Athenienses, ministeriis opus non erit, cum adiumenta non desiderabimus. Quod si hoc postremum fieri non potest, ne illud quidem prius, quantum ego saltem intelligo. Quibus tamen ministeriis periclitatur civitas, ne propter caras Demostheni immunitates, spolietur.

28. " Atqui oportebat, inquit, expectato rerum eventu et ministeriorum defectu, tunc demum legem per- „ ferre: nunc quia fert ante ullam necessitatem, non vi-

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 498 sur 544

„ δ' οἷς πρὶν ἢ τοῦτο γενέσθαι νομοθετεῖ, ἔοικεν οὐκ ἐν και„ ρῷ προὔχεσθαι ταῦτα. „ Τί οὖν κωλύει καὶ ἡμᾶς, ὦ Δημόσθενες, τοῖς αὐτοῖς πρὸς σὲ τούτοις ἐξ ἀντιστρόφου χρήσασθαι λόγοις καὶ δικαιότερόν γε ἢ σύ; ὡς ἔδει καὶ σέ γ' αὐτὸν ἀναμεμενηκότα τὸ μέλλον, εἴ γε καὶ τοῦθ' ὅλως ἐπὶ τῶν αὐτόθεν μάλιστα δήλων λέγειν ἐχρῆν, τηνικαῦτ' ἐπιχειρεῖν ἀντιλέγειν τῷ νόμῳ· νῦν δ' οἷς αὐτὸν πρὶν ἢ τοῦτο γενέσθαι διώκεις, ἔοικας οὐκ ἐν καιρῷ τὴν γραφὴν πεποιῆσθαι· εἶτα θαυμάζειν ἔπεισί μοι πῶς οἴει, ὅτι σοι ταῦτ' ἔπεισι λέγειν, οὐ μόνον ὅτι τοῖς οἰκείοις πτεροῖς καὶ λόγοις ἁλίσκει, ὃ δεινότατόν ἐστι πάντων καὶ συμφορὰ τοῖς χρωμένοις, καὶ πρόσετ' αὐτὸς διαφερόντως κακίζεις, τὸ μὲν τὰ πράγματα λέγω τῷ βουλεύεσθαι χρῆναι, τούτου νῦν ἡμᾶς ὡς δὴ χρηστοῦ τινος ἔχεσθαι πείθων, ἀλλ' ὅτι καὶ δεινὸν εἶναι φάσκων, λανθάνεις σαυτὸν, ἃ μὴ ἔξεστι φάσκων· οὔτε γὰρ οὐδεὶς οἶμαι τῶν πάντων φρενῶν κύριος ὢν, ἐξὸν ὅπως μὴ πείσεται κα-

„ detur tempestive facere „. Quid porro vetat nos, ò Demosthene, quominus his vicissim contra te verbis utamur? immo adeo potiore iure quam tu? Nempe oportuisse te, legis eventu expectato (si tamen sic loqui licet in re manifesta) tum demum adgredi intercessionem. Nunc quoniam ante quam quicquam eiusmodi fiat expostulas, non videris in tempore accusationem instruere. Deinde miror quomodo tibi sic loqui in mentem venerit, non solum quia tuis pennis verbisque irretitus caperis (quod summopere calamitosum est, tuque ipse non mediocriter vituperas) dum re gesta consilium capis, idque nobis tamquam egregium quiddam sequi suades; verum etiam quia quum absurdam legem esse dicas, nescis te ipsum incongrua dicere. Nemo enim, qui modo mentis



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 499 sur 544

κῶς, εὖ βεβουλεῦσθαι, ὁ δ' ὅπως πείσεται κακῶς πρόσθεν ἐάσας, ἔπειθ' ὑπὲρ ἀπαλλαγῆς ἕλοιτ' ἂν βεβουλεῦσθαι, ὅτ' οὐδὲ τοῦτ' ἴσως ἐξέσται· οὔθ' ἡμεῖς τὴν κάκιστ' ἀπολουμένην ἀτέλειαν νῦν ἔχοντες ἐκποδὼν πεποιῆσθαι, εἶτα διὰ τοὺς σοὺς λόγους ἀναμενοῦμεν τὸ μέλλον, ὥσπερ ὅ τί ποτ' ἐστὶν ἀγνοοῦντες, καὶ διὰ τοῦτο τῆς ἐκεῖθεν δεόμενοι πείρας.

κθ. Ἄνευ γὰρ τοῦ τῆς ἐσχάτης παραπληξίας τοῦτ' ἄντικρυς εἶναι, περὶ ὧν μάλιστα ἴσμεν, ταῦτ' ἀφέντας, ἃ οὐκ ἴσμεν διώκειν, οὐδὲ τοὺς λόγους, καθ' οὓς ἔδει ταῦθ' αἱρεῖσθαι, γιγνώσκειν ἔχω· εἰ μὲν οὖν ὡς μηδὲν μηδέπω περὶ ἀτελείας σαφὲς εἰδότας παραπέμπεις τῷ χρόνῳ καὶ ταῖς ἔπειτα ψήφοις, ἔοικας ἀγνοεῖν ὅτου χάριν τοὺς κατ' αὐτῆς ἤδη κεκινήκαμεν λόγους· εἰ δ' ἐπισταμένους, ὡς ἀληθῶς, οὐδὲν ἄλλο μοι δοκεῖς συμβουλεύειν, ἢ ἡμῶν αὐτῶν, μετὰ τὸ καθάπαξ ἐφ-

compos sit, si ei liceat bene deliberando haud male rem agere, ante sinit pessum ire negotia, tum de malo avertendo deliberat, cum iam fortasse id non licebit. Quamobrem nos, qui perniciosissimam hanc immunitatem semel antiquavimus, haud verborum tuorum causa futura tempora praestolabimur, quasi eventurae rei nescii, experientia egeamus.

29. Nam praeter quam quod maximus is esset stupor, omissis cognitis, incognita sectari; ne rationem quidem, quamobrem id consilii capiamus, intelligere queo. Itaque si nos tamquam immunitatis naturam omnino nescientes, ad posterum tempus atque ad futura suffragia reiicis, ignorare videris qua de causa hanc adversus immunitatem susceperimus disputationem. Quod si nos satis gnaros, ut res est, putas, nihil aliud facere mihi vi-

©BIU Santé

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 500 sur 544

©BIU Santé



θάρθαι, πεποποιῆσθαι φροντίδα· ἀλλ' οὔτε σύ γ' αὐτὸς εὖ ἴσθι, ἄν σέ τις ἀνέλῃ, ἔπειτ' εἰς ἄρειον πάγον οἷός τ' ἂν εἴης τουτονὶ προκαλεῖσθαι· οὐ μᾶλλον γε ἢ οἱ μηκέτ' ὄντες τοὺς ἔτ' ὄντας ἀδικίας εἰσάγειν· τῆς τ' ἀτελείας ὡς ἔφην ἀνατετραφυίας τὴν πόλιν, οὐδὲν πλέον ἔσται πρὸς τὸ τὴν μὲν ἐξελεῖν βεβουλῆσθαι, ἡμᾶς δ' αὐτοὺς ἀνασώσασθαι· ἀλλὰ μεθ' ἡμῶν ἀνάγκη καὶ ταύτην ἐφθάρθαι, καθάπερ τινὰ νόσον συνοιχομένην σώματι.

λ. Ὥστ' οὐχ ὁρῶ τίν' ἔχει λόγον ὁ περὶ τοῦ μέλλοντος λόγος· διὸ καὶ τὸ νῦν ἀπολέσομεν, κἀκεῖνο οὐχ ἕξομεν· οὐδὲ γὰρ οἷόν τε, ὡς αὐτὸς λέγεις, ἂν τὰ παρόντα τις ἀναλώσῃ πρὸς ἃ μὴ δεῖ, τῶν ἀπόντων εὐπορῆσαι πρὸς ἃ δεῖ· ἀλλ' ἕως ἂν σώζηται τὸ σκάφος, ἄν τε μεῖζον ἄν τε ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντ' ἄνδρα ἐφεξῆς πρόθυμον εἶναι, καὶ

deris, nisi nostri postquam funditus periimus curam gerere. Nam ne tu quidem, si ab aliquo occisus fuisses, hunc magis posses ad areopagum pertrahere, quam mortui cum vivis iniuriarum expostulare. Similiter quum immunitas civitatem, ut dixi, evertat, nihil sane proficeremus, si hanc asserere manu vellemus, nosmet tamen incolumes conservare: opus enim esset hanc pariter nobiscum pessumdari, ceu morbum quemdam corpori haerentem.

30. Quare non video qua ratione fretus sit de futuro tempore sermo: nam et rem praesentem amittemus, et posteram non adsequemur. Neque enim fieri, te ipso teste, potest ut qui rem praesentem absumpserit in incongruos usus, idem absente re abundet ad congruos. Et quamdiu navigium, sive maius id sit sive minus, incolume erit, tamdiu remiges et gubernatorem et vectores pariter sedulos esse

ὅπως μηδεὶς μήθ' ἑκὼν μήτ' ἄκων ἀνατρέψει τοῦτο, σκοπεῖσθαι· ἐπειδὰν δὲ ἡ θάλλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή· εἰκότως· φαρμάκων γοῦν καὶ ποτῶν καὶ σιτίων πρὶν μὲν ἡμῖν πεπονηρεῦσθαι τὸ σῶμα, μετέχειν οἰόμεθα δεῖν εἰς τὸ μηκέτ' ἂν ἐνταῦθ' ἐμπεσεῖν, ἂν δ' ἄρα πρότερον ἡ νόσος ἐπίῃ, οἱ δὲ πῶς οἴει καὶ τύχην καὶ ἡμᾶς αὐτοὺς δυσχεραίνομεν; καί τοι ὅταν, ὦ Δημόσθενες, σωμάτων καὶ νεῶν καὶ τοιούτων δή τινων ὅπως ἀεὶ κάλλιστα ἔχῃ τοσοῦτον ποιώμεθα λόγον, ἦ πού γε πόλεως τοσαύτης καὶ τηλικαύτης καὶ οὕτω διὰ πάντων κρατίστης, ὡς καὶ θεοὺς, ἵνα μηδὲν πλέον εἴπω, περὶ αὐτῆς ταύτης πρὸς ἀλλήλους ἐρίσαι (1), οὐδ' ἔστιν εἰπεῖν ὅσον ὀφείλομεν.

decet, dareque operam ne quis volens aut nolens id evertat: verumtamen ubi mare praevaluerit, vana sedulitas est. Et merito. Nam et pharmacis et potionibus atque cibis ante quam corpus nobis aegrotet utendum esse censemus, ne in aegrotationem scilicet incidamus; sed si forte morbus praeoccupaverit, cur iam fortunae et nobis ipsis succenseamus? Et quoniam, o Demosthene, et corporum et navium, et aliarum eiusmodi rerum tantam gerimus sollicitudinem ut quam optime valeant; profecto urbi tali ac tantae atque in omni re praestantissimae, ita ut etiam dii, ne quid amplius dicam, de illa inter se certaverint, dici vix potest quanta cura impendenda sit.

(1) Apollodorus biblioth. III. 14; Ovidius metam. VI. 70; Hyginus fab. CLXIIII; Mythographus I. vaticanus a me nuper editus fab. 2. Visitur haec deorum contentio in antiquo lapide chalcedonio (praeter alios recentiores) musei gemmarum vindobonensis, quarum formas affabre ex archetypis expressas munificentia augustissimi Francisci Caesaris bibliotheca vaticana ante hos annos donatas habet.

©BIU Santé

λα. Ἔτι τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, εἰ μὲν ἦν καὶ ἀτελείας ἀντιποιεῖσθαι, καὶ μηδὲν εἰς τὸ λειτουργεῖν βεβλάφθαι τὴν πόλιν, μανία σαφὴς ἂν ἦν ταῦτα κωλύειν αἱρεῖσθαι, ἃ μήτε τῷ κοινῷ λυμαίνεται, καὶ τοῖς μετασχοῦσιν ἔνεστι κέρδος· ὅτε δ' ἀνάγκη διὰ τὰς ἐν μέρει χάριτας, κοινὴν ἡμᾶς ὑποστῆναι ζημίαν, πότερον βέλτιον καὶ λυσιτελέστερον πάντων ὁμοῦ ἢ λόγον ὀλίγων δή τινων σχεῖν; ἄνευ δὲ τούτων, ἀτελειῶν μὲν ἐκποδὼν γενομένων, οὐδ' ἡτισοῦν ἔσται ταῖς πόλεσι βλάβη, ἀλλὰ καὶ κέρδος οὔ τοι μικρὸν, τὸ πλείους ἂν ἐντεῦθεν τὰς λειτουργίας γενέσθαι, ἐξ ὧν αἱ πόλεις συνίστανται· εἰ δ' αἱ λειτουργίαι τοῦτ' αὐτὸ πείσονται, οἰχήσονται μὲν αἱ πόλεις, οἰχήσεται δὲ καὶ τὰ τῶν πόλεων ἆθλα· οὐ γὰρ μόνον ἐξ ἀτελειῶν οὐδὲν αὐταῖς ἔπειθ' ὑπάρξει, ἀλλὰ καὶ τὸ τάχιστ' ἐφθάρθαι μᾶλλον αὐταῖς προσυπάρξει,

31. Insuper, o Athenienses, si liceret immunitatem ita tueri, ut tamen circa ministeria nullum caperet detrimentum civitas, manifesta insania esset, hanc de medio velle sublatam, quae neque reip. noceret, et habentibus lucro esset. Sed quum necesse sit propter gratificandum nonnullis, commune nos pati damnum, utrum melius utiliusque est, omnium simul, an paucorum, habere rationem? Praeterea, immunitate sublata, nihil nocuum civitatibus accidet; immo non modicum lucrum erit, propterea quod plura ministeria fient, quibus civitatum societates conflantur. Si vero ministeria tollantur, corruent civitates, corrruent item civitatum praemia. Non solum enim ob immunitates nihil eis reliquum erit, verum etiam celerrimum exitium superveniet: quandoquidem in ministeriis nititur civitatum salus; quae si dili-

εἴπερ ἐκ μὲν λειτουργιῶν (1) ταῖς πόλεσι σωτηρία, ἐν δὲ τῷ ταύτας εὖ ἔχειν καὶ τὸ ταῦτ' ἔχειν διδόναι πρόσεστι.

λβ. Εἶτα τούτων οὕτως ἐχόντων, καὶ τοσαύτης ἑκατέρων οὔσης διαφορᾶς, ὡς τὸ μὲν πλείστην ὄνησιν ἔχειν, τὸ δὲ πᾶν τοὐναντίον, ἔπειθ' ἡμεῖς Δημοσθένει πεισθέντες, ἢ οὐκ οἶδ' ὅτῳ καὶ φῶ, οὐχ ὃ πρὸς ἡμῶν ἐστιν ἀτεχνῶς, ἀλλ' ὃ καθ' ἡμῶν αἱρησόμεθα; καὶ ὃν ἐξ ἀρχῆς ὑπὲρ τῆς ἡμετέρας αὐτῶν ἀσφαλείας τε καὶ προνοίας ἔδει νόμον τεθεῖσθαι, καὶ νῦν αὐτῷ τὰ πλείστου φασὶν ἄξια χρῆσθαι, τούτῳ χαίρειν εἰπόντες, τὴν ἐπὶ καθαιρέσει τῆς πολιτείας ἀτέλειαν, ὡς πάνυ λυσιτελὲς νομιοῦμεν; δι' ἧς οὐδ' αὐτὴν ταύτην, ὡς ἔφην, ἔτ' ἔχειν τοῖς βουλομένοις ἐξέσται, ἀλλὰ πρὸς σφίσιν αὐτοῖς, καὶ τήνδε προσαπολοῦσιν· καὶ τίσιν οὐκ ἂν δόξαιμεν κακοδαιμονᾶν, εἰ

genter praestentur, erit etiam facultas praemia impertiendi.

32. Quum hae res ita se habeant, tantaque sit differentia earum, ut altera plurimum utilitatis adferat, altera damni; num ut Demostheni vel nescio cui obsequamur, manifesto bono incommodum praevertemus? et quam a principio pro nostra utilitate et tutela, oportuit legem scribi, quaque etiam nunc uti aiunt esse operae pretium; huic, inquam, vale dicto, exitium reip. immunitatem, tamquam insigniter utilem, lege sanciemus? quod si fiat, ne hanc ipsam quidem, ut iam dixi, hi quantumvis volentes retinere poterunt, sed se ipsos et illam perdent. Quis vero nos furere haud existimarit, si utilitatum nos-

(1) Cod. ἀτελειῶν, mendose pro λειτουργιῶν.

τὸ συμφέρον ἡμῖν παντὸς μᾶλλον εἰδότες, ἡμεῖς δ' ἐξεπίτηδες δρῶμεν, ἃ παντὸς ἡμᾶς μᾶλλον ἐκτρίψει.

λγ. Ὅλως δὲ εἴ τις ἔροιθ' ὑμᾶς, ὦ ἄνδρες ἀθηναῖοι, πότερον τοῖς μὲν ἔχουσι μείζονος ϗ περιφανεστέρας καθέστηκε δόξης, τῇ δὲ πόλει μηδ' ὁτιοῦν δυσχεροῦς, πότερον ἀτέλεια ϗ τὸ μὴ λειτουργεῖν ἔτ' ἔχειν, ἢ τὸ τυγχάνειν εἰκόνων ϗ μεθ' Ἁρμοδίου ϗ Ἀριστογείτονος τὸν ἀεὶ πρεσβεύεσθαι χρόνον, εὖ οἶδ' ὅτι τοῦτ' ἂν φήσαιτ'· εἰκότως· τί γὰρ δὴ βλάβος τῇ πόλει, ἐὰν οὐχ ὁ δεῖνα ἢ ὁ δεῖνα λέγω, ἀλλ' ὁμοῦ πάντες ἀθηναῖοι, ἢ, εἰ βούλει, πάντες ὡς εἰπεῖν ἄνθρωποι, εἰκόνων ἢ στεφάνων μετάσχωσι παρ' αὐτῇ; μᾶλλον μὲν οὖν ϗ δύο τὰ πάντων κάλλιστ' ἐντεῦθεν προσγίγνεται, οὐ μόνον ἔπαινός τε ϗ δόξα τοῖς τε ταυτὶ τιμωμένοις, τῇ τε τιμώσῃ πόλει, ἀλλὰ ϗ θαυμαστή τις ἐπὶ τὰ ἴσα παρά-

trarum apprime gnari, nihilominus de industria id agemus, unde nobis certissimum impendet exitium?

33. Sane, si quis vos rogaret, o Athenienses, utra res possidentibus maiori atque illustriori gloriae esset, reip. autem quam minimo incommodo, utrum, inquam, immunitas et perpetua ministeriorum vacatio, an imaginum adeptio, et cum Harmodio atque Aristogitone aeternae laudis societas; novi equidem vos hoc alterum iure meritoque malle. Quodnam enim contingeret urbi damnum, si non hic vel ille, sed cuncti simul Athenienses, immo ut ita dicam omnes homines, imaginibus vel coronis ab ea donarentur? Quin potius duo hinc pulcherrima existerent, nempe non solum laus et gloria tum honoratis ipsis tum urbi honoranti, sed etiam mira quaedam ad paria studia excitatio. Quum ergo aliter quoque liceat urbi liberalitatem suam erga bene merentes expromere, quin

κλῆσις ἔσται· ὅτε τοίνυν καὶ ἄλλως ἔνι τῇ πόλει καὶ μεγαλοψυχίᾳ πρὸς οὓς ἔδει κεχρῆσθαι, καὶ μηδὲ ταύτην μηδενὶ τὸ παράπαν βεβλάφθαι, τίς ἀτελείας ἀνάγκη καὶ τοῦ τοῖς ἡμετέροις αὐτῶν ἐντεῦθεν λυμαίνεσθαι;

λδ΄. Ὥστε καὶ ἃ Δημοσθένης λαμπρῶς ἄγαν ὑπὲρ ἀτελείας προΐσχεται, τῶν ἀτοπωτάτων εἶναι φάσκων καὶ τῆς εἰς ἅπαντ᾽ ἀναξίου μεγαλοψυχίας ἡμῶν, ἐὰν ἃ δεδώκαμεν ἀφελώμεθα, ταῦτ᾽ εἰς κενὸν αὐτῷ καθειστήκει τοῦτον τὸν τρόπον· οὐ γὰρ μόνον τοὺς εὖ παθόντας ἀφαιρησόμεθα τοῦθ᾽, ὡς αὐτὸς οἴεται, οὐδ᾽ ἧς παρ᾽ ἡμῶν ἀπέλαυσαν δόξης, ταύτης ἐκπεσοῦνται διὰ τὸν νόμον, ἀλλὰ καὶ καλλίω καὶ περιφανεστέραν ταύτην νῦν κομιοῦνται, ἀντ᾽ ἀτελείας θαυμαστῶν τινων ἐπιγραμμάτων καὶ εἰκόνων τυχόντες, καὶ κατὰ παντὸς εἰσέπειθ᾽ ἑστήξοντες δημοσίᾳ τοῦ χρό-

eadem quicquam detrimenti patiatur; quae iam est immunitatis necessitas, aut damni ex hac rebus nostris capiendi?

34. Quare et illa quae Demosthenes splendide admodum pro immunitate iactavit, absurdissimum esse dicens, nostraque erga omnes liberalitate indignum, si quae dedimus auferamus, haec inquam frustra apud eum dictitantur. Non solum enim beneficiis nostris homines non spoliabimus, secus ac ipse putat, neque hi gloria quam a nobis retulerunt excident legis huius causa, sed pulcriorem etiam et clariorem iam impetrabunt; dum pro immunitate admirandis titulis atque imaginibus potientur, atque omni aevo publice prostabunt; ut etiam posteri probe discant, qualem se civitas praebuerit erga sibi benivolos. Quae res nonne qualibet immunitate maior est?

©BIU Santé



νε (1)· ὡς καὶ τοῖς ἐπιγιγνομένοις σαφῶς μανθάνειν ἐξεῖναι, ὁπόσον τι τούτοις ἡ πόλις τῆς εἰς αὐτὴν εἵνεκ' εὐνοίας ἐχρῆτο· ὃ τίνος ἀτελείας οὐ μεῖζον; εἴπερ ἡ μὲν οὐ διηνεκὴς οὐδὲ διὰ πάντων ἥκουσα τῷ γιγνώσκεσθαι, τὸ δ' ἀθάνατον ὡς εἰπεῖν καὶ οὐδένα τῶν πάντων οἷόν τε λανθάνειν, οὐ μᾶλλον γε ἢ τὴν πόλιν ὁντινοῦν ἔστι λανθάνειν.

λε. Οὐκοῦν καὶ Ἐπικέρδης καὶ Λεύκων (2) καὶ ὅστις ἕτερος, εἰ ὅτ' αὐτοὺς ἡ πόλις ἐτίμα, δυοῖν αἵρεσις ἦν, ἢ ἀτελείας ἢ ἀνδριάντων μετέχειν, οὐκ ἄν μοι δοκοῦσι μηδ' ὅσον περὶ ἀτελείας ἀκοῦσαι δεδέχθαι, ἐξὸν πολλῷ τινι μείζονι τετιμῆσθαι, καὶ ὃ τοὺς μετασχόντας παραπλησίους εἶναι δοκεῖν ποιεῖ τοῖς θεοῖς· τοὺς τοίνυν τότ' ἂν οὕτω διατεθέντας καὶ ὅλῳ θυμῷ πρὸς ταῦτ' ἐσχηκότας,

siquidem haec neque perpetua neque universalis cuiquam decernitur; ceteri autem honores quodammodo immortales neminem civem latent: non magis, inquam, quam nostra urbs neminem mortalem latere potest.

35. Quare et Epicerdes et Leuco et quivis alius, si quo tempore eos urbs ornatura erat, alterutrius electio fuisset, nempe vel immunitatis vel statuarum potiendi, videntur mihi ne nomen quidem immunitatis audituri fuisse, quum eis copia esset honorificentiae maioris, quae sui participes diis quodammodo similes facit. Qui igitur tunc ita affecti fuissent, totumque animum ad statuas transtulissent, ii

---

(1) Hanc a Leptine exceptionem sibi opponit Demosthenes (ed. Wolf. p. 558.) Locum autem studiose notavit Aristides, qui sibi patroni pro Leptine personam induit.

(2) Cod. Λεύχολος. Sed Λεύκων apud Demosthenem, qui de hoc et de Epicerde multa dicit.

εὖ οἶδα καὶ νῦν μὴ μόνον τῆς προσούσης ἀτελείας περὶ πλείονες ἂν πεποιῆσθαι τὴν ἐν ταῖς εἰκόσιν ἐπιτιμίαν, καὶ αὐτοὺς καὶ τούς γ' αὐτῶν παῖδας, ἐάν γε μὴ περιῶσιν, ἀλλὰ καὶ τοσοῦτον ἡσθῆναι, ὡς καὶ πλείστην χάριν ὁμολογῆσαι δήπου τῇ πόλει, τῶν τε ταυτὶ διανενοῆσθαι, τῶν τ' ἐψηφίσθαι, συμφέροντα μὲν ἑαυτῇ, συμφέροντα δὲ καὶ σφίσιν αὐτοῖς.

λϛ. " Ἀλλ' ὅταν φησὶ ταῦτα δῶμεν, οἱ τούτων παῖδες, „ ὅτι μὴ κἀνταῦθα κοινωνεῖν ἔθ' ἕξουσι τοῖς πατράσιν, „ ὥσπερ ἐν ἀτελείᾳ, ἅτε τὰ μέγιστ' ἠδικημένοι βοήσονται. „ Πρῶτον μὲν οὖν, ὦ οὗτος, οὐκ οἶμαί τιν' αὐτῶν τὸ παράπαν δυσχερανεῖν, διὰ τὸ καὶ τοῖς υἱέσιν εὖ μάλα προσεῖναι τῶν γεγεννηκότων τὴν δόξαν, ἀλλ' ὡς εἰκὸς αὐτοὺς ἀγαπήσειν, εἰ μόνον τηλικούτων πατέρων προσαγορεύοιντο παῖδες· ὡς γὰρ τὸ πατρὸς ἢ μητρὸς κακὰ συνειδέναι, κἂν τοὺς ποι-

profecto non solum nunc pluris facient statuarum honorem quam impetratam immunitatem, tum ipsi tum liberi eorum, si forte iam parentes obierint; sed etiam adeo laetitia efferentur, ut plurimam gratiam civitati habituri sint consilii huius atque decreti utrimque utilis.

36. " Atqui, inquit Demosthenes, si bene meritis sta„ tuas atque inscriptiones dederimus, horum liberi, qui„ bus hae communes cum parentibus, aeque ac est im„ munitas, esse nequeunt, summam sibi fieri iniuriam „ conquerentur „. At enim, mi homo, non puto quemquam horum aegre id omnino laturum; propterea quod parentum gloria perbelle ad liberos manat; hique satis meritoque beati sunt, quia tantorum patrum filii appellantur. Nam sicuti matris patrisve mala fama, ut aiunt poetae, etiam audaces inhibet, sic illorum gloria et celebritas, beatam admodum facit eorumdem stirpem. Dein-

©BIU Santé

ητὰς (1), καὶ τούς γε θρασυπλάγχνους δηλοῖ, οὕτως ἡ τούτων εὔκλεια καὶ λαμπρότης, ζηλωτοὺς ἄγαν παρασκευάζει τοὺς ἐξ αὐτῶν· ἔπειτ᾽ εἰ μὲν ἁπάντων ὧν ἀξιοῖ τοὺς εὐεργέτας ἡ πόλις, καὶ τοῖς ἐκ τούτων ἀνάγκη μετεῖναι, καὶ ταῦθ᾽ ὥσπερ τις κλῆρος εἰς τοὺς ἐκγόνους κάτεισιν, εἰκότα ἂν καὶ οὗτοι λέγειν δοκοῖεν, τούτων στερόμενοι· εἰ δ᾽ ἐπὶ μόνης τῆς ἀτελείας ταῦτ᾽ ἦν, ἑτέρου δὲ οὐδενὸς, αὕτη δὲ νῦν καθάπαξ ἀνῄρηται, οὔτ᾽ ἔχει λόγον τὰ τοιαῦτα ζητεῖν ἐθέλειν, τῶν τε τῆς ἀτελείας κἂν τοῖς ἄλλοις μεμνῆσθαι· καὶ σύν γε ἔτι παραπλήσιον ἔσται, ὥσπερ ἂν εἴ τις ὀλυμπιονίκου (2) πατρὸς ὢν, ἔπειτ᾽ ἀξιοῖ διὰ τὴν φύσιν καὶ τοῦ κοτίνου μετέχειν· ἀλλ᾽ ἀκούσεται πάντως ὅ γε τοιοῦτος, ὡς οὐ γένους, ἀλλ᾽ ἄθλων ἐστὶ τὰ γέρα· καὶ ὁ τούτων ἐπιθυμῶν, ἐκείνοις ἐπαποδύσεται πρῶτον, καθ᾽ οὕτω καὶ πρὸς ταῦτα χωρήσει· εἰ τοίνυν τὰ

de si omnium quae urbs benivolis suis tribuit, necesse esset etiam liberos fieri participes, eaque bona, ut hereditas quaedam, ad posteros permearent, merito queri possent, qui his largitionibus privarentur. Quod si in sola id privilegium contingit immunitate, eaque nunc funditus aboletur, nulla iam ansa superest expetendi praemiorum perpetuitatem, neque etiam in reliquis meminisse licebit immunitatis. Namque id consimile esset ac si quis patre olympionica natus, aequum putaret nativitatis suae gratia etiam oleastri esse participem: quem quidem omnes admonebunt, praemia non generis esse sed certaminum: quae si quis ambit praemia, certamina prius obeat, tum illa obtineat. Si igitur exigua neque tantae aestimationis (quae enim comparatio frondis cum statua?

(1) Euripidis sententia est Hippol. v. 424.

(2) Cod. ὀλυμπιονίκοος.

μικρὰ, καὶ οὐ τοσούτου δή τινος λόγου (τί γὰρ δὴ πρὸς ἀνδριάντα θαλλός; εἴπερ ὁ μὲν διαρκὲς, θαλλὸς δὲ κατ' αὐτὸν δὴ μόνον τὸν τοῦ προσιέναι χρόνον ἔχει τὸ κέρδος·) εἰ τοίνυν ἐξ ἄρα τοῦ πεφυκέναι ταῦτ' οὐχ οἷόν τε λαβεῖν, μὴ καὶ πόνων ἡγησαμένων, πῶς οἷόν τε ἀκονιτὶ κεκαρπῶσθαι τὰ μείζω;

λζ. Καὶ μὴν εἰ ἃ τοῖς πατράσι δίδοται γέρα, τούτων ἔπειθ' οἱ παῖδες ἀξιοῦσι μετέχειν διὰ τὴν φύσιν, τί μὴ καὶ τῶν αὐτοῖς ἀτυχημάτων ἀξιοῦσι μετέχειν ἀπὸ τῆς αὐτῆς ταύτης αἰτίας; οὐ γὰρ ἐν μὲν τοῖς βελτίστοις εἰσὶ παῖδες, ἐν δὲ τοῖς πονηροτάτοις, οὐκέτι· ἀλλὰ καὶ πολὺ μᾶλλον ἐνταῦθα δεῖ τούτους τὸ πεφυκὸς ἐνδεδεῖχθαι, εἰ μὴ μέλλοιεν ἔλαττον ἔχειν τῶν φίλων, οὓς αἱ συμφοραὶ παριστᾶσιν· εἰ δ' οὐδ' ἂν ἐν ὀνείροις συνατυχεῖν αὐτοῖς ἕλοιντο, οὔκουν γε ἑκόντες

siquidem haec stabilis, frons autem eo tantum quo percipitur tempore emolumento est) si inquam generis merito haec impetrare non licet, nisi labor praecesserit; quî licet per otium lucrari maiora?

37. Profecto si quae parentibus dantur praemia, eadem filii generis causa sibi vindicant, cur adversis item eorum casibus communicare ob eandem causam nolunt? neque enim in prosperis filii sunt, in adversis nequaquam. Immo vero magis tunc ab his exseri oporteret stirpis suae documenta, nisi degeneres esse volunt necessariorum suorum, qui in calamitatem inciderunt. Quod si ne in somniis quidem communicare adversis illorum casibus vellent, neque ut arbitror sponte paterentur, quonam iure felicitatem eorum

εἶναι, ὥς γε ἐγὼ νομίζω, πῶς ταῖς τούτων εὐπραγίαις δεῖν οἴονται χρῆναι; πῶς δ' οὐ σφίσιν αὐτοῖς περιπίπτουσιν, ὅταν ταῦτ' ἀξιῶσιν; εἴπερ ἐπὶ μὲν τῶν φαυλοτάτων ἀρνοῦνται τὴν φύσιν, ἐπὶ δὲ τῶν εὖ ἐχόντων ἄνω καὶ κάτω ταυτησὶ λόγον ποιοῦνται; ὅλως δὲ εἰ μὲν ὀρθῶς καὶ δικαίως ταύτην προΐσχονται, δεῖ δήπου ταύτης διὰ πάντων ἔχεσθαι, καὶ μὴ νῦν μὲν, νῦν δ' οὔ· εἰ δὲ κέρδους εἵνεκα μόνου πρὸς αὐτὴν καταφεύγουσιν, ἄλλως δὲ οὐδαμῶς, λανθάνουσι σφᾶς αὐτοὺς, ταύτης οὐδὲν ἧττον ἀλλοτριοῦντες, ἢ συνιστάντες· οὔκουν οὐδὲ προσέχειν τὸν νοῦν αὐτοῖς δεῖ τὰ τοιαῦτα προκαλουμένοις.

λη. Ἔτι τοίνυν κἀκεῖθεν, ὦ ἄνδρες ἀθηναῖοι, μάλιστ' ἔχοιτ' ἂν συνιδεῖν ὃ λέγω, καὶ τὸ συμφέρον ἐξ ἀνάγκης νομοθετεῖν· ὅτι πλὴν ἀτελείας, πάντα τ' ἄλλα πρὸς τοὺς εὐεργέτας ἔσθ' ἡμῖν ποιητέα, ἂν τοὺς ἡμετέρους προγόνους

ad se quoque pertinere arbitrantur? Nonne secum ipsi pugnant, dum haec sibi bona vindicant? qui quidem in rebus infimis genus negant, in prosperis usquequaque id clamitant. In summa, si recte et iuste genus praetendunt, constantia tenenda est, non alternis utendum vicibus. Quod si lucri tantum gratia ad generis claritatem confugiunt, aliter eam non adserũnt, non vident se potius ab ea recedere quam illuc tendere. Nulla igitur habenda est hominum ratio, qui ad haec privilegia provocant.

38. Quamquam aliunde quoque, o Athenienses, cognoscere vobis apprime licet rei de qua loquor veritatem, et quae vobis conferunt, prout opus est, sancire. Nam una excepta immunitate, cetera omnia erga bene merentes officia sunt a nobis exprimenda, si certe reputabimus quinam in his fuerint maiores nostri temporibus il-

©BIU Santé

ὁποῖοί τινες περὶ ταῦτ' ἦσαν ἐνθυμηθῶμεν, ὅτε καὶ τὰ τῆς πόλεως ὡς μάλιστα ἤνθει, καὶ τὸ πρὸς ταύτην ἐπιδείκνυσθαι καὶ φιλοτιμεῖσθαι, φιλοτιμότερόν πως καὶ μετὰ μείζονος ἀπήντα παρασκευῆς· ἐκεῖνοι τοίνυν καὶ ἀγχινοίᾳ καὶ συνέσει καὶ τοῖς ἄλλοις ἀγαθοῖς τῶν ἁπανταχῆ πάντων κρατοῦντες, καὶ πᾶσαν πολιτικῆς ἀρετῆς ἐπιστήμην ἐν τῇ ψυχῇ φέροντες, μᾶλλον δ' αὐτὸ τοῦτο ψυχὴ τῶν πραγμάτων καὶ δοκοῦντες καὶ ὄντες, οὐ μόνον ὅπως ἑαυτῆς ἀξίως ἡ πόλις εὖ πράττει καὶ διαγίγνοιτο, ἀλλ' ὅπως καὶ τῶν παρὰ τῆς τύχης εὐποιιῶν μειζόνων ἀεὶ διὰ πάντων πειρῷτο, τοῦτ' ἔχοντες προὔργου, αὐτοί τε πάνθ' ὑπὲρ αὐτῆς καὶ ποιεῖν καὶ λέγειν ᾤοντο χρῆναι, μηδὲν τῶν ὅσα πρὸς εὐδαιμονίαν τοῦ κοινοῦ φέρει μηδ' ὁπωστιοῦν παριέντες· τούς τε πρὸς αὐτὴν ὁτιοῦν ἀγαθὸν διαπραξαμένους, καὶ πολίτας λέγω καὶ ξένους, καὶ γινομένους τοῖς πράγμασιν ἐν καιρῷ, ὁμοῦ μὲν ἀμειβόμενοι τῆς σπουδῆς,

lis, quibus et summe urbs florebat, maiorque erat atque splendidior hominum concursus ad ostentandum patriae studium, honoresque ab ea consequendos. Nostri ergo maiores ingenio et prudentia et aliis dotibus prae ceteris ubique mortalibus excellentes, omnemque politicae virtutis scientiam in animis habentes, immo ipsi gerendarum rerum anima non immerito crediti; quum hanc rei summam existimarent, si urbs non solum condigna felicitate uteretur, sed maiora quoque fortunae munera semper experiretur, nihil eius rei causa non sibi faciendum dicendumve putabant, nihilque omittendum quod reip. prosperitati conferret: quicumque autem civitati quomodolibet bene fecissent, sive cives sive peregrini, quique operam tempestivam aliquando praestitissent, eos pro studio simul remunerabant, simulque eosdem et alios in

ὁμοῦ δὲ καὶ πρὸς τὸ μέλλον καὶ αὐτοὺς καὶ τοὺς ἄλλους ἐπὶ τὰ ἴσα καὶ μείζω παρακαλοῦντες, μεγίσταις ὅτι μάλιστα καὶ φιλοτιμοτάταις ἐδωροῦντο τούτους ταῖς τιμαῖς· τοῦτο μὲν χαλκοῦς ἐπ' ἀγορᾶς ἱστάντες, τοῦτο δὲ παρέδρους τοῖς ἐν ἀκροπόλει θεοῖς καθιστάντες, τοὺς δὲ μεγάλων καὶ θαυμαστῶν καὶ τῶν αὐτῶν τοῖς θεοῖς ἀξιοῦντες τῶν προσρημάτων· ἔστι δ' οἷς καὶ χρήματα ὅτι πλεῖστα διδόντες, καὶ γὰρ πλέθρα τῆς μὲν πεφυτευμένης, τῆς δὲ καὶ ψιλῆς· οἱ δὲ σίτησιν ἢ στεφάνους ᾑροῦντο, καὶ ἄττα τοιάδε· ταῦτ' ἦσαν αἱ τηνικαῦτα τῆς πόλεως ἀμοιβαὶ πρὸς τοὺς ἑκάστοτ' εἰς αὐτὴν καλοὺς κἀγαθούς· οὕτως Ἐρεχθεὺς (1) ὁ τῆς Ἀθηνᾶς, οὕτως Ἁρμόδιος καὶ Ἀριστογείτων· Περικλέα δὲ τὸν Ξανθίππου τίς οὐκ οἶδε τὸν πάντων ὀλύμπιον προσρηθέντα κατὰ ταὐτὰ τῷ Διὶ (2);

posterum ad paria vel maiora officia excitabant, maximis et ambitiosisimis donatos honoribus: et modo aereos in foro statuebant, modo in arce in deorum consessu reponebant: alios vero magnis atque mirificis et divinis insigniebant titulis: aliis opes etiam plurimas largiebantur, iugera nimirum partim consiti soli partim nudi: alii denique alimenta aut coronas aut alia eiusmodi impetrabant. Haec tum dabantur ab urbe praemia iis qui semper erga eam fuissent benivoli et utiles. Sic Erechtheo contigit Minervae filio, sic Harmodio et Aristogitoni. Periclem vero Xantippi quis nescit appellatum olympium pari cum Iove nomine?

---

(1) Erechtheum apud Homerum scribi pro Erichthonio, eundemque Minerva esse natum, praeclare observat Eusebius chron. lib. II. ed. Mediol. p. 284. Consonat huic Aristides.

(2) Causas huius epitheti varias legere licet apud Plutarchum in Pericle cap. VIII.

©BIU Santé



λθ. Ἀτελείας δὲ οὐδ' εἰστισοῦν μὰ τοὺς θεοὺς λόγος τότ' ἦν οὐδ' ἐξέτασις, οὐδ' ἠξίουν ἐντεῦθεν δήπου ποιεῖσθαι τὰς δωρεάς· οὐχ ὅτι ταύτην ἠγνόουν, ἀλλ' ὅτι σαφῶς ᾔδεσαν, ὡς ἐν μὲν τῷ ταῦθ' ἅπερ ἔφην διδόναι, οὐδ' ὁτιοῦν ἔσται βλάβος τῇ πόλει, ἐν δὲ τῷ τοὺς δεῖνας ἢ τοὺς δεῖνας εἰς ἀτέλειαν ἄγειν, οὐ μικρά τις ζημία· ἡ γὰρ τῶν λειτουργιῶν κατὰ βραχὺ δήπουθεν σπάνις, καὶ τὸ ταῦθ' ἅπερ ἔφην ἔχειν διδόναι προϊόντος ἀναιρήσει τοῦ χρόνου, πάντων ἀτελῶν καταστάντων· ἔπειτα κἀκεῖνο προσῄδεσαν καὶ σφόδρα γε πεφυκὸς ἐν ἀτόποις, εἰ ὧν ἐνεδείξαντό τινες ἀγαθῶν εἰς τὴν πόλιν, τούτων εἵνεκ' αὐτῇ παραίτιοι κατασταῖεν ζημίας διὰ τὰς ἀτελείας· δέον, εἰ ταῦτ' ἔπειτ' ἔμελλον ἔσεσθαι, μὴ δὲ τὴν ἀρχὴν εἰς εὐεργέτας τελέσαι· πῶς οὖν οὐκ ἄτοπον τοὺς μὲν οὕτω διακειμένους τῶν πάλαι μηδεμιᾶς μὲν ἡστινοσοῦν ὑπερβολῆς ἐν ταῖς ἀμοιβαῖς ἀποσχέσθαι, ἀτελείας δὲ μηδαμοῦ τὸ παράπαν μηδ'

39. Verum enimvero immunitatis nulla per deos tunc mentio erat neque petitio: neque id sibi donum tribui volebant; non quod rem ignorarent, sed quia certo noverant, eas quas supra dixi donationes nullo fieri cum civitatis damno; in hoc vero et illo ad immunitatem promovendo, non mediocrem inesse labem. Ipsa enim ministeriorum brevi facta penuria, facultatem quoque lapsu temporis perimet dandi ea quae ante dixi, postquam scilicet omnes immunitatem adepti fuerint. Insuper noverant valde esse absurdum, si nonnulli ob ea beneficia quae civitati contulissent, causa damni eidem fierent, impetratis immunitatibus: quos homines oportebat, si tales postea evasuri erant, ne principio quidem in beneficis numerari. Cur ergo non sit absurdum, maiores nostros ea mentis excellentia praeditos nullum finem

©BIU Santé



ὁπωστιοῦν μνημονεῦσαι, ἡμᾶς δὲ τοὺς τἀκείνων μάλιστα πάντων καὶ στέργοντας καὶ θαυμάζοντας, καὶ νόμον τοῦ τί δεῖ ποιεῖν ταῦθ' ἡγουμένους, ἔπειτα ταύτῃ κεχρῆσθαι, καὶ τὰς τιμὰς ἐντεῦθεν ὁρίζειν, ὥσπερ ἐκείνων κατεγνωκότας, ὅτι μὴ τοῦτο συνιδόντες ὑπὸ βασκανίας ἀπεῖπον· καίτοι ὅταν μὲν τούτους ὡς διὰ πάντων κρατίστους θαυμάζωμεν, καὶ μιμεῖσθαι διὰ πάντων ὀφείλομεν τούτους, ἵν' ἃ τοῖς λόγοις κοσμοῦμεν, βεβαιῶμεν τοῖς ἔργοις· ὅταν δὲ ἐκείνοις εἰκότως ὡς μὴ καλῶς ἔχοντ' ἀπείρηται, ταῦθ' ἡμεῖς ὡς ἔχοντα καλῶς ἀσπαζώμεθα, θατέρῳ δυοῖν ἐνεχόμεθα, ἢ τῷ περὶ τὰς κρίσεις ἐσφάλθαι, ἢ περὶ τὰς μιμήσεις ἐψεῦσθαι.

μ. Ὅλως δὲ εἰ μὲν ἀτέλεια κάλλιστον καὶ λυσιτελέστατον καὶ πολιτικῇ μάλιστα πρέπον, οὐχ ἡμᾶς ἔδει μόνους, ὦ ἄνδρες ἀθηναῖοι, ἀλλὰ καὶ πάντας τοὺς ἄλλους ταυτησὶ

neque modum remunerandi fecisse, et tamen immunitatis numquam mentionem intulisse; nos autem qui facta veterum summopere colimus et suspicimus, normamque agendi putamus; nihilominus immunitatem usurpare, atque hanc honoris instar habere? ita scilicet eos damnantes, vel quod rem nesciverint, vel quod cognitam bene merentibus inviderint. Attamen si hos per omnia optimos admiramur, eosdem quoque imitari debemus; ut quod verbis ornamus, idem operibus confirmemus. Interim dum ea quae illi ut prava abnuerunt, nos ut egregia amplectimur; alterutrum sane peccamus, id est vel iudiciis fallimur, vel ab imitatione recedimus.

40. Denique si forte immunitas pulcherrimum quid esset atque utilissimum et politicae valde aptum, haud nos Athenienses solos opus esset, sed cunctos populos, rationem eius habere ceu communis commodi et omnia per-



Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 515 sur 544

λόγον ποιεῖσθαι, ὡς ἂν τινος κοινωφελοῦς καὶ διὰ πάντων χωροῦντος· εἰ δ' οὐδένες ἄχρι τοῦ δεῦρο πλὴν ἡμῶν ἐπὶ ταῦτα προήχθησαν (μηδ' ἔτ' ἔπειτα προαχθεῖεν ὦ δέσποινα Ἀθηνᾶ) τί μόνοι τῶν πάντων ἡμεῖς τὰ τοιαῦτα νοσοῦμεν (1); ἐκτὸς εἰ μόνοι τῶν πάντων ἡμεῖς μισεῖν ἡμᾶς αὐτοὺς ἀξιοῦμεν· « οὐ δήπου φησίν· οὐδὲ ταῦθ' ἡμᾶς ἐγκαλεῖσθαι χρεών·
„ εἰ μὲν γὰρ τῶν αὐτῶν ἐθῶν τε καὶ νόμων ἅπασιν ὄντων,
„ ἔπειθ' ἡμεῖς μόνοι τῶν πάντων ἀτελείας εἰχόμεθα, πονη-
„ ροί τινες ἂν ἦμεν εἰκότως, οἷς οὐκ ἐξῆν ἐγχειροῦντες, καὶ
„ παρὰ τὸν κοινὸν πολιτευόμενοι νόμον· εἰ δὲ πολλή τις ἐν-
„ ταῦθα διαφορὰ, καὶ τοὺς μὲν τούτοις, τοὺς δ' ἐκείνοις
„ ἴσμεν χρωμένους, καὶ πάντας ἁπλῶς οἷς ἐκ πολλοῦ δοκι-
„ μάσειαν, τί δεινὸν, εἰ παρ' οὐδέσι τῶν ἄλλων ἀτελείας νο-

vadentis. Quod si nulli mortales, praeter nos, hoc more hactenus usi sunt (utinam vero et numquam deinde utantur, o Minerva potens!) cur soli nos hoc morbo laboramus? nisi nos soli nosmet volumus ipsos odisse. “ Minime vero, inquit Demosthenes, neque hanc nobis im-
„ pingi dicam licet. Nam si forte cunctis gentibus iidem
„ mores legesque essent, tum soli nos hanc immunitatis
„ consuetudinem usurparemus, improbi merito videre-
„ mur, qui rem iniquam sectaremur, et praeter legem
„ universalem res nostras publicas gereremus. Nunc quo-
„ niam multa est morum varietas, atque alios aliis usibus
„ delectari videmus, omnesque fere vetustis apud se con-
„ suetudinibus adhaerere; quid mirum si immunitati,
„ quam nulli alii populi agnoscunt, apud nos solos locus

(1) Hoc quoque argumentum ait Demosthenes ed. cit. p. 556. extitisse in adversarii nescio cuius oratione. Rei memor Aristides hanc veri similitudinem declamationi suae adstruxit.

,, μιζομένης, μόνοις ἡμῖν ταύτης ἔνεστι λόγος; οὐδὲ γοῦν Λα- ,, κεδαιμονίοις οὐδὲ Θηβαίοις, οὐδ' οἷς τισιν ἄλλοις ἐγκα- ,, λεῖν ἔχομεν διὰ ταῦτα, ἀλλὰ τῷ τῶν πραγμάτων ἐξ ἀρ- ,, χῆς ἐσχηκότι διδόναι ,,.

μα. Ὡς μὲν οὖν, ὦ Δημόσθενες, ἕκαστοι πρὸς ἀλλήλους ταύτῃ διΐστανται, ὁμολογῶ καὶ αὐτὸς· ἐπεὶ μηδὲ νομοθέτας κέκτηνται τοὺς αὐτούς, ἀλλ' οἱ μὲν τούς, οἱ δὲ τούς, ὅπως ἡ τύχη καὶ ὁ συμπίπτων χρόνος ἑκάστοις παρεσκευάκει· σοῦ δ' ἂν ἡδέως πυθοίμην, εἰ ἐν οἷς οὗτοι διΐστανται, πότερα τῶν λυσιτελούντων ταῦτ' ἐστίν, ἢ τῶν ἰδίᾳ καὶ κοινῇ λυμαινομένων τοῖς πράγμασιν; εἰ μὲν γὰρ τῶν λυμαινομένων ἐρεῖς, πρῶτον μὲν ἐπιεικῶς ἄτοπον καὶ δεινόν, διὰ τούτων ἡμᾶς ἐπὶ τὰ ἴσα πείθειν ἐπιχειρεῖν, καὶ κακῷ τὸ κακὸν ὡς λόγος ἰᾶσθαι· ἀλλὰ μὴ διὰ τῶν βελτιστων ἐντεῦθεν ὡς μάλιστ' ἀπάγειν, καὶ τούτοις ὡς οἷόν τε

,, est? Neque sane Lacedaemoniis neque Thebanis neque ,, aliis quibusvis gentibus ritus suos exprobramus, verum ,, hos ei tribuimus, qui primus rem publicam in quaque ,, gente constituit ,,.

41. Tibi equidem, Demosthene, adsentior de populorum variis consuetudinibus, propterea quod alios atque alios legum latores sortiti fuerunt, prout fortuna aut aetas incidens tulit. A te vero libenter rescirem, num ea in quibus populorum inter se ritus differunt, sint e numero utilium, an potius publice ac privatim perniciosorum? Si perniciosa dices, primum quidem satis est absurdum et improbum, per haec nos ad aequalitatis studium impellere, ac malum malo, ut aiunt, mederi; et non potius per optima ab illis maxime avertere, atque ad haec pro viribus advocare. Tum opus esset, per-

προσάγειν· ἔπειτα μετὰ τῆς ἀτελείας καὶ ταῦτ' ἐξαίρειν ὥσπερ τινας κῆρας προσῆκε τοῦ βίου, καὶ παραπέμπειν εἰκότως εἰς τὸ τῶν ποιητῶν ὄρος καὶ κῦμα (1)· μὴ γὰρ οὖν εἴη μηδὲν τὸ παράπαν, ὃ δημοσίαν ἴσχει τὴν βλάβην· εἰ δὲ ταῦτα μὲν κοινοῦ τινος κέρδους εἵνεχ' εὑρέθη, καὶ τοῦ τὰ γιγνόμενα δύνασθαι συντελεῖν, ἀτελείας δὲ οὐδὲν μᾶλλον ταῖς λειτουργίαις ἐχθρὸν (ὅταν δὲ ταύτας λέγω, τὴν πόλιν λέγω, δι' ὧν ταύτῃ τὸ σώζεσθαι) τί περιττὰ συλλογίζῃ, καὶ σοφιστὴς ὧν οὐκ ἔξεστι γίγνει, τὴν μὲν πρὸς ἃ μὴ χρὴ παραβάλλων, ἡμᾶς δ' ἐντεῦθεν ὡς ἀγαθοῦ τινος ταύτης ἀντέχεσθαι πείθων;

μβ. Τὸ δ' ἐστιν ἀτεχνῶς ἐπίβουλον, καὶ πειρωμένου τὴν πόλιν ἐσχάτοις περιβάλλειν κακοῖς· ὥσπερ γὰρ τὸ τοῖς ἀδικοῦ-

niciosa illa quae dixi, una cum ipsa immunitate ceu fata quaedam ex hominum vita eximere, atque ad poetarum montem et undam merito amandare; nequid iam superesset, quod publicis rebus noceret. Verum si illa varietas rituum publicae commoditatis causa excogitata est, atque ut cuique genti congrua perfici queant; nihil autem immunitate inimicius officiis est (porro officia cum dico, civitatem dico; nam haec illis continetur) cur iam cavillaris, atque artificem haud recti sermonis agis? dum immunitatem ad dissimilium comparationem vi trahis, atque hinc nobis auctor es retinendi eam, quasi aliquid frugi sit.

42. Utique hae viri insidiae sunt conantis urbem obstringere summis malis. Nam sicuti nemo per deos negabit, reverentem eum esse legum qui persequi iniustos

(1) Heliconem et Hippocrenen.

©BIU Santé

σιν ἐπεξιέναι καὶ πολεμεῖν διὰ πάντων αἱρεῖσθαι οὐδ' ἂν εἷς φαίη μὰ τοὺς θεοὺς μὴ οὐχὶ τιμῶντος τοῦτ' ἐστὶ τοὺς νόμους, οὕτως ἐάν τις τοῖς λυμαινομένοις τῇ πόλει μετὰ πολλοῦ τοῦ περιόντος συνηγορῇ, τεκμήριον ἐναργὲς παρέχεται γνώμης οὐχ ὑγιοῦς, καὶ τὰ δεινότατα καθ' ἡμῶν τεχνωμένης· καίτοι ὅταν διὰ τὴν ἐξ αὐτῶν βλάβην ἐκτρεπώμεθα σφᾶς, τίνος ἂν εἰκότως ἄξιος εἴη, ὁ δι' ὧν τούτοις συνηγορεῖ, αὐτός τε τοιοῦτος ὢν, καὶ τούς γ' ἄλλους ἐπὶ τὰ ἴσα παροτρύνων; ἐπεὶ καὶ τὸ συκοφαντεῖν, καὶ δωροδοκεῖν, καὶ ἀσελγαίνειν, καὶ λάθρα τοῖς πολεμίοις κεχρῆσθαι, καὶ φάρμακα καθ' ὁτουοῦν συντιθέναι, καὶ νὴ Δία γε λησταὶ, καὶ τοιχωρύχοι καὶ τοῦ πονηροῦ κόμματος ὁστισοῦν, τότε μᾶλλον μισοῦνται καὶ δίκην ὑπέχουσι μείζω, ὅταν οἷς δρῶσιν ἐγκαλύπτεσθαι δέον καὶ τρέμειν, οἱ δ' ἐπὶ τούτοις τοσοῦτον φρονῶσιν, ὡς καὶ σεμνύνειν ταῦτ' ἐθέλειν πρὸς πάντας· διττὰ δήπου νοσοῦντες, κακίαν καὶ θράσος· καὶ μὴ δ' ἑκάτερον συνιέντες, ἀλλὰ

atque oppugnare studet; ita si quis nocuos civitati multo conatu adiuvet, manifestum edit indicium mentis vesanae, et pessima in nos molientis. Iam si homines illos propter labem inde manantem aversamur, quanam hic poena dignus est, qui dum improbis eiusmodi opitulatur, talem se ipse praebet, et alios ad paria facinora incitat? Iam et sycophantia, et donorum acceptio, et lascivia, et clandestina cum hostibus foedera, et venenorum propinationes, et per Iovem latrones, parietumque effossores, et pessimae quispiam notae, tum maxime odio habentur, maioresque poenas dant, cum quae agunt, nedum ut par esset occulunt atque exhorrent, sed tanta audacia efferuntur, ut iis gloriari palam non dubitent; duplici labe laborantes, malitia atque impudentia: neque

©BIU Santé



καὶ δίκην τίνοντες ταύτην, τὸ δημοσίᾳ σφᾶς αὐτοὺς ἐξελέγχειν.

μγ. Καὶ μὴν οἷς ἡμᾶς κἀκείνως φενακίζειν ἐπιχειρῶν οἴει λανθάνειν, τούτοις οὐδὲν ἧττον ἁλίσκει πονηρευόμενος, καὶ κατ' αὐτὸς σαυτοῦ μᾶλλον, ἢ ἡμῶν αὐτῶν· οὐ γὰρ ὡς ἔννομόν τι καὶ τοῦ ἐκεῖθεν ἐξημμένον ἀνάγκης ἔχων ἀτέλειαν δεῖξαι, οὐδὲ τοὺς ταύτης πέρι διαγορεύοντας νόμους εἰς μέσον θεῖναι, κἀντεῦθεν ὡς νομίζεις ἐξελέγξαι Λεπτίνην, σὺ δὲ καὶ οὕτως σφόδρ' ἑτέρως ποικίλλεις καὶ περιάγεις τὸν λόγον, ὡς καὶ πείθειν ἔχειν ἐκ τοῦ παραχρῆμα δοκεῖν, καὶ τοὺς μὴ πάνυ τοι προσεσχηκότας ἑτοίμως χειροῦσθαι· εἰ γὰρ οἱ μὲν νόμοι κελεύουσι φὴς διαῤῥήδην βεβαίας εἰς τέλος εἶναι τοῖς εἰληφόσι τὰς δωρεὰς, καὶ μὴ δὲ καθ' ὄντινα δήποτε τρόπον ταυτασὶ κεκινῆσθαι, ὁ δὲ ἃς δεδώρηταί τισιν ἀτελείας

saltem alterutrum intelligunt, sed causam suam gravant, dum se publice reos arguunt.

43. Porro autem qui isto pacto fucum nobis clandestino facere putas, hinc adeo maleficus argueris, et quidem ipsi tibi quam nobis magis. Cum enim haud queas immunitatem demonstrare legitimam, neque ulla iuris necessitate fretam, neque tabulas proferre possis quae de illa loquantur, quibus nixus Leptinem, ut certe putas, coargueres; tu nihilominus tam adulterino colore varias versasque orationem, ut hac improvisa specie persuadere etiam videaris, et eos qui minus circumspecti sunt decipere. Nam si leges, inquis, diserte iubent, ut his, qui acceperunt, rata in perpetuum dona sint, neque sinunt ea ullo pacto commoveri; qui quas dedit nonnullis civitas ad omnem eventum immunitates, has decreto suo irritas omnino et nunc et perpetuo reddit; is inquam tan-

ἡ πόλις ἐν παντὶ τῷ παρασχόντι (1), ταύτας δι' ὧν νομοθετεῖ νῦν, ἀκύρους καθάπαξ ποιεῖ καὶ νῦν καὶ εἰσαῦθις, πῶς οὕτω παραβαίνων τοὺς νόμους, καὶ κατὰ τοῦτο δίκαιος ὢν τὴν τῶν παρανομούντων καὶ αὐτὸς ὑποσχεῖν, ἔπειθ' οἷος ἔσται περὶ ὧν συμβουλεύει παρ' ἡμῶν πεπιστεῦσθαι; οὐ ταῦτα λέγεις ἄνω καὶ κάτω στρέφων, καὶ συνεχῶς ἐρωτῶν, εἰ μὴ δίκαιον τοὺς εὖ πεπονθότας διὰ τέλους εὖ πάσχοντας εἶναι, καὶ μετέχειν ἐσάπαν τοῦ γέρως; ἔχε δὴ καὶ σκοπόν· ἐπέταξεν ὁ τοὺς νόμους τιθεὶς, μὴ χρῆναι τὰς δωρεὰς ἀφαιρεῖσθαι· ἀτελείας δὲ οὐδ' ὁντινοῦν τὸ παράπαν ποιεῖται λόγον, ἀλλ' ἁπλῶς οὑτωσὶ δωρεῶν, πλὴν εἰ λάθρα αὐτὸς λέγοντος ἤκουσας· τί οὖν ἃ μὴ ἐκεῖνος ἐμνήσθη, ταῦτ' αὐτὸς κακῶς ὑφαρπάζεις, καὶ τὰ μὴ δοκοῦντα τοῖς νόμοις, ὡς νόμοις δοκοῦντα λέγεις, ὁμοῦ μὲν τούτους ἐντεῦθεν συκοφαντῶν, ὁμοῦ δὲ καὶ ἡμᾶς ἐλέγχων μηδὲν εἵνεκα νόμων ἐπισταμένους;

tus legum effractor, ideoque dignus qui legiruparum poenas luat, tamen poterit suadere nobis consilia quorum auctor est? Nonne tu ais, permultis verbis circumloquens ac saepe auditorem rogitans, aequum esse ut qui praemium impetraverunt, eo perpetuo fruantur? Esto tibi ratum hoc votum. Cavit legislator, ne dona cuipiam eripiantur; de immunitate tamen nullum verbum facit, sed unice de donationibus; nisi tu forte clam loquentem audisti. Cur ergo quae legislator non commemoravit, haec tu improbe tibi vindicas? et quae legibus minime definita sunt, ea tu legitima appellas? leges simul calumnians, simulque nos vituperans, quasi nullam legum scientiam teneamus.

---

(1) Vulgo apud Italos *in ogni dato.*

μδ. Εἰ δὲ τοῦτο λέγεις, ὡς ἐν τῷ δωρεὰς εἰρηκέναι, συμπεριειλήφει καὶ ταύτην, δῶρον γὰρ δήμου καὶ τοῦτο, ἐκεῖνο πάντως ἐροῦμεν, ὡς οὐχ ὃ τοὺς μὲν εἰληφότας ἰδίᾳ σεμνύνει, τῷ δὲ παρασχόντι κοινῇ λυμαίνεται δήμῳ, τοῦθ' ὡς ἀληθῶς δωρεὰ, ἀλλ' ὃ καὶ τούτοις κἀκείνοις πρὸς κέρδους ἐστίν· ὡς ἐκεῖνο γε, δωρεὰ μὲν τοῖς λαβοῦσι, πρὸς δὲ τὴν πόλιν ζημία· ταύτην δῆτα καὶ πάντες οἱ νόμοι φασὶ δωρεὰν, καὶ ὅπως μηδεὶς ἐκπεσεῖται ταύτης, ἐφρόντισαν, ἅτε κοινοὶ παιδευταὶ καὶ κηδεμόνες τῶν ἡμῖν προσηκόντων· ἀτέλεια δὲ εἰ μὲν τῇ πόλει ξυμφέρει, δωρεὰ προσειρήσθω, καὶ τῶν ἐχόντων ἀναφαίρετος ἔστω· εἰ δὲ λυμαίνεται καὶ διαφθείρει καὶ πάντα ποιεῖ, τί παραλογισμοῖς τισι κεχρημένος, ὥσπερ παρέγγραπτόν τινα καὶ ὑποβολιμαίαν, φιλονεικεῖς ταύτην εἰσποιῆσαι τοῖς νόμοις; ὁρᾷς ὅπως διὰ σαυτοῦ τὸ ξίφος ἐπὶ

44. Quod si forte ais, cum donum dicitur, immunitatem simul intelligi, quod item populi donum est; aio sane confidenter, haud illud esse donum, quod privatis quidem hominibus prodest, danti autem populo generatim nocet; sed illud potius quod huic et illis emolumento est: aliter enim quod accipientibus donum est, civitati in multam cedit. Iam prius illud leges cunctae donum appellant, et ne quisquam ab eo excidat cavent, tamquam magistrae quaedam et curatrices bonorum nostrorum. Porro immunitas si forte civitati prodest, dicatur sane donum, neque eam potientibus eripere liceat; sin usquequaque nocet et vastat, cur diu cavillando laboras ut hanc ceu reiectaneam quandam et spuriam inter leges adoptes? Viden ut gladium per tuum latus in alios traiicias? dumque alios ferire existimas, ipse plagam excipias? qui scilicet propter

τοὺς ἄλλους ὠθεῖς, καὶ παίειν ἑτέρους (1) δοκῶν, αὐτὸς ὑφίστασαι τὰς πληγάς; ὑπὸ τοῦ θρασυτάτου τῆς γνώμης καὶ τοῦ φιλονικεῖν ἔχειν ἀσχέτως, μὴ ὅτι τοῖς σοῖς λόγοις παρὰ τῶν ἄλλων ἀπαντήσεται ξυνιεὶς; ὁποῖον δὴ κἀκεῖνο, καὶ ταυτά φασι γυμνασίου.

με. Οὐ γὰρ ἀνέχεται Δημοσθένης ὡς ἔοικεν, ὦ ἄνδρες ἀθηναῖοι, ἑνί γέ τῳ καὶ δυοῖν δόξαι κακὸς, ἀλλ᾽ ἐκ περιουσίας τοῦτο ὢν ἐληλέγχθαι· πρὸς γὰρ αὖ τοῖς ἄλλοις, οἷς κατὰ Λεπτίνου χρησάμενος ἔγνω πᾶσαν μὲν αἰτίαν ἐπενεγκὼν, ἐκ δ᾽ ἄρα πασῶν ταῖς ἀληθείαις ἀποκρουσθεὶς, ὁ δὲ καὶ παρανόμων ἀξιοῖ τοῦτον γεγράφθαι, ἐφ᾽ ᾧ καὶ αὐτὸς νῦν μᾶλλον ἢ πρόσθεν τ᾽ ἀληθοῦς καταψευδόμενος ἐστι· « τί γάρ » φησὶ; χρὴ τοίνυν Λεπτίνην μὴ πρότερον τιθέναι τὸν ἑαυ» τοῦ νόμον, πρὶν τὸν παλαιὸν τοῦτον ἔλυσε γραψάμενος·

summam audaciam tuam perpetuumque digladiandi morem, non consideras quid orationi tuae ab aliis opponetur: veluti illud; atque haec, aiunt, demosthenicae palaestrae sunt.

45. Neque vero satis est Demostheni, o Athenienses, hac et illa re videri improbo, sed talem se quaquaversus ostendit. Nam praeter argumenta cetera, quibus fretus contra Leptinem sententiam dixit, omne quidem criminationum genus attingens, sed tamen undequaque veritate exclusus; nunc audet violatarum quoque legum Leptinem accusare; qua in re multo adhuc magis quam antea a veritate se abhorrentem demonstrat Quid ergo ait? "Oportet Leptinem non „ prius suam legem ferre, quam hanc aliam veterem ac-

(1) Cod. ἑτέροις.

©BIU Santé



„ νῦν δὲ μαρτυρίαν καθ' ἑαυτοῦ καταλείπων ὅτι παρανο-
„ μεῖ, τουτονὶ τὸν νόμον ὅμως ἐνομοθέτει· καὶ ταῦτα ἑτέρου
„ κελεύοντος νόμου, καὶ κατ' αὐτὸ τοῦτο ἔνοχον εἶναι τῇ γρα-
„ φῇ, ἐὰν ἐναντίος ᾖ τοῖς πρότερον κειμένοις νόμοις (1) „.
Χρὴ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μάλιστα χρὴ, τὰ τοιαῦτ' οὕτως περαίνειν, καὶ τοῦτον τὸν τρόπον αἱρεῖσθαι νομοθετεῖν· καὶ τὸν μὴ ταύτῃ γε παρεσκευασμένον, ἀλλ' ὁμόσε χωροῦντα, πρῶτος ἔγωγ' αὐτὸς ἕλοιμ' ἂν παρανόμων, ὅτι μὴ συνίδοι τὸ δέον.

μϛ. Ἀλλ' οὐ Λεπτίνης τοιοῦτος· πόθεν; πολλοῦ γε καὶ δεῖ· εἰ μὲν γὰρ ἀτέλειαν ὁ νόμος ἐκέλευεν εἶναι, ὁ δ' οὐ προσεῖχεν, ἀλλὰ καὶ πρὶν ἢ λελυκέναι τὸν νόμον καὶ δεῖξαι μὴ καλῶς εἰρηκότα, τἀναντία νομοθετεῖν αὐτὸς ᾤετο χρῆναι, μαρτυρίαν καθ' ἑαυτοῦ καταλείπει ὅτι παρανομεῖ·

„ cusatam abrogaverit. Nunc ille aperte profitens se fa-
„ cere contra legum praescripta, suam hanc legem ob-
„ trudit. Et quidem alia lege iubente, ut ea lex ob id
„ ipsum quaestioni obnoxia sit, si forte veteribus legibus
„ adversetur „. Interest sane Athenienses, plurimi inquam interest, haec ita peragere atque hoc pacto velle legibus ortum dare: atque eum qui non hac sed contraria ratione utatur, ego in primis reum faciam laesarum legum, quia officium negligit.

46. Sed valde abest ut Leptinis causa eiusmodi sit. Nam si immunitas lege fuisset decreta; is autem hoc iure neglecto, et lege nondum antiquata, neque eiusdem iniquitate demonstrata, contrariam legem scribendam iudicavisset, prorsus ipsemet reum

(1) Demosth. ed. Wolf. p. 555.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 524 sur 544

νῦν δὲ οὔτε νόμος ἦν ὁ κελεύων, οὔθ' οὗτος δήπου παρανομεῖ, τοιαῦτα νομοθετῶν· οὐ μᾶλλον γε ἢ Σόλων ὁ παλαιός· ἀλλ' εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὁ τἀναντία τοῖς φανεροῖς φρονῶν, καὶ τὸ μὲν κοινῇ σῶζον τὴν πόλιν, οὐ μὰ Δία σκοπῶν, ὃ δὲ πρὸς ὀλέθρου ταυτηὶ καθειστήκει, πᾶσαν εἰσφέρων ὑπὲρ τούτου σπουδήν· καὶ τῷ τοῖς λόγοις ᾗ βούλεται δύνασθαι χρῆσθαι, νῦν μὲν πρὸς τὸ δοκοῦν ἑαυτῷ μεμνημένος τῶν νόμων, νῦν δὲ τοὺς οὐκ ὄντας νόμους εἰς νόμους τιθείς· ὁποῖος αὐτὸς εἶ· ὥσθ' ὅταν ταῦτ', ὦ Δημόσθενες, λέγῃς, σαυτοῦ κατηγορεῖς οὐ Λεπτίνου· εἴ γε ὁ μὲν οὐ νόμου δή τινος περὶ ἀτελείας κειμένου, ἀλλ' ἔθους χθὲς καὶ πρώην, ὦ Ζεῦ, εἰσκεκωμακότος τῇ πόλει, τὸν ὑπὲρ τῆς πολιτείας τοῦτον εἰσήνεγκε νόμον, (ὃν) κάλλιστον καὶ δικαιότατον πάντες ἂν φαῖεν· σὺ δ' αὐτὸν ἐλέγχειν ἐπιχειρῶν, οὐ νόμῳ τοῦτο ποιεῖς, ἀλλὰ κενοῖς τισι λόγοις καὶ μύθοις παράγων, νό-

se faceret laesi iuris. Sed revera neque ulla lex immunitatem iubet, neque Leptines huic contradicit dum suam fert: neque magis inquam peccat, quam vetus ille Solo: sed ut vere dicamus ille peccat cuius sententia contra evidentiam est: qui quod publicam civitati salutem parit, haud hercle spectat; quod autem ad illius exitium natum est, id omni ope tuetur: qui verbis pro libito utitur; et modo ad leges provocat si secum conspirare videantur; modo quae nullae sunt, recenset in legibus. Atque haec facinora tua, Demosthene, sunt. Quare cum sic loqueris, temet potius accusas quam Leptinem: siquidem hic nulla quum esset scripta lex de immunitate, sed consuetudo quaedam heri aut nudiusterius, o Iupiter! illapsa in urbem, hanc pro rep. legem tulit, quam egregiam atque iustissimam omnes fatebuntur; quamque tu

μων μὲν καὶ ἀληθείας καθάπαξ ἀποστατοῦσι, ψεύδους δὲ καὶ παρανομίας μεστοῖς, κἂν χρησμῶν οὐδὲν ἧττον τούτοις αὐτὸς ἰσχυρίζῃ.

μζ. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ταύτῃ μάλιστα καταψεύδει Λεπτίνου, ὡς ἐν τῷ δυσμεναίνειν ἰδίᾳ τισὶν, οὐ τῷ τῆς πόλεως προνοεῖσθαι τεθεικότος τὸν νόμον· ἐπεὶ ὅτι γε τοῦτ᾽ ἔστι, καὶ οὐχ ὧν αὐτὸς εἵνεκα φάσκεις, ἐπὶ ταῦτα προήχθη, δῆλον ἐντεῦθεν· πρῶτον μὲν ὅτι πᾶς ὁτῳοῦν χαλεπαίνων, κατ᾽ αὐτοῦ μόνου χρῆται τοῖς λόγοις, καὶ τοῦτ᾽ ἀντὶ πάντων ἐσπούδακεν, ὅπως βέλτιστον μὲν ἑαυτὸν διὰ πάντων, ἐκεῖνον δὲ παμμίαρον καὶ κάκιστον ἀνθρώπων ἀποφανεῖ, ἐλέγχων, ἐγκαλῶν, διαβάλλων, πᾶσιν οἷς ἔξεστι κατατρέχων· οὐ μέντοι μὰ Δία νομοθετῶν· οὐ γὰρ οἷόν τε ταῦθ᾽ ὁμοῦ συνελθεῖν, νόμον καὶ τὸ γεγράφθαι· τὸ μὲν γὰρ ἔλεγχός ἐστι καὶ διαβολὴ πονηρίας, καὶ τοῦ κακόν τινα εἶναι· ὁ δὲ

non lege aliqua oppugnas, sed vanis quibusdam sermonibus atque fabulis, lege omni ac veritate alienis, mendacio et iniquitate scatentibus; quamquam his tu haud minus quam oraculis niteris.

47. Neque id solum, sed aliud quoque mentiris contra Leptinem; nempe quod ob privatam in aliquos simultatem, non ut urbi consuleret, legem scripserit. Sed enim quod urbis iuvandae causa, non ob ea quae tu ais, hoc Leptines consilium capessiverit, declarare sic licet. Primo quidem quia quivis cuipiam iratus, contra hunc unum orationem intorquet, praecipueque dat operam ut se optimum, adversarium autem scelestissimum hominum pessimumque demonstret, arguendo, accusando, obloquendo, omni ope ac viribus incessendo, non autem mehercule legem aliquam scribendo. Neque enim simul

κοινή τις πρὸς μὲν τὰ βέλτιστα προτροπὴ, τῶν δὲ χειρίστων ἀπαγωγὴ, ὡς τὰ μὲν φεύγειν, τὰ δ' αἱρεῖσθαι.

μη. Πῶς οὖν ἤμελλε δήπου Λεπτίνης, ἀφεὶς οἷς ἐγκαλεῖν εἶχεν ἐπεξιέναι, τούτοις ὅπως ἔσονται βέλτιστοι παραινεῖν; καὶ οὓς κακῶς πεπονθότας ἥδιστ' ἂν εἶδε, τούτων ὡς ἑταιροτάτων τε καὶ φιλτάτων ἀντιποιεῖσθαι; οὐκ ἔστι ταῦτα οὐκ ἔστιν· εἰ δ' ὁ μὲν, ὅπως μηδεὶς ἀτελὴς εἴη τῶν πάντων θέμενος νόμον, αἰτιώτατος ἄλγους τοῖς ἀτελείας κεκτημένοις κατέστη, σὺ δ' ἐντεῦθεν ῥᾷστα συλλογίζει τὸ μῖσος, ὥρα σοι καὶ περὶ πάντων ὡς εἰπεῖν τῶν νομοθετῶν ταῦτ' ἐψηφίσθαι, καὶ δίκην ἀπεχθείας καὶ τούτοις λαχεῖν, ὅτι σωφροσύνης πέρι καὶ δικαιοσύνης καὶ τῶν ἄλλων διεξιόντες, οὐ πᾶσιν ἁπλῶς εἰσὶ δήπου κεχαρισμένοι, ἀλλὰ τοῖς εὖ ἥκουσι τρόπων· ὡς τούς γε πο-

fieri potest et legis latio et hominis accusatio: quippe haec fit criminatione scelerum et patefactione quod aliquis improbus sit; illa est communis quaedam ad virtutem cohortatio, atque a vitiis abductio; nempe ut haec fugiamus, illam amplectamur.

48. Qui ergo fieri poterat ut Leptines omissa persecutione eorum quos erat accusaturus, hos potius ad virtutem cohortaretur? et quos miseros libentissime aspiceret, eosdem ut amicissimos et carissimos lege sua tueretur? nonne incredibile id est? Quod si Leptines legem scribendo nequis omnino officiorum onere vacet, magnum immunibus inussit dolorem, tuque hinc facile odii coniecturam facis, superest tibi ut cunctos prope legum latores hac incessas criminatione; hique etiam odii culpam sustineant, qui iustitiae, pudoris, aliarumque virtutum causam orando, non omnibus generatim rem gratam fecerunt, sed bene moratis. Secus

©BIU Santé



νηροτάτους καὶ τἀναντία τοῖς νενομισμένοις φρονοῦντας οὐδ' ἔστιν εἰπεῖν ὅπως ἀηδῶς ἔχουσι τούτοις.

μθ. Ἔπειτα εἴ σε τις, ὦ Δημόσθενες, ἔροιτο, τίνες πόθ' οὗτοι, οὓς δυσχεραίνων Λεπτίνης τὸν νόμον ἔγραφεν, οὐκ ἄν μοι δοκεῖς ἔχειν εἰπεῖν· ἀλλ' ὅτι μὲν εἰσὶ τινὲς ἁπλῶς, οὕτως εἰρήκεις, τίνες δὲ οὗτοι, λέγειν οὐκέτ' ἀξιοῖς· οὐ τῷ μὴ βούλεσθαι Λεπτίνην ἐκ περιουσίας ἐλέγχειν, ἀλλὰ τῷ μηδέν τι περὶ αὐτῶν σαφὲς ἔχων εἰπεῖν, ἔπειτ' ἐκ περιουσίας αὐτὸς ἐληλέγχθαι βούλεσθαι· οὐ γὰρ ἂν εἴ γ' εἶχες ὀνομαστὶ τούτων μεμνῆσθαι, σιγῇν ἠνέσχου· οὐδ' ἂν παρόντων ἐφείσω, ὁ καὶ μὴ παρόντων εἰς τοὺς περὶ τούτων λόγους ἐμπίπτων· οὐ μόνον ὅτι πάντων μάλιστα τὰ τοιαῦτ' αὐτὸς ἑτοιμότατος εἶ, ἀλλ' ὅτι σοι καὶ τοῦτο πρὸς τὸν ἀγῶνα τὸν σὸν συνῆρατ' ἂν οὐ μικρῶς· νῦν δ' οἷς ἀνωνύμως προήνεγκας, οὐ μόνον ἀπει-

autem pessimi quique et patrii iuris osores, dici non potest quam huic legi infensi sint.

49. Deinde si quis a te sciscitaretur, Demosthene, quibusnam iratus Leptines hanc legem scripserit, neminem ut arbitror nominares. Verum ubi aliquot esse nude adfirmasti, quinam hi reapse sint, dicendum non putas: non quod nolis Leptinem copiosissime coarguere, sed quod nihil exploratum de his dicere habeas: quo fit ut ipse calumniator luculentissime convinci velis. Neque enim si haberes quem nominatim appellares, silere patereris: neque existentibus hominibus parceres, qui quidem etiam fictos pro existentibus habens, mentionem horum intulisti; idque ageres non solum quia paratissimus ad rem eiusmodi es, sed quia haec non parum causae tuae prodesset. Nunc quoniam de anonymis loqueris, non solum incredulos audientes habes, verum etiam

θοῦντας ἅπαντας ἔχεις, ἀλλὰ καὶ δόξαν παρέχεις μηδ᾽ ὅλως τούτους αὐτοὺς εἶναι, ἀλλ᾽ ὑπὸ σοῦ συντεθεῖσθαι· οὕτω δὲ μὲν τοῦ μεμνῆσθαι μόνον, προστρίψασθαι δόξαν οὐ καλὴν ἐθέλων Λεπτίνῃ, δὲ δ᾽ αὖ τοῦ μὴ πρὸς ὄνομα φάσκειν, αὐτὸς τὸν ἔλεγχον φεύγων, ἔλαθες, ὦ Δημόσθενες, καὶ σαυτὸν ὡς οὐκ ἀληθῆ λέγεις ἐλέγξας, καὶ Λεπτίνην ὡς ἀληθῶς ἀλλ᾽ οὐχ ἡττώμενος πάθους εἰσῆχε τὸν νόμον.

ν. Καὶ τὴν μὲν ἐκ Μιλήτου (1) φασὶ Διοτίμαν ἐπεὶ δέκα ἔτη ἀναβαλέσθαι τῇ πόλει δυνηθεῖσα τῆς νόσου, οὐχ οἷα θ᾽ ὑπῆρξε καὶ τὸ πᾶν ἐξεργάσασθαι, οὐδὲ τοῦτ᾽ εἰργάσθαι νομίσαι, οὐδὲ χρῆσθαι τοῖς πράγμασιν ἐν καιρῷ· ὥς τε διχόθεν αὐτὴν βεβοῆσθαι, ἔκ τε ὧν ἐδυνήθη τοσοῦτον, ἔκ τε ὧν ὅπως οὐ τὸ πᾶν ἐδυνήθη· ἡ δ᾽ ὥσπερ μηδὲν ἐπιδεδειγμένη, οὕτω δυσ-

opinionem iniicis nullos prorsus esse hos, sed confingi a te. Sic dum ista tua fugitiva mentione haud bonam famam aspergere Leptini vis, dumque interceptis nominibus, quominus ipse coarguaris caves, non sensisti, o Demosthene, te haud veriloquum a te ipso prodi, Leptinem autem veraciter nullisque simultatibus victum legem tulisse.

50. Aiunt Diotimam Mileti civem quum ab urbe nostra pestilentiam annis decem averruncasset, neque hanc tamen prohibere in perpetuum potuisset, nihil se fecisse opinari solitam, neque commodam reip. opem tulisse. Quare dupliciter celebrata fuit, tum quia tantopere potuerit, tum quia non omnia potuerit: ipsa tamen, tam-

---

(1) Cod. Μυλίτου. Rem narrat Plato conviv. p. 201. tom. III. ed. Ser. Sed Plato, itemque Maximus tyrius or. VIII, et ipse Aristides in oratione pro quatuor viris ed. Iebb. T. II. p. 127. μαντινικὴν *Mantineae civem*, non *Mileti*, dicunt Diotimam.

χεραίνουσα ἦν· σὺ δὲ τοσοῦτον χρόνον νοσοῦσαν ἐξ ἀτελείας τὴν ἐνεγκαμένην ὁρῶν, οὔτ' αὐτὸς ᾤου δεῖν ταύτης ἀπαλλάξαι τῆς νόσου, καὶ ταῖς τῶν λόγων ἐπῳδαῖς ὡς εἰκὸς ὑπὲρ ταύτης κεχρῆσθαι; ῥᾴδιον ὂν παντὸς μᾶλλον, τόν τε καλὸν κἀγαθὸν τουτονὶ Λεπτίνην κάλλιστα πάντων καὶ τῇ τῶν θεῶν τοῦτ' εἰργασμένον προνοίᾳ, ἥδιστα ἄν, εἴ περ ἦν, εἰς τοὺς σικελικοὺς ὤσας κρατῆρας, πανταχόθεν ἐπιχειρῶν τοῦτον ἐλαύνειν, καὶ πᾶσιν οἷς ἔξεστι διαβάλλων, ὅπως τὸν μὲν, ὦ θεοὶ καὶ νόμοι, δοῦναι δίκην παρασκευάσῃς, ὡς δι' ὧν εἰσηγεῖται τοῖς πράγμασι δυσμενῆ· ἀτέλειαν δ' ὥσπέρ τινα φυγάδα καὶ ὑπερόριον καταγαγεῖν αὖθις τῇ πόλει, προπίνων ἐντεῦθεν Κτησίππῳ τὸ ταύτης συμφέρον.

να. « Ἀλλὰ γὰρ τὸ προσγράψαι, φησὶ, μὴ δὲ τὸ λοι-
» πὸν ἐξεῖναι δοῦναι, ἢ θανάτου τὸν τἀναντία γεγραφότα
» τιμᾶσθαι, οὐ μόνον τυράννου δίκην τὸ ταῦτ' ἔχειν συν-

quam nihil confecisset, aegro animo erat. Tu vero quum tamdiu laborantem immunitate patriam videas, haud parem operam dandam existimas, quo morbum ab ea depellas? neque ad hanc curam praestigiis orationis, ut par est, uteris; id quod tibi facillimum esset? Quin potius praeclarum hunc Leptinem, qui egregio consilio suo providentiaque deorum dux facti fuit, tu libenter admodum, si fieri posset, in siculos crateras eiaculareris: quem scilicet undequaque propellis, omnique nisu calumniaris, ut ab eo poenas (o dii et leges!) reposcas, quasi ob ea, quorum auctor est, hostili in remp. animo sit. Immunitatem vero ceu exsulem et extorrem in urbem postliminio rovocas, ut eius commoda Ctesippo propines.

51. « Age vero, inquit, legi adiicere, ut ne in poste-
» rum quidem immunitas concedatur, aut morte cum

,, ἤθως ἐν τῷ τοῦ καιροῦ φιλοτιμεῖσθαι καλοῦντι, ἀλλὰ
,, ϗ τὸ κατ' ἐξουσίαν ἀνῃρήκει τῇ πόλει (1)· εἰ μὲν οὖν κα-
,, θάπαξ ἡμᾶς, ὦ ἄνδρες ἀθηναῖοι, Λεπτίνης μεγαλοψυ-
χίας ἀπείργει, ὡς μή τε τοὺς εὐεργέτας ἀντευποιεῖν οἵους τ' εἶναι, μήθ' ὅλως τοὺς εὖ πάσχειν ἀξίους τοῖς γιγνομένοις δωρεῖσθαι, ἀγνωμοσύνης ἂν εἰκότως φέροιτο μέμψιν, ϗ τοῦ μηδέν τι τῶν δεόντων συμβεβουλευκέναι δύνασθαι· καὶ δεῖ τοῦδε τῷ νόμῳ νόμων ἐξούλης (2) λαχεῖν.

νϐ. Εἰ δὲ πλὴν ἀτελείας πάντων εἶναι λέγει κυρίως, ϗ σίτησιν ἐν πρυτανείῳ ϗ συνοικίας ϗ ἀρχὰς, ϗ γῆς πλέθρα ϗ πάντα τὰ τοιαῦθ' οἷς ἔξεστι νέμειν, ποῦ ταῦτ' ἐστὶν ἐγκαλεῖ ὡς δίκαιος; ὥσπερ ἂν εἰ ϗ ἰατρὸν ἠξίους κακίζειν, ὡς ἀσιτίαν παντελῆ τοῖς κάμνουσιν ἐπιτάττει, παρὰ τὸ μὴ συγχωρεῖν τοῖς βλάπ-

,, qui contraria decreverit multare; id non modo tyranni
,, instar civitati interdicit quominus ipsa more suo cer-
,, tet, ubi res tulerit, bene merendi studiis, verum et-
,, iam eius rei abnegat facultatem,,. Profecto, Athenienses, si nos Leptines liberalitate omnino prohiberet, ut iam neque beneficos remunerari liceret, neque bona re dignos congruentibus praemiis adficere, iure meritoque in ingrati animi reprehensionem incurreret, nihilque officiosum suadere videretur; atque oporteret huic legi iudicium de vi contra alias leges intendere.

52. Sin vero, praeter immunitatem, leges omnes ratas habet, nempe et victum in prytaneo, et contubernia, et primatus; praeter quam quod et agros et alia quaevis cuipiam assignare licet; quonam iure Lep-

(1) Confer Demosth. orat. exord.

(2) De hac locutione docte disputat Morellius in sua aristidea p. 126. n. 1.



©BIU Santé

©BIU Santé



τουσι χρῆσθαι· ἢ καὶ γεωργὸς ἐδόκει σοι φαῦλος, καὶ ταῖς ἀρούραις παντάπασι πολεμῶν, ὁ τῶν λυμαινομένων ἐκκαθαίρων τὴν βλάστην· ἐγὼ δὲ καὶ τοῦτο λέγω, ὡς εἰ μὲν παρανόμων, ὦ Δημόσθενες, γράφει τὸν νόμον, τί περὶ τοῦ μέλλοντος δυσχεραίνεις; αὐτὸ γὰρ τοῦτο τὸ παρανομοῦντ' αὐτὸν εἶναι, τὸ μὴ δὲ τὸ παράπαν εἶναι τοῦτόν ἐστι· μάταιον οὖν περὶ τοῦ μὴ νῦν ὄντος, ὡς ἔτ' ἐσομένου φροντίζειν· εἰ δ' εὖ ἔχειν τοῦτον ὁμολογεῖς, καὶ τὸ μηκέτ' ἂν ἐξεῖναι λελῦσθαι τοῦτον, οὐδὲν ἧττον προσωμολόγηκας· οὐ γὰρ δὴ νῦν μὲν φήσεις τοῦτον λυσιτελεῖν, ὕστερον δὲ οὐκέτι· ἀλλὰ τὸν αὐτὸν διὰ τέλους εἶναι προσῆκεν, εἴ γε μέλλει ταῖς ἀληθείαις τὸ πρόσρημα σώζειν.

νγ. Ἐκεῖνο δ' ἴσως ἐρεῖς, ὡς εἰ τῷ νόμῳ τὸ δίκαιον πρόσεστι, καὶ σύνοιδε Λεπτίνης βεβαίως καὶ ἀσφαλῶς ἔχοντι, τοῦ χάριν καὶ τῆς εἰσέπειτ' ἀσφαλείας προσδεῖν τούτῳ νομίζει;

tines vituperatur? Veluti si medicum reprehendendum putares, quasi aegrotis omni cibo interdiceret, quia non sineret uti nocuis: aut si malus tibi videretur agricola atque arvis infestissimus, quia noxia germina depasceretur. Ego vero etiam hoc dicam: si certe hanc legem contra ius scriptam, o Demosthene, criminaris, cur de futuro tempore laboras? Nam ideo quia contra fas est, nulla ipsa est. Stultum sit igitur quod in praesenti non est, tamquam iam futurum pertimescere. Quod si legem recte se habere fateris, ne dissolvi quidem posse haud minus confessus fueris. Neque porro dicas hanc modo prodesse, postea non item: quippe eam eiusdem esse naturae omni tempore necesse est; si certe sua veritati servanda appellatio est.

53. Dices fortasse: si aequa lex est, eamque stabilem ac tutam Leptines scit, cur ergo futurae quoque eiusdem

©BIU Santé



οὐδεὶς γὰρ τῶν νομοθετῶν περὶ ὧν ἔθεσαν νόμων ταύτην ἔσχον τὴν γνώμην, οὐδ' ἐγγὺς, ἀλλ' ἀποχρῆν ᾤονθ' αὐτοῖς, εἰ μὲν τοῦ δικαίου πᾶσι προσφέροιντο· νῦν δ' οἷς αὐτὸς μόνος τὰ τοιαῦτα διανοεῖ, ἔοικας οὐκ ἀγαθὴν περὶ τοῦ νόμου δόξαν κεκτῆσθαι· ὡς μὲν οὖν ὁ νόμος κάλλιστα καὶ δικαιότατα καὶ ἀσφαλέστατα πάντων ἔχων κοινωφελές ἐστιν ἀγαθὸν, οὐ μόνον, ὦ ἄνδρες ἀθηναῖοι, ἐξ ὧν ἔφην γέγονε δῆλον, ἀλλὰ καὶ οἷς ἐδείξαθ' ὑμεῖς, τῷ τοιοῦτον εὐθὺς ὁρμῇ τινι θεοφορήτῳ καὶ ὅλῳ καὶ παντὶ δεδέχθαι θυμῷ, ὡς καὶ τῆς συνήθους χειροτονίας καὶ ψήφου κοινῆς αὐτὸν ἀξιῶσαι· ὅτι δὲ οὐκ ἄπο λόγου καὶ τὸ τοῖς μὲν ἄλλοις ἅπασι νόμοις μηδὲν μηδ' ὁτιοῦν προσγεγράφθαι, αὐτῷ δὲ μόνῳ τοῦτ' ἐκ περιουσίας ὑπάρξαι, οὐχ ὅπως εἴσεσθε σαφῶς, ὦ ἄνδρες ἀθηναῖοι, ἀλλὰ καὶ φήσετ', εὖ οἶδα, μὴ χρῆναι

securitati prospiciendum existimat? nullus enim legum lator sic de legibus quas ferebat umquam cogitavit; sed sufficere sibi putavit, si aequitatem in omnibus conservaret. Nunc quia tu unus haec consilia agitas, videris haud bonam de tua lege opinionem gerere. Age vero legem praeclaram esse et iustissimam et tutissimam et ad publica commoda natam, non solum, o Athenienses, ex his quae dixi compertum est, sed etiam e significationibus a vobis editis, qui eam divino quodam impetu totisque animis excepistis, ita ut eam sollemni etiam manuum sublatione concordique suffragio sciveritis. Quod autem haud sine causa ceteris legibus nihil adscriptum fuerit, isti vero uni haec clausula accesserit, non solum id manifeste nostis, o Athenienses, verum etiam non dubito quin sitis adprobaturi, haud aliter hanc condi debuisse legem, si modo utriusque rei causas reputaveritis.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 533 sur 544

ταῦτ' ἄλλως ἢ τοῦτον ἐσχηκέναι τὸν τρόπον, εἰ τὰς αἰτίας ἀμφοῖν λογιεῖσθε.

νδ. Εἰ γὰρ δὴ Σόλων μὲν καὶ Λυκοῦργος καὶ ὅστις ἕτερος τῶν νομοθετῶν, οὐδεμιᾶς τινος ἐπικειμένης ἀνάγκης, ἀλλ' ἀπὸ δημοτικωτάτης τῆς γνώμης ἐπὶ τοὺς νόμους ἧκον καὶ τὰς κοινὰς εἰσηγήσεις, Λεπτίνης δ' ὑπ' ἀνάγκης καὶ τοῦ μηκέθ' οἷός τε κινδυνεύουσαν ὁρᾶν ἐξ ἀτελείας τὴν πόλιν· καὶ οἱ μὲν οὐδένα τῶν πάντων δι' ὧν ἐνομοθέτουν ἐλύπουν· οὐδὲ γὰρ οὐδὲ γερῶν ἀπεστέρουν· ὁ δὲ νῦν τοὐναντίον πολλοὺς καὶ παντοδαποὺς τοὺς ταύτης διὰ τὸν νόμον ἐκπεπτωκότας, ἐκπεπολεμωκὼς ἑαυτῷ· οὔτ' ἐκείνους ἐχρῆν, διὰ τὸ μὴ δὲ τηνικαῦτα τοὺς ἀντιλέγοντας ἴσχειν, πρόνοιαν τοῦ μέλλοντος ἡντινοῦν πεποιῆσθαι· οὔκουν οὐδὲ πεποίηνται· οὔτε τούτῳ διὰ τὸ πολλούς τινας τούτους κεκτῆσθαι, σεσιγῆσθαι τὸ μέλλον· οὔκουν οὐδὲ σεσίγηται.

νε. Ἀλλ' ὥσπερ τις ἄριστος ἰατρὸς οὐ νόσους ἀκούμενος μόνον, ἀλλὰ καὶ φάρμακα ἄττα πρὸς τὸ μέλλον ἐπιδιδοὺς, καὶ προσέτι κε-

54. Nam Solo et Lycurgus et quivis alius legum lator, nulla ingruente necessitate, sed civilis tantummodo impulsu animi ad condendas leges venerunt atque ad publicas institutiones; Leptines autem necessitate compulsus, quodque diutius urbem ab immunitate periclitantem spectare non posset. Illi nemini, apud quos leges scribebant, molesti erant, nullisque eos utilitatibus exuebant; e contrario hic multorum ex omni classe mortalium immunitate per legem deturbatorum odia in se convertit. Neque illos oportuit, quum nemo eis contradiceret, de futuro esse sollicitos, ut reapse hac cura vacarunt: neque fieri poterat ut Leptines, cui multi adversabantur, futuri temporis mentionem omitteret, quam utique non neglexit.

©BIU Santé

λεύων μὴ δι' ὧν ἡ νόσος ἐποίει σιτίων, τούτων μηδ' ὁπωστιοῦν διὰ βίου μετέχειν ἐξεῖναι, ἐφ' ᾧ μὴ τῶν αὐτῶν καὶ αὖ πειρᾶσθαι· ὡς δὲ καὶ Λεπτίνης γράψας μηδένα εἶναι ἀτελῆ, ὁ δὲ μὴ δὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι προσγράφει· τό τε νῦν εἶναι, τό τ' εἰσαῦθις εἶναι καθάπαξ ἀσφαλιζόμενος· καὶ τὰ μὲν τῆς πόλεως αἰεὶ προμηθούμενος, τὰ δὲ καὶ τοὺς ἐς νέωτα παραπλησίους Δημοσθένει (1) τὰ τοιαῦτ' ἐσομένους ἀνείργων· εἰκὸς γὰρ εἰκὸς, μᾶλλον δὲ πᾶσα ἀνάγκη, τὸν ἀεὶ χρόνον καὶ χρηστοὺς καὶ φαύλους ἐνεῖναι τῇ πόλει· εἰ δὲ καὶ τυραννίδος εἰς θέσιν νόμων ἐδέησεν εἰστισοῦν, τί καινὸν εἰ καὶ τοῦ εἰσέπειτ' ἀσφαλείας ὑπὲρ τοῦ κοινῇ λυσιτελοῦντος ἐδεήθη Λεπτίνης; ἀλλ' οὐ περὶ τῷ νόμῳ μὰ τοὺς θεοὺς ὡς ἄν τις φαίη δεδιώς· ὁ

55. Ac veluti praeclari medici est non solum morbis mederi, verum etiam pharmaca quaedam in tempus futurum suppeditare, praetereaque iubere ciborum illorum in omni vita abstinentiam per quos morbus invectus est, ne in eamdem aegritudinis vicem reditus fiat; ita etiam Leptines, contra immunitatem lege perlata, adiecit quoque ne in posterum quidem id privilegium dari liceret: rem in praesenti scilicet atque in futuro confirmans: et simul urbi in perpetuum prospiciens, simul eos cohibens qui insequente anno aeque ac Demosthenes adversarii futuri erant. Quippe natura prorsus comparatum est, ut omni tempore boni atque improbi in civitate versentur. Quod si nonnulli ob condendas leges tyrannide quoque opus fuit, quid mirum, si Leptinem, commoditatis publicae causa, se-

(1) Reapse Demosthenes aliique nonnulli post annum a lege lata Leptinem accusaverunt, ut ait auctor argumenti demosthenicae orationis.

γὰρ παρ' ὑμῶν, ὦ ἄνδρες ἀθηναῖοι, καὶ τῆς ὑμετέρας ψήφου παντὸς μᾶλλον ὅτι τῷ βέλτιστος ἐστὶ τὸ συγκεχωρηκὸς ἐσχηκώς, τί παρὰ τοῦτο φαῦλος ἂν ὁ δεῖνα ἢ ὁ δεῖνα ληρῇ;

νϛ. Οὕτως, ὦ Δημόσθενες, ἃ μὲν ὑπὲρ αὑτὸς σαυτοῦ λέγειν ἐδόκεις, ταῦθ' ὑπὲρ Λεπτίνου λέγων ὡς κάλλισθ' εὑρέθης· καὶ οἷς τοῦτον αἱρήσειν ἤλπισας, τούτοις αὐτὸς καθάπαξ ἑάλως· καὶ ἀτελείας μὲν ὑπὲρ ἧς πάντ' αὐτὸς καὶ ποιεῖν καὶ λέγειν ὥσου δεῖν, ταύτης οὐδὲν ἐξωλέστερον ὦπται· ὃν δ' εἰσενήνοχε νόμον Λεπτίνης, τούτου μηδὲν ἀναγκαιότερον κατῆλθε· ὥστε σοι καὶ χάριν ἂν εἰκότως ἔχοι Λεπτίνης οἷς ὅτι πλέον ἐντεῦθεν τοῦτον σεμνύνεις, ἢ εἰ συνειρήκεις τὸ ἐξ ἀρχῆς· τότε μὲν γὰρ καὶ χαρίζεσθαι ἂν ἴσως ἐδόκεις, καί τις ἀφῆκε βέλος ἐξ ἀφανοῦς· νυνὶ δὲ ἀνύποπτος ἡ μαρτυρία ὡς ἄρα

curitati in posterum tempus consulere oportuit? Neque tamen per deos, ut aliquis fortasse dicet, legi suae timebat: quam quum per vos, o Athenienses, perque vestra suffragia optimam haberi liceat, quid iam stultus unus aut alter adversus eam delirabit?

56. Atque adeo, Demosthene, quae pro te dicere existimabas; haec te pro Leptine dixisse belle comperimus: et quibus argumentis hunc a te captum iri sperabas, his ipse omnino irretitus es. Et immunitate quidem, pro qua nihil non faciendum dicendumque putasti, demonstratum est nihil esse perniciosius; quam vero intulit Leptines legem, eius apprime usum esse necessarium. Quare et merito gratiam tibi habet Leptines quod oratione tua legem eius fecisti illustriorem, quam si pedibus initio in eius sententiam ivisses: fortasse enim tunc gratiae causa id facere visus esses, aliquis vero ex occulto telum misisset. Nunc haud suspecto testimonio utimur, quod Lepti-

©BIU Santé



τῶν βελτίστων καὶ λυσιτελεστάτων ἀνὴρ, τῷ καὶ παρὰ τῶν ἐχθρῶν αὐτῷ ταῦτ' ἐψηφίσθαι.

nes vir optimus atque utilissimus sit, quandoquidem haec ipsi laus ab inimicis etiam decreta est.

---

## DE ARISTIDIS FRAGMENTO.

In Aristidis codice florentino saeculi decimi incognitum novae orationis titulum et fragmentum invenit Angelus Bandinius, ut ipse narrat in catalogo tom. II. p. 586, qui et idem fragmentum edidit, quatenus in evanido folio, quod codicis extremum erat, legere id potuit. Ego vero quum in vaticana bibliotheca Aristidis codices perlustrarem, reperi idem prorsus fragmentum in aeque antiqui codicis folio ultimo; ex quo etiam cognovi orationem hanc non idcirco esse mutilam quia folia desint, sed quia reapse antiquus amanuensis nihil amplius quod scriberet habuit: cessat enim scriptura in medio versu. Itaque vel Aristides numquam hunc sermonem absolvit, vel partis reliquae detrimentum antiquius est omni codice, qui ad hanc diem superest. Atque eadem prorsus observatio de sexto quoque Aristidis sermone inter sacros valet, qui aeque imperfectus est in cunctis, qui passim occurrunt, codicibus. Titulus novi fragmenti est tum in florentino tum in vaticano codice, qui florentini veritatem confirmat: πανηγυρικὸς ἐπὶ τῷ ὕδατι ἐν Περγάμῳ. Nunc quia Bandinius difficultate legendi impeditus extremam partem omisit, eam quantumlibet tenuem heic ponere non incongruum est.

. . . Ἀνεμιμνησκόμην δὲ τῶν ποιητῶν, ὅτι νύμφας καὶ μούσας ἀεί πως συνάγουσι· καὶ τὸν Ἑρμῆν ὡς χορηγὸν αὖ προσαγορεύουσι τῶν νυμφῶν· καὶ πάλιν γε Ἀπόλλωνα χορηγὸν

. . . Memineram a poetis nymphas cum musis semper fere congregari; Mercurium ab iis praefici nympharum cho-

μουσῶν· ὁ δ' αὐτὸς οὗτος θεὸς καλλιτέκνου προσηγορίαν ἔχει (1), τοῦ πατρὸς εἵνεκα· ἁπανταχῇ δὴ πρέπον τε καὶ οὐκ ἄωρον ἐφαίνετο τῇ τῶν νυμφῶν χάριτι συγκεράσαι τὴν παρὰ τῆς μουσικῆς· πᾶσι γὰρ ἂν προσήκοντα πράττειν οἷς εἶπον θεοῖς· ἐξ ἀρχῆς δ' ὡς ἔοικε τὰ κάλλιστα ἐδόθη τῇ πόλει καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων. τοῦτο μοι πρεσβύτατοι δαιμόνων ἐνταυθοῖ λέγονται γενέσθαι κάβειροι, καὶ τελεσταὶ τούτοις, καὶ μυστήρια, ἃ τοσαύτην ἰσχὺν ἔχειν πεπίστευται ὥστε χειμώνων τε ἐξαισίων (2) . . . .

ro; itemque Apollinem dici musageten; ipsumque hunc deum appellari callitecnum patris sui causa. Prorsus autem decens neque intempestivum videbatur, nympharum gratiae musicam admiscere. Nam cunctis, quos dixi, diis haec facere congruit. Ab initio autem praeclara quaeque videntur attributa huic civitati a diis hominibusque. Quare audio antiquissimos daemonas istic fuisse Cabiros, atque his initiatores et mysteria, quae tantam habere vim credebantur, ut et tempestatum immanium. . . .

---

(1) Huic deo, cognomento callitecno, templum erat Pergami dicatum. Aristid. serm. sacr. II. ed. Iebb. t. I. p. 294. Iam hic Aristidis locus idoneus videtur definiendae inter Canterum et Iebbium liti, quisnam fuerit hic deus callitecnus; qua de re vide Iebb. adn. t. II. p. 563.

(2) En Cabirorum cultum Pergami quoque frequentatum. Cabiros daemonas diserte aiunt Apollonius rhod. I. 921, et Suidas, nec non Nicetas ad G. nazianzeni or. XXXIX. 5. Cabiris vero initiatos, a marinis nominatim tempestatibus servari solitos, diserte tradunt scholiastae graeci duo, nempe ad Aristoph. pac. v. 277, et ad Apollon. I. 917. In multis qui de Cabirorum religione scripserunt video nuperum auctorem Federicum Rinckium, cuius eruditus ad Cabirorum quandam inscriptionem commentarius Venetiis editus est an. 1820.

©BIU Santé

©BIU Santé



# ATTICISMI.

Caspar Villoisonus in sua diatriba Anecdot. T. II. p. 79. narrat reperisse se in marciano codice 486. Anonymi cuiusdam opusculum ineditum de atticismis, quod ipse luce ibidem donat. Hoc ego opusculum longe auctius in mediolanensi ambrosiano codice E. 81. deprehendi: quare atticismos, qui in marciano deerant, heic recitabo. Sed ante omnia ex ambrosiano corrigam editos atticismos ipsos, quos sive marciani codicis sive editoris vitio depravatos video.

In atticismo tertio Villoisonus οἷον καθήσας κατὰ σαυτόν. Corrigo οἷον καθίσας κατὰ σαυτόν. In octavo Villois. ἀντὶ τοῦ εἰπεῖν οὐκ ἔλαττον, οὐχ ἧττον λέγουσι. In ambrosiano haec ipsa sunt, sed sequitur: τοῦτο δὲ ἀντὶ τοῦ καὶ κρεῖττον λαμβάνεται· οἷον τόδε τοῦδε οὐχ ἧττον, ἀλλ᾽ ἴσον δὴ ἢ κρεῖττον. In undecimo Villois. ἀντὶ τοῦ εἰπεῖν ἐφ᾽ ᾧ, λέγουσι μετὰ μόνης περισπωμένης, ἐφ᾽ ᾧ. Corrigo ἀντὶ τοῦ ἵνα ἀποτελεσματικοῦ, ἐφ᾽ ᾧ λέγουσι μετὰ μόνης περισπωμένης. Post attic. 44. adest in ambr. ἀντὶ τοῦ ἐπήνεσε, λέγουσιν καλῶς εἶπεν, quod deest apud Villois. Post attic. 47. adest in ambr. ἀντὶ τοῦ εἰπεῖν ζῶον ἄλογον βοτάνην ἔσθιον, βόσκημα λέγουσιν, οἱ ποιηταὶ δὲ βοτὸν λέγουσι. Ἀντὶ τοῦ εἰπεῖν κατηγορῶ σου διὰ φόνον, κατηγορῶ σε φόνου λέγουσι, καὶ κατηγορῶ σε κλοπῆς. Atticismus 86. apud Villois. sic habet: ἀντὶ τοῦ εἰπεῖν μετέρχεται ἀπὸ τόπου εἰς τόπον, μεταβαίνει τόπους λέγουσι. At in ambr. pro μεταβαίνει est μεταμείβει, quod melius se habet, et patet ex proximo μετήμειψε. Post atticismum 92. sequitur in ambr. ἀντὶ τοῦ εἰπεῖν σκυθρωπάζει, κατοφύει (credo pro κατοφρυᾶται). In atticismo 106. sic habetur apud Villois. καὶ ἀντὶ τοῦ φοιτᾷ τῷ δεῖνι, μαθετεύεται ὑπὸ τοῦ δεῖνος· ἐπὶ δὲ ἄλλων προσώπων καὶ οὐ διδασκάλων, λέγεται προσφοιτᾷς; μετὰ προσθέσεως. At ambrosianus corrigit καὶ φοιτᾷ τῷ δεῖνι, ἀντὶ τοῦ μαθητεύεναι ὑπὸ τοῦ δεῖνος· ἐπὶ δ᾽ ἄλλων etc. In atticismo 130. apud Villois. ἦλθε ἐπὶ μέγα τύχης λέγουσιν, ἀντὶ τοῦ λίαν εὐτύχηκεν· οὐ λέγεται δὲ καὶ ἐκ τοῦ αἐνντίου καί, ἐπὶ μικρὸν τύχης. Corrigit ambrosianus οὕτω λέγεται δὴ ἐκ τοῦ ἐναντίου, καὶ ἐπὶ μικρὸν τύχης. In atticismo 133. apud Villois. ὡς καὶ παρὰ τῷ ἁγίῳ Κυρίλ-

©BIU Santé



λῳ εὔρηται οὕτως, ἐπικατάρατος ὅστις ἐπὶ τεσσάρων βαδίζει. At in ambr. παρὰ τῷ ἁγίῳ Νειλῳ. In atticismo 135. apud Villois. ἀντὶ τοῦ εἰπεῖν, ἵσταται ἡ ναῦς ἐν τῷ πελάγει μὴ κινουμένη ὑπὸ ἐφόρου, ἀνακωχεύει ἡ ναῦς τῷ πελάγει λέγουσι. At in ambr. ὑπὸ ἐφόρου ἀνέμου. In atticismo 136. apud Villois. ἀντὶ τοῦ εἰπεῖν ἐξεῤῥίφη ἡ ναῦς ἐν ταῖς πέτραις, προσώκειλεν ἡ ναῦς λέγουσιν. At in ambr. post cetera προσώκειλεν ἡ ναῦς ταῖς ῥαχίαις λέγουσι. Hic sistit Villoisonus, seu codex marcianus: at ambrosianus longe plures habet atticismos, quos accipe.

Ἀντὶ τοῦ εἰπεῖν ὁ δεῖνα ἄτονός ἐστι, οὐκ ἔχει δυνάμεως εὖ λέγουσι.

Ἀντὶ τοῦ εἰπεῖν κατηγορεῖται ὁ δεῖνα τοῦ δεῖνος, διώκει ὁ δεινα τὸν δεῖνα λέγουσι.

Ἀ. τ. εἰ. ὁμῆλιξ, ἡλικιώτης λέγουσι.

Ἀ. τ. εἰ. ἐνεργητικὰ ῥήματα, παθητικὰ λέγουσι· πλὴν οὐκ ἐν πᾶσι ῥήμασι, ἀλλ' ἔν τισι. Συνέσιος ἀξιοῦται συντελεῖν ὡς οἱ νεόβουλοι, ἀντὶ τοῦ ἀξιοῖ.

Ἀ. τ. εἰ. ὁ δεῖνα τοῦ δεῖνος κρείττων, ὁ δεῖνα διαπρέπει τοῦ δεῖνος λέγουσι.

Ἀ. τ. εἰ. φίλος, ἐπιτήδειος λέγουσι· λέγουσι δὲ τὸ ἐπιτήδειος καὶ ἀντὶ τοῦ ἁρμόδιος.

Ἀ. τ. εἰ. δυνατοῦ ὄντος γενέσθαι τοῦ πράγματος, ἐνὸν γενέσθαι τὸ πρᾶγμα λέγουσι· τοῦτο δὲ λέγουσι καὶ ἐπὶ τῶν ἄλλων οὐδετέρων μετοχῶν· τὴν γὰρ εὐθεῖαν λέγουσιν ἀντὶ γενικῆς.

Ἀ. τ. εἰ. ἐδημιούργησε τὸν κόσμον, ὑπέστησε λέγουσι.

Ἀ. τ. εἰ. ἄδειαν ἔχεις ποιῆσαι τόδε, ἔξεστι σοι ποιῆσαι τόδε λέγουσι· καὶ ἀντὶ τοῦ εἰπεῖν δύνασαι ποιῆσαι τόδε, ἔνεστι σοι.

Ἀ. τ. εἰ. ὑπέβαλε τῷ δεῖνι λόγους, ὑφῆκε τῷ δεῖνι λόγους λέγουσι.

Ἀ. τ. εἰ. εἰς μῆκος ἐκτεταμένον ἔχει τὸ γένειον, καθεικῶς τὸ γένειον λέγουσι.

Ἀ. τ. εἰ. εἰς μῆκος ἐκτεταμένην ἔχει τὴν κόμην, ἀνεικὼς τὴν κόμην λέγουσι.

Ἀ. τ. εἰ. κεκρυμμένως ἡ γυνὴ τὸν μασθὸν τῷ βρέφει δίδωσι, τὸν μασθὸν ὑφεῖσα τῷ βρέφει λέγουσι.

Ἀ. τ. εἰ. ζητεῖ τῷ στόματι τὸ βρέφος τὸν μασθὸν, μαστεύει λέγουσι.

©BIU Santé



Ἀ. τ. εἰ. μάχεται ὁ δεῖνα πρὸς τόδε τὸ δεινόν, παραβάλλεται λέγουσι.

Ἀ. τ. εἰ. μίγνυται ὁ δεῖνα τῷ δεῖνι, παραβάλλει τῷ δεῖνι λέγουσι· κοινῶς δὲ παραβάλλει πρὸς τὸν δεῖνα· λέγεται δὲ παραβάλλει καὶ τῷδε τῷ βιβλίῳ, ἀντὶ τοῦ συγκρίνει.

Ἀ. τ. εἰ. ὁ δεῖνα ὑποπτεύει τὸν δεῖνα, ὑφορᾶται καὶ ὑποβλέπει λέγουσι.

Ἀ. τ. εἰ. ἀλλαχοῦ, ἄλλοθι λέγουσι.

Ἀ. τ. εἰ. ὡραῖος, καλὸς λέγουσι.

Ἀ. τ. εἰ. δυσειδής, κακὸς λέγουσι· ὡς Ὅμηρος, κακὸς μὲν ἔην ἀλλὰ πρόδωκε.

Ἀ. τ. εἰ. ὁλοτελῶς, παντάπαν καὶ παντάπασι λέγουσι.

Ἀ. τ. εἰ. ἐνώπιον τοῦ δεῖνος εἶπε τόδε, ἐπὶ τοῦ δεῖνος καὶ πρὸ τοῦ δεῖνος λέγουσι.

Ἀ. τ. εἰ. ἐπὶ τῶν ἡμερῶν τοῦ δεῖνος ἐγένετο τόδε, ἐπὶ τοῦ δεῖνος ἐγένετο τόδε λέγουσιν· οἷον ἐπὶ Μωυσέως, ἀντὶ τοῦ ἐπὶ τῶν ἡμερῶν τοῦ Μωϋσέως.

Ἀ. τ. εἰ. εἰς τὸ θανεῖν κατήντησεν, ἢ εἰς τὸ διδάξαι, ἢ εἰς τὸ μαθητευθῆναι, ἐπὶ τὸ θανεῖν λέγουσιν, ἐπὶ τὸ διδάξαι, ἐπὶ τὸ μαθητευθῆναι.

Ἀ. τ. εἰ. ὁ δεῖνα ὑπερβάλλοντα ἔρωτα ἔχει πρὸς τόδε τὸ πρᾶγμα, ὁ δεῖνα προστέτηκε τῷδε τῷ πράγματι λέγουσι.

Ἀ. τ. εἰ. ὁ δεῖνα οὐκ ἐπεμελήθη τοῦδε, οὐκ ἔσχεν ἐπιμεληθῆναι λέγουσιν· οὕτως οὐκ ἔσχεν γνωρίσαι, ἀντὶ τοῦ οὐκ ἐγνώρισε· οὐκ ἔσχε παιδευθῆναι, ἀντὶ τοῦ οὐκ ἐπαιδεύθη.

Ἀ. τ. εἰ. ὁ δεῖνα προκαταλαμβάνει τὸν δεῖνα ποιῶν τόδε, ὁ δεῖνα φθάνει τὸν δεῖνα ποιῶν τόδε λέγουσι· καὶ ἀντὶ τοῦ προκαταλαβὼν ἐποίησε τόδε, φθὰς ἐποίησε τόδε.

Ἀ. τ. εἰ. ὁ δεῖνα κολακεύει, ἐνδύεται τὴν ἀλωπεκῆν λέγουσι.

Ἀ. τ. εἰ. ἀγρίως καὶ ἀνημέρως κολάζει, ἐνδύεται τὴν λεοντῆν λέγουσι.

Ἀ. τ. εἰ. πλέειν, πλεῖν λέγουσι.

Ἀ. τ. εἰ. ἐπέρχεται τινὶ πυρετός, εἰσβάλλει λέγουσι.

Ἀ. τ. εἰ. ὁριστικὸν ῥῆμα, εὐτικὸν λέγουσιν, ἢ μετὰ τοῦ ἂν ἢ χωρὶς τοῦ ἄν, μηδαμῶς εὐχῆς ἔννοιαν ἔχων, οἷον ἐγὼ βουλοίμην ἄν.

Ἀ. τ. εἰ. ἀεί ποτε τόνδε τυχεῖν τινὸς ἀγαθοῦ, δι' αἰῶνος λέγουσι.

©BIU Santé



'Α. τ. εἰ. ἐπίσης ἁμιλλᾶται, τῷ δεῖνι ἐκ τῶν ὁμοίων ἀποκρίνεται.

'Α. τ. εἰ. ἀγκύραις ἐπερειδομένη ἡ ναῦς ἵσταται ἐν τῷ πελάγει, ἐπ' ἀγκύραις σαλεύει λέγουσι.

'Α. τ. εἰ. τὰ νομίσματα, τὸ ἀργύριον ἑνικῶς λέγουσι· πληθυντικῶς γὰρ οὐ λέγουσι τὰ ἀργύρια, ἀλλὰ τὰ νομίσματα λέγουσιν, ἢ τὰ χρήματα· χρῆμα δὲ οὐ τὸ νόμισμα, ἢ τὰ νομίσματα λέγουσιν, ἀλλὰ τὸ πρᾶγμα· ὡς Ἀριστοφάνης, ὦ Ζεῦ τὸ χρῆμα τῶν νυκτῶν ὅσον· λέγεται δὲ οὕτως τὸ χρῆμα τῶν νυκτῶν, ἀντὶ τοῦ αἱ νύκτες.

'Α. τ. εἰ. ὁ λόγος τῷ δεῖνι φροντίς, τὰ περὶ τὸν λόγον τῷ δεῖνι φροντὶς λέγουσι.

'Α. τ. εἰ. ἔγκειται τῷ λόγῳ, τοῖς περὶ τὸν λόγον ἔγκειται λέγουσι.

'Α. τ. εἰ. νοσεῖ, κάμνει λέγουσι.

'Α. τ. εἰ. σπούδασον λίαν, ὅσον τάχος σπούδασον λέγουσι.

'Α. τ. εἰ. μετὰ πόνου ἐργάζεταί τι, πονεῖ περί τι ἐμμέσως μετὰ προθέσεως λέγουσι, καὶ ἀμέσως χωρὶς προθέσεως· ὡς ὁ Δίων, μῦθον λιβυκὸν ἐκπονεῖν· καὶ περὶ τὰ τοιαῦτα κατὰ τὴν περὶ λόγους φιλοπονίαν, οὐκ εὐτυχὲς μέν· ἰστέον δὲ ὅτι ἑνικῶς εἰπὼν μῦθον λιβυκὸν, πληθυντικῶς ἐπήγαγε τὸν λόγον· καὶ περὶ τὰ τοιαῦτα εἰπὼν κατατρίβει τὴν περὶ λόγους φιλοπονίαν.

'Α. τ. εἰ. ὠνείδισεν, ἔπληξε λέγουσι· ὅπερ καὶ συντάσσεται δοτικῇ· τὸ γὰρ ἔπληξεν ἀντὶ τοῦ ἔκρουσεν αἰτιατικῇ συντάσσεται.

'Α. τ. εἰ. μαινόμενος, ἔστι παραπλὴξ λέγουσι· καὶ ἀντὶ τοῦ εἰπεῖν ἔχθραν καὶ κακίαν κινεῖ τὸν δεῖνα, ἐκμαίνει τὸν δεῖνα λέγουσι.

'Α. τ. εἰ. ἀνόητος, εὔκολος λέγουσιν, ἢ κωφὸς, ἢ ἀφελής.

'Α. τ. εἰ. εἰς βαθεῖαν νύκτα ἦλθεν ὁ δεῖνα, πόῤῥω τῆς νυκτὸς ἦλθεν ὁ δεῖνα λέγουσι.

'Α. τ. εἰ. λόγον πρὸς ὑπερέχον πρόσωπον λέγει, ἀναφέρειν λέγεται· ὅπερ δὲ λέγεται ἐπὶ λόγων τὸ ἀναφέρειν, τοῦτο ἐπὶ πραγμάτων τὸ ἀναπέμπειν.

'Α. τ. εἰ. κακὸς οἶνος, ἐκτροπίας λέγουσι καὶ ἀνατετραμμένος.

'Α. τ. εἰ. διηνεκῶς ἐργάζεται, τὸν ἀεὶ χρόνον ἐργάζεται λέγουσιν.

'Α. τ. εἰ. ὁ δεῖνα κατεδικάσθη μὴ παρόντος τοῦ ἀντιδίκου, ἐρήμην κατεδικάσθη λέγουσι.

'Α. τ. εἰ. ὁ δεῖνα παραγραφόμενος τὸ δικαστήριον εἰς μεῖζον δικαστήριον καταφεύγει, ἔφεσιν ἐργάζεται λέγουσι.

Classicorum auctorum e Vaticanis codicibus editorum . Tomus IV . complectens ... - page 542 sur 544

©BIU Santé



Ἀ. τ. εἰ. μάλιστα, τὰ μάλιστα λέγουσι.

Ἀ. τ. εἰ. μὴ φθονηθείην, μὴ βαλλέτω με τραχεῖ λίθῳ λέγουσι.

Ἀ. τ. εἰ. ὁ δεῖνα ἀδυνάτοις ἐπιχειρεῖ, κατὰ πετρῶν σπείρει λέγουσι, καθ' ὕδατος γράφει, οὐρανὸν τοξεύει, ἀέρα δέρει.

Ἀ. τ. εἰ. ὁ δεῖνα χυδαῖός ἐστιν, ὁ δεῖνα τῶν πολλῶν ἐστι λέγουσιν, ἢ ἀγοραῖος.

Ἀ. τ. εἰ. ἀνωφερὴς τόπος, ἀνάντης λέγουσι· καὶ ἀ. τ. εἰ. κατωφερὴς, κατάντης· λέγουσι δὲ καὶ ὀξὺς τόπος, τὸ ἐναντίον δὲ ἐπίπεδος· ὀξὺς δὲ ἐπὶ μέλους λεγόμενον, ἔχει ἐναντίον τῷ βαρύς· λέγεται γὰρ οὕτως, ὀξὺς τόνος, καὶ ὀξεῖα τάσις· ὀξεῖα δὲ ἐπὶ μαχαίρας, καὶ ὀξὺς πέλεκυς, ἔχει ἐναντίον τῷ ἀμβλεῖα και ἀμβλύς.

Ἀ. τ. εἰ. ἐπιτήδειος ἄνεμος εἰς τὸ πλεῦσαι, εὔφορος λέγουσιν· οὐ λέγουσι δὲ τὸ ἐναντίον καὶ ἄφορος ἢ ἀφορία, ἀλλ' ἕτερα, οἷον οὐκ ἐπιτήδειος ἄνεμος εἰς τὸ πλεῦσαι, οὐ πλόϊμος· ἀφορίαν δὲ λέγουσι τὴν ἀκαρπίαν· καὶ εὔφορον ἀέρα, τῶν καρπῶν παρεκτικόν.

Ἀ. τ. εἰ. λογικὴν τέχνην, παιδίαν λέγουσι· καὶ ἀ. τ. εἰ. διδάσκεται λόγον, παιδεύεται λόγον λέγουσι.

Ἀ. τ. εἰ τὸν μαστὸν ἐδίδου τῷ βρέφει, τὸν μαστὸν ὑφεῖ τῷ βρέφει λέγουσι.

Ἀ. τ. εἰ ἄνθρωπος ἔντιμος, τῶν ἐντίμων λέγουσι· καὶ ἀντὶ ἄτιμος, τῶν ἀτίμων· καὶ ἀντὶ ἔνδοξος, τῶν ἐνδόξων· καὶ τὰ ἕτερα ὁμοίως.

Ἀ. τ. εἰ. ὁμοίως, ἐκ τῶν ὁμοίων λόγουσι· καὶ ἐξίσου, ἀντὶ τοῦ ἐπίσης.

Ἀ. τ. εἰ. ἤδη τότε, παραυτίκα λέγουσι, καὶ ἐκ τοῦ παραυτίκα, καὶ εὐθύς.

Ἀ. τ. εἰ. κολάζεται ὁ δεῖνα, διὰ τὸ καὶ τὸ τιμωρεῖται λέγουσι, ὅτι τι ἐποίησε τόδε, καὶ ὅτι τῇδε· λέγουσι δὲ καὶ οὕτως, κολάζεται ὁ δεῖνα τὸ μὲν ποιήσατο τόδε, τὸ δὲ τόδε· λέγουσι δὲ καὶ οὕτως, τὰ μὲν ποιήσας τόδε, τὰ δὲ ποιήσας τόδε.

Ἀ. τ. εἰ. ἔξω τῆς θύρας ἵσταται, θυραῖος ἵσταται λέγουσι.

Ἀ. τ. εἰ. ἀσπάζομαι, τοῖς χείλεσι, προσπτύσσομαι λέγουσι· ὅπερ καὶ συντάσσουσι δοτικῇ· τὸ γὰρ περιπτύσσομαι, τὶ περιλαμβάνω, συντάσσεται αἰτιατικῇ.

Ἀ. τ. εἰ. φονεύει, ἀναιρεῖ λέγουσιν· λέγουσι δὲ καὶ τὸ ἀναιρεῖ ἐπὶ ἀψύχου, οἷον ἀναιρεῖ τὴν βουλήν.

©BIU Santé



Ἀ. τ. εἰ. πανουργεύεται, ὑφαίνει βουλὴν λέγουσι, καὶ συῤῥάπτει δόλον.

Ἀ. τ. εἰ. ἀπέθανε, κατέλυσε τὴν ζωὴν λέγουσι· τοῦτο δὲ λέγεται καὶ ἐπὶ καλοῦ ἀνθρώπου καὶ ἐπὶ κακοῦ· τὸ δὲ κατέστρεψε τὸν βίον ἐπὶ κακοῦ ἀεί ποτε.

Ἀ. τ. εἰ. κόψας τὸν λόγον εἶπε, ὑπολαβὼν εἶπε λέγουσι· ἔστι δὲ καὶ ὑπολαβὼν ἀντὶ τοῦ ἀποκριθείς.

Ἀ. τ. εἰ. τόδε τὸ πρᾶγμα μετέχει ὀλίγου χαλκοῦ, ὑπόχαλκον λέγουσιν· οὕτως καὶ ὑπόχρυσον, καὶ ὑπόξανθον, καὶ ὑπόπυρον.

Ἀ. τ. εἰ. ὁ ἰατρὸς, ἰατρῶν παῖδες λέγουσι, καὶ ἀσκληπιάδαι.

Ἀ. τ. εἰ ὠφέλιμον φάρμακον, σωτήριον λέγουσιν· καὶ ἀντὶ τοῦ ὀλέθριον, θανατῶδες λυτήριον λέγουσι.

Ἀ. τ. εἰ. οὐκ ἔρχεται συνεχῶς, διὰ πλείστου καὶ διὰ πολλοῦ οὐκ ἔρχεται λέγουσι.

Ἀ. τ. εἰ. παρελεύσει πολλοῦ χρόνου οὐκ εἶδον σε, πολλοῦ σε οὐκ εἶδον λέγουσι.

Ἀ. τ. εἰ. οὐδὲν ἐκέρδανεν, οὐδὲν πλέον λέγουσι.

Ἀ. τ. εἰ. μετὰ ἀπάτης κατέβαλεν, ὑπεσκέλισε λέγουσι.

Ἀ. οὐ λίαν, ἐπιεικῶς λέγουσι.

Ἀ. τ. εἰ. ποτὲ μὲν λέγει τόδε, ποτὲ δὲ λέγει τόδε, ἄλλοτε τόδε· νῦν μὲν λέγει τόδε, νῦν δὲ τόδε λέγει, αὖθις δὲ τόδε λέγουσι.

Ἀ. τ. εἰ. κλυδωνίζεται, χειμάζεται, λέγουσι· λέγεται δὲ τὸ χειμάζεται καὶ ἐπὶ χειμῶνος. Ἀριστοφάνης, καὶ τάδε συνεχειμάζετο· λέγεται δὲ καὶ ἐπὶ συνεχείας βελῶν.

Ἀ. τ. εἰ. ἐν ἀσκέπει τόπῳ διάγει, αἴθριος διάγει λέγουσι.

Ἀ. τ. εἰ. διὰ φόβον κρυβεὶς, ὑποπτήξας λέγουσιν· ὡς Ὀππιανὸς, ὑποπτήξας χαράδραις.

Hos atticismos viginti abhinc annis a me Mediolani exscriptos, nunc demum typis tradidi.

---

IMPRIMATUR.

Fr. Ioseph Mª. Velzi S. P. A. Magister.

Ioseph Dellaporta Patriarcha Cpol. Vicesgerens.